This is a digital copy of a book that was preserved for generations on library shelves before it was carefully scanned by Google as part of a project to make the world's books discoverable online.

It has survived long enough for the copyright to expire and the book to enter the public domain. A public domain book is one that was never subject to copyright or whose legal copyright term has expired. Whether a book is in the public domain may vary country to country. Public domain books are our gateways to the past, representing a wealth of history, culture and knowledge that's often difficult to discover.

Marks, notations and other marginalia present in the original volume will appear in this file - a reminder of this book's long journey from the publisher to a library and finally to you.

Usage guidelines

Google is proud to partner with libraries to digitize public domain materials and make them widely accessible. Public domain books belong to the public and we are merely their custodians. Nevertheless, this work is expensive, so in order to keep providing this resource, we have taken steps to prevent abuse by commercial parties, including placing technical restrictions on automated querying.

We also ask that you:

+ *Make non-commercial use of the files* We designed Google Book Search for use by individuals, and we request that you use these files for personal, non-commercial purposes.

+ *Refrain from automated querying* Do not send automated queries of any sort to Google's system: If you are conducting research on machine translation, optical character recognition or other areas where access to a large amount of text is helpful, please contact us. We encourage the use of public domain materials for these purposes and may be able to help.

+ *Maintain attribution* The Google "watermark" you see on each file is essential for informing people about this project and helping them find additional materials through Google Book Search. Please do not remove it.

+ *Keep it legal* Whatever your use, remember that you are responsible for ensuring that what you are doing is legal. Do not assume that just because we believe a book is in the public domain for users in the United States, that the work is also in the public domain for users in other countries. Whether a book is still in copyright varies from country to country, and we can't offer guidance on whether any specific use of any specific book is allowed. Please do not assume that a book's appearance in Google Book Search means it can be used in any manner anywhere in the world. Copyright infringement liability can be quite severe.

About Google Book Search

Google's mission is to organize the world's information and to make it universally accessible and useful. Google Book Search helps readers discover the world's books while helping authors and publishers reach new audiences. You can search through the full text of this book on the web at `http://books.google.com/`

Digitized by Google

N
66

Digitized by Google

303390275W

Digitized by Google

Digitized by Google

ARISTOTELIS

OPERA

EX RECENSIONE

IMMANUELIS BEKKERI.

ACCEDUNT

INDICES SYLBURGIANI.

TOMUS IV.

OXONII,
E TYPOGRAPHEO ACADEMICO.
MDCCCXXXVII.

Digitized by Google

Digitized by Google

ARISTOTELIS

HISTORIA ANIMALIUM,

EX RECENSIONE

IMMANUELIS BEKKERI.

OXONII,
E TYPOGRAPHEO ACADEMICO.
MDCCCXXXVII.

Digitized by Google

INDEX CODICUM.

P. Vaticanus 1339.
Q. Marcianus 200.
A^a. Marcianus 208.
C^a. Laurentianus 87 4.
D^a. Vaticanus 262.
E^a. Vaticanus 506.
F^a. Marcianus 207.
G^a. Marcianus 212.
m. Parisiensis 1921.
n. Urbinas 39.

Digitized by Google

[a] ΠΕΡΙ ΤΑ ΖΩΙΑ ΙΣΤΟΡΙΩΝ Α.

Τῶν ἐν τοῖς ζῴοις μορίων τὰ μέν ἐστιν [b] ἀσύνθετα, ὅσα διαιρεῖται εἰς ὁμοιομερῆ, οἷον σάρκες εἰς σάρκας, τὰ δὲ σύνθετα, ὅσα εἰς ἀνομοιομερῆ, οἷον [c] ἡ χεὶρ οὐκ εἰς χεῖρας διαιρεῖται οὐδὲ [c] τὸ πρόσωπον εἰς [d] πρόσωπα. Τῶν δὲ τοιούτων ἔνια οὐ μόνον μέρη ἀλλὰ καὶ μέλη καλεῖται. Τοιαῦτα 2 [e] δ' ἐστὶν ὅσα τῶν μερῶν ὅλα ὄντα ἕτερα μέρη ἔχει ἐν [f] αὐτοῖς, οἷον κεφαλὴ καὶ σκέλος καὶ χεὶρ καὶ ὅλος ὁ βραχίων καὶ [g] ὁ θώραξ· ταῦτα γὰρ αὐτά τέ ἐστι μέρη ὅλα, καὶ ἔστιν αὐτῶν ἕτερα μόρια. Πάντα δὲ τὰ ἀνομοιομερῆ σύγκειται 3 ἐκ τῶν ὁμοιομερῶν, οἷον χεὶρ ἐκ σαρκὸς καὶ νεύρων καὶ ὀστῶν. Ἔχει δὲ τῶν ζῴων ἔνια μὲν πάντα τὰ μόρια [h] ταὐτὰ ἀλλήλοις, ἔνια δ' ἕτερα. [i] Ταὐτὰ [k] δὲ τὰ μὲν [l] εἴδει τῶν 4 μορίων ἐστίν, οἷον ἀνθρώπου ῥὶς καὶ [m] ὀφθαλμὸς ἀνθρώπου ῥινὶ καὶ ὀφθαλμῷ, καὶ σαρκὶ σὰρξ καὶ ὀστῷ ὀστοῦν· τὸν αὐτὸν δὲ τρόπον [n] καὶ ἵππου καὶ τῶν ἄλλων [o] ζῴων, ὅσα τῷ εἴδει ταὐτὰ λέγομεν ἑαυτοῖς· ὁμοίως γὰρ ὥσπερ τὸ ὅλον ἔχει πρὸς τὸ ὅλον, καὶ τῶν μορίων ἔχει ἕκαστον πρὸς ἕκαστον. Τὰ δὲ ταὐτὰ μέν ἐστιν, διαφέρει δὲ καθ' ὑπερο- 5 χὴν καὶ ἔλλειψιν, [p] ὅσων τὸ γένος ἐστὶ ταὐτόν. [q] Λέγω δὲ γένος οἷον ὄρνιθα καὶ ἰχθύν· τούτων γὰρ ἑκάτερον ἔχει διαφορὰν [r] κατὰ [s] τὸ γένος, καὶ ἔστιν εἴδη πλείω ἰχθύων καὶ ὀρνίθων. Διαφέρει δὲ σχεδὸν τὰ [t] πλεῖστα τῶν μορίων ἐν 6

Codices P.A[a].C[a].D[a]. Tit. [a] τῶν περὶ τὰ ζῶα ἱστοριῶν βιβλίον α D[a], περὶ ζώων ἱστορίας α P.C[a], τῶν περὶ ζώων ἱστορίας βιβλίον πρῶτον A[a], sed rc. [b] σύνθετα οἷον ὅσα A[a]. [c] ἡ et τὸ om. P.D[a]. [d] πρόσωπον A[a]. [e] δ' om. pr. A[a]. [f] αὐτοῖς ἴδια οἷον P.D[a]. [g] ὁ post καὶ om. P.D[a]. [h] τὰ αὐτὰ A[a].C[a]. [i] ταῦτα A[a]. [k] δὲ om. C[a]. et pr. A[a]. [l] εἴδη D[a]. [m] ὀφθ. ἀνθρώπων P. [n] καὶ post τρόπον om. A[a]. [o] ζῴων om. D[a]. [p] ὅσον P. [q] λέγεται δὲ γένος οἷον ὄρνιθος καὶ ἰχθύος P. [r] κατὰ] καὶ πρὸς A[a], om. D[a]. [s] τοῦ γένους P. [t] πλείω C[a].

Digitized by Google

αὐτοῖς παρὰ τὰς τῶν παθημάτων ἐναντιώσεις, οἷον χρώματος καὶ σχήματος, τῷ τὰ μὲν μᾶλλον [v]αὐτὰ πεπονθέναι τὰ δὲ ἧττον, ἔτι δὲ πλήθει καὶ ὀλιγότητι καὶ μεγέθει καὶ [w]σμι-
7 κρότητι καὶ ὅλως ὑπεροχῇ καὶ ἐλλείψει. Τὰ μὲν γάρ [w]ἐστι [x]μαλακόσαρκα [y]αὐτῶν τὰ δὲ [z]σκληρόσαρκα, καὶ τὰ μὲν μακρὸν [a]ἔχει τὸ [b]ῥύγχος τὰ δὲ βραχύ, καὶ τὰ μὲν πολύπτερα τὰ δ' ὀλιγόπτερά ἐστιν. Οὐ μὴν ἀλλ' ἔνιά γε καὶ ἐν τούτοις ἕτερα ἑτέροις μόρια ὑπάρχει, [c]οἷον τὰ μὲν ἔχει πλῆ-
8 κτρα τὰ δ' οὔ, καὶ τὰ μὲν λόφον ἔχει τὰ δ' [d]οὐκ ἔχει. [1]Ἀλλ' ὡς εἰπεῖν [e]τὰ πλεῖστα καὶ ἐξ ὧν μερῶν ὁ πᾶς ὄγκος [f]συνέστηκεν, ἢ ταὐτά ἐστιν ἢ διαφέρει [g]τοῖς ἐναντίοις [h]καὶ καθ' [i]ὑπεροχὴν καὶ ἔλλειψιν· τὸ γὰρ μᾶλλον καὶ ἧττον [i]ὑπερο-
9 χὴν ἄν τις καὶ ἔλλειψιν θείη. [1]Ἔνια δὲ τῶν ζῴων οὔτε εἴδει τὰ μόρια [k]ταὐτὰ ἔχει οὔτε καθ' ὑπεροχὴν καὶ ἔλλειψιν, ἀλλὰ κατ' ἀναλογίαν, οἷον πέπονθεν ὀστοῦν πρὸς ἄκανθαν καὶ ὄνυξ πρὸς ὁπλὴν καὶ χεὶρ πρὸς χηλὴν καὶ πρὸς πτερὸν λεπίς· ὃ γὰρ ἐν [l]ὄρνιθι πτερόν, τοῦτο [m]ἐν ἰχθύϊ ἐστὶ λεπίς.
10 [n]Κατὰ μὲν οὖν μόρια [o]ἃ ἔχουσιν ἕκαστα τῶν ζῴων, τοῦτόν τε τὸν τρόπον ἕτερά ἐστι καὶ [p]ταὐτά, καὶ ἔτι [q]τῇ θέσει τῶν μερῶν· πολλὰ γὰρ τῶν ζῴων ἔχει μὲν [p]ταὐτὰ μέρη, ἀλλὰ κείμενα οὐχ ὡσαύτως, οἷον μαστοὺς τὰ μὲν ἐν τῷ στήθει τὰ
11 δὲ [r]πρὸς τοῖς μηροῖς. [1]Ἔστι δὲ τῶν ὁμοιομερῶν τὰ μὲν μαλακὰ καὶ ὑγρά, τὰ δὲ ξηρὰ καὶ [s]στερεά, ὑγρὰ μέν, ἢ ὅλως ἢ ἕως ἂν ᾖ ἐν τῇ φύσει, οἷον αἷμα, ἰχώρ, πιμελή, στέαρ, μυελός, γονή, χολή, γάλα ἐν τοῖς ἔχουσι, σάρξ τε καὶ τὰ τούτοις [t]ἀνάλογον, ἔτι ἄλλον τρόπον τὰ περιττώματα, οἷον

[v] ταῦτα D^a, τὰ αὐτὰ P. [w] μικρότητι et mox εἰσι P.D^a. [x] μαλακόστρακα P. [y] αὐτῶν om. P.D^a. [z] σκληρόδερμα C^a, ὀστρακόδερμα P.D^a. [a] ἴσχει D^a. [b] ῥύγχος ὥσπερ αἱ γέρανοι τὰ A^a. [c] οἷον] ὧν P.D^a. [d] οὐκ ἔχει] οὔ P.D^a. [e] τὰ δὲ πλεῖστα P. [f] συνίσταται A^a. [g] τοῖς τε ἐναντίοις C^a. [h] καὶ om. P.D^a. [i] ὑπερβολὴν A^a. [k] τὰ αὐτὰ A^a.C^a. [l] ὄρνιθί ἐστι πτερὸν P.C^a.D^a. [m] ἐν τῷ ἰχθύϊ P.C^a.D^a. [n] κατὰ] τὰ P.D^a. [o] ἃ] ὅσα P.D^a. [p] τὰ αὐτὰ A^a.C^a. [q] τῇ om. C^a. et pr. A^a. [r] πρὸς] ἐν P.D^a. [s] στερεὰ οἷον ὑγρὰ μὲν ἃ ὅλως μένει ἕως P.D^a. [t] ἀνάλογον P: ceteri eo compendio ut ἀνάλογον an ἀνάλογα velint nescias.

Digitized by Google

φλέγμα, καὶ τὰ ὑποστήματα τῆς κοιλίας καὶ κύστεως· ξηρὰ δὲ καὶ στερεὰ [v] οἷον νεῦρον, δέρμα, φλέψ, θρίξ, ὀστοῦν, χόνδρος, ὄνυξ, κέρας (ὁμώνυμον γὰρ [w] πρὸς τὸ γένος, ὅταν τῷ σχήματι καὶ τὸ ὅλον λέγηται κέρας), ἔτι ὅσα [x] ἀνάλογον τούτοις.

Αἱ δὲ διαφοραὶ τῶν ζῴων εἰσὶ κατά τε τοὺς βίους καὶ τὰς 12
πράξεις καὶ τὰ ἤθη καὶ τὰ μόρια, περὶ ὧν τύπῳ μὲν [y] εἴπωμεν πρῶτον, ὕστερον δὲ περὶ ἕκαστον γένος ἐπιστήσαντες ἐροῦμεν. Εἰσὶ δὲ διαφοραὶ κατὰ [z] μὲν τοὺς βίους [a] καὶ τὰ 13
ἤθη καὶ τὰς πράξεις αἱ τοιαίδε, ᾗ τὰ μὲν ἔννδρα αὐτῶν ἐστὶ τὰ δὲ χερσαῖα, ἔννδρα δὲ [b] διχῶς, τὰ μὲν ὅτι τὸν βίον καὶ τὴν τροφὴν ποιεῖται ἐν τῷ ὑγρῷ, καὶ δέχεται τὸ ὑγρὸν καὶ ἀφίησι, τούτου δὲ στερισκόμενα οὐ δύναται ζῆν, οἷον [c] πολλοῖς συμβαίνει τῶν ἰχθύων· τὰ δὲ τὴν μὲν τροφὴν ποιεῖται καὶ τὴν διατριβὴν ἐν τῷ ὑγρῷ, οὐ μέντοι δέχεται τὸ ὕδωρ ἀλλὰ τὸν ἀέρα, καὶ γεννᾷ ἔξω. Πολλὰ δ' ἐστὶ τοιαῦτα καὶ 14
πεζά, ὥσπερ [d] ἐννδρὶς καὶ λάταξ καὶ κροκόδειλος, καὶ πτηνά, οἷον αἴθυια καὶ [e] κολυμβίς, καὶ ἄποδα, οἷον ὕδρος. Ἔνια δὲ τὴν μὲν τροφὴν ἐν τῷ ὑγρῷ ποιεῖται καὶ οὐ δύναται ζῆν ἐκτός, οὐ μέντοι δέχεται οὔτε τὸν ἀέρα οὔτε τὸ ὑγρόν, οἷον ἀκαλήφη καὶ τὰ ὄστρεα. Τῶν δ' ἐνύδρων τὰ μέν ἐστι [f] θα- 15
λάττια, [g] τὰ δὲ ποτάμια, τὰ δὲ λιμναῖα, τὰ δὲ τελματιαῖα, οἷον βάτραχος καὶ [h] κορδύλος. Τῶν δὲ χερσαίων τὰ μὲν δέχεται τὸν ἀέρα καὶ ἀφίησιν, [i] ὃ καλεῖται ἀναπνεῖν καὶ ἐκπνεῖν, οἷον ἄνθρωπος καὶ [i] πάντα ὅσα πνεύμονα ἔχει τῶν χερσαίων· τὰ δὲ τὸν ἀέρα μὲν οὐ δέχεται, ζῇ δὲ καὶ τὴν τροφὴν ἔχει ἐν τῇ γῇ, [k] οἷον [l] σφὴξ καὶ μέλιττα καὶ [m] τὰ ἄλλα ἔντομα. Καλῶ δ' ἔντομα ὅσα ἔχει κατὰ τὸ σῶμα ἐντομάς, 16

[v] οἷον om. P.D[a]. [w] πρὸς τὸ γένος D[a]. et γρ. A[a], πρὸς τὸ μέρος P.C[a], τὸ μέρος A[a]. [x] ἀνάλογα A[a].D[a]. [y] ἔπιμεν D[a]. et pr. P. [z] μὲν om. P.D[a]. [a] καὶ τὰ ἤθη post πράξεις A[a]. [b] διχῇ D[a]. [c] πολλοὺς A[a]. [d] ἔννδρος P. [e] κόλυμβος P. [f] θαλάσσια D[a]. [g] τὰ δὲ ποτάμια post τελματιαῖα A[a]. [h] κορδύλης A[a]. addit Camotiana καὶ τῶν θαλαττίων τὰ μὲν πελάγια, τὰ δὲ αἰγιαλώδη, τὰ δὲ πετραῖα. ea codices infra (sect. 31.) ponunt. [i] πάντα om. D[a]. [k] οἷον om. P.D[a]. [l] σφὶγξ pr. A[a]. [m] ἄλλα τὰ P.

Digitized by Google

ἢ ἐν τοῖς ὑπτίοις ἢ ἐν τούτοις [n]τε καὶ τοῖς πρανέσιν. Καὶ τῶν μὲν χερσαίων [o]πολλά, ὥσπερ εἴρηται, ἐκ τοῦ ὑγροῦ τὴν τροφὴν πορίζεται, τῶν δ' ἐνύδρων καὶ δεχομένων τὴν θάλατ-
17 ταν οὐδὲν ἐκ τῆς γῆς. [t]Ἔνια δὲ τῶν ζώων τὸ μὲν πρῶτον ζῇ ἐν τῷ ὑγρῷ, ἔπειτα μεταβάλλει εἰς ἄλλην μορφὴν καὶ ζῇ ἔξω, οἷον [p]ἐπὶ τῶν [q]ἐν τοῖς ποταμοῖς [r]ἐμπίδων· [s]γίνεται γὰρ ἐξ αὐτῶν ὁ οἶστρος. [t]Ἔτι τὰ μέν ἐστι μόνιμα [v]τῶν ζώων, τὰ δὲ μεταβλητικά. [u]Ἔστι δὲ τὰ μόνιμα ἐν τῷ ὑγρῷ·
18 τῶν δὲ χερσαίων οὐδὲν [w]μόνιμον. [t]Ἐν δὲ τῷ ὑγρῷ πολλὰ [x]τῷ προσπεφυκέναι ζῇ, οἷον γένη ὀστρέων πολλά. Δοκεῖ δὲ καὶ ὁ σπόγγος ἔχειν τινὰ αἴσθησιν· σημεῖον δὲ ὅτι χαλεπώτερον ἀποσπᾶται, [y]ἂν μὴ γένηται λαθραίως ἡ κίνησις, ὥς φασιν. Τὰ δὲ καὶ προσφύεται καὶ ἀπολύεται, οἷόν [z]ἐστι γένος τι τῆς καλουμένης ἀκαλήφης· τούτων γάρ τινες νύκτωρ
19 [a]ἀπολυόμεναι νέμονται. Πολλὰ δ' ἀπολελυμένα μέν ἐστιν ἀκίνητα δέ, οἷον ὄστρεα καὶ τὰ καλούμενα ὁλοθούρια. Τὰ δὲ νευστικά, οἷον [b]ἰχθύες καὶ τὰ μαλάκια καὶ τὰ μαλακόστρακα, οἷον κάραβοι. Τὰ δὲ πορευτικά, οἷον τὸ τῶν καρκίνων γένος· τοῦτο γὰρ ἔνυδρον ὂν [c]τὴν φύσιν πορευτικόν
20 ἐστιν. Τῶν δὲ χερσαίων ἐστὶ τὰ μὲν πτηνά, ὥσπερ [d]ὄρνιθες καὶ μέλιτται, καὶ ταῦτ' ἄλλον [e]τρόπον ἀλλήλων, τὰ δὲ πεζά. Καὶ τῶν πεζῶν τὰ μὲν πορευτικά, τὰ δ' [f]ἑρπυστικά, τὰ δὲ [g]ἑλυσπαστικά. Πτηνὸν δὲ μόνον οὐδέν ἐστιν, ὥσπερ νευστικὸν μόνον ἰχθύς· [h]καὶ γὰρ τὰ δερμόπτερα πεζεύει, καὶ [i]νυκτερίδι πόδες εἰσί, [k]καὶ τῇ φώκῃ κεκολοβωμένοι
21 πόδες. Καὶ τῶν ὀρνίθων εἰσί τινες κακόποδες, οἳ διὰ τοῦτο καλοῦνται ἄποδες· ἔστι δὲ εὔπτερον τοῦτο τὸ ὀρνίθιον. Σχεδὸν δὲ καὶ τὰ ὅμοια [l]αὐτῷ εὔπτερα μὲν κακόποδα δ' ἐστίν,

[n] τε om. P. [o] ὥσπερ εἴρηται πολλὰ P.D[a]. [p] ἐπὶ om. D[a]. [q] ἐν om. A[a]. [r] ἀσπίδων C[a], ἐμπίδων corr. A[a]. [s] γίνονται—οἱ οἶστροι P.D[a]. [t] ἔτι δὲ τὰ P. [v] τῶν ζώων om. P.D[a]. [w] μόνιμόν ἐστιν. ἐν D[a]. [x] ζῇ τῷ προσπεφυκέναι D[a]. [y] ἐὰν P.D[a]. [z] ἐστι om. P.D[a]. [a] ἀποδυόμεναι P. [b] ἰχθύδια P.D[a]. [c] τῇ φύσει P.D[a]. [d] ὄρνις καὶ μέλιττα A[a]. [e] τρόπον διαφέρει ἀλλήλων P.D[a]. [f] ἑρπηστικὰ P. et pr. A[a]. [g] δυτικὰ P, εἰλητικὰ D[a]. [h] καὶ γὰρ καὶ τὰ P.D[a]. [i] νυκτερίδες δίποδες D[a]. [k] καὶ] ὡς καὶ P.D[a]. [l] αὐτῶν C[a].

Digitized by Google

οἷον χελιδὼν καὶ δρεπανίς· [m] ὁμοιότροπά τε γὰρ καὶ ὁμοιόπτερα [n] πάντα ταῦτα, καὶ τὰς ὄψεις [o] ἐγγὺς ἀλλήλων. Φαίνεται δ' ὁ μὲν ἄπους πᾶσαν ὥραν, ἡ δὲ δρεπανὶς ὅταν ὕσῃ τοῦ θέρους· τότε [p] γὰρ ὁρᾶται καὶ ἁλίσκεται, [q] ὅλως δὲ καὶ σπάνιόν ἐστι τοῦτο τὸ ὄρνεον. Πορευτικὰ δὲ καὶ νευστικὰ πολλὰ τῶν ζῴων ἐστίν. 22

Εἰσὶ δὲ καὶ αἱ τοιαίδε διαφοραὶ κατὰ τοὺς βίους καὶ τὰς πράξεις. Τὰ μὲν γὰρ [r] αὐτῶν ἐστὶν ἀγελαῖα τὰ δὲ [s] μοναδικά, [t] καὶ πεζὰ καὶ πτηνὰ καὶ πλωτά, τὰ δ' ἐπαμφοτερίζει. Καὶ τῶν ἀγελαίων καὶ τῶν μοναδικῶν τὰ μὲν πολιτικὰ τὰ δὲ [v] σποραδικά ἐστιν. [w] Ἀγελαῖα μὲν οὖν οἷον ἐν τοῖς πτηνοῖς τὸ τῶν περιστερῶν γένος καὶ γέρανος καὶ κύκνος (γαμψώνυχον δ' οὐδὲν ἀγελαῖον), καὶ τῶν πλωτῶν πολλὰ γένη [x] τῶν ἰχθύων, οἷον οὓς καλοῦσι δρομάδας, θύννοι, πηλαμύδες, [y] ἄμιαι· ὁ δ' ἄνθρωπος ἐπαμφοτερίζει. Πολιτικὰ δ' ἐστὶν ὧν ἕν τι καὶ κοινὸν γίνεται πάντων τὸ ἔργον· ὅπερ οὐ πάντα ποιεῖ τὰ ἀγελαῖα. [z] Ἔστι δὲ τοιοῦτον ἄνθρωπος, μέλιττα, [z] σφήξ, μύρμηξ, γέρανος. Καὶ τούτων τὰ μὲν ὑφ' [a] ἡγεμόνα ἐστὶ τὰ δ' ἄναρχα, οἷον [b] γέρανος μὲν καὶ τὸ τῶν μελιττῶν γένος ὑφ' [a] ἡγεμόνα, μύρμηκες δὲ καὶ μυρία ἄλλα ἄναρχα. Καὶ τὰ μὲν ἐπιδημητικὰ [c] καὶ τῶν ἀγελαίων καὶ τῶν μοναδικῶν, τὰ δὲ ἐκτοπιστικά. Καὶ τὰ μὲν σαρκοφάγα, [d] τὰ δὲ καρποφάγα, τὰ δὲ παμφάγα, τὰ δὲ ἰδιότροφα, οἷον τὸ τῶν μελιττῶν γένος καὶ τὸ τῶν ἀραχνῶν· τὰ μὲν γὰρ [e] μέλιτι καί τισιν ἄλλοις [f] ὀλίγοις τῶν γλυκέων χρῆται τροφῇ, οἱ δ' ἀράχναι ἀπὸ τῆς τῶν μυιῶν θήρας ζῶσιν, τὰ δ' ἰχθύσι χρῶνται τροφῇ. Καὶ τὰ μὲν θηρευτικά, τὰ δὲ θησαυριστικὰ τῆς τροφῆς ἐστί, τὰ δ' οὔ. Καὶ τὰ μὲν οἰκητικὰ τὰ δὲ ἄοικα, 23 24 25 26 27

[m] ὁμότροπά τε γὰρ καὶ ὁμόπτερα P. [n] ταῦτα πάντα A[a]. [o] ἀλλήλων ἐγγύς P.D[a]. [p] γὰρ καὶ ὁρᾶται καὶ P.D[a]. [q] ἄλλως P. [r] αὐτῶν om. P.D[a]. [s] μονωτικὰ P.A[a].C[a]. [t] καὶ πεζὰ post πτ. C[a], post πλ. P.D[a]. [v] σποραδικά] πορευτικά P. [w] ἐστι δὲ ἀγελαῖα μὲν οἷον P.D[a]. [x] τῶν] καὶ τῶν A[a].C[a], om. P.D[a]. [y] ἀμίαι A[a].C[a]. [z] σφὶγξ pr. A[a]. [a] ἡγεμόνας P.D[a]. [b] γέρανοι P.D[a]. [c] καὶ ante τῶν om. P.D[a]. [d] τὰ δὲ καρποφάγα post παμφάγα A[a]. [e] μέλιτι ἢ καί P. [f] ὀλίγοις ante ἄλλοις P, om. D[a].

Digitized by Google

ἢ ἐν τοῖς ὑπτίοις ἢ ἐν τούτοις [n]τε καὶ τοῖς πρανέσιν. Καὶ τῶν μὲν χερσαίων [o]πολλά, ὥσπερ εἴρηται, ἐκ τοῦ ὑγροῦ τὴν τροφὴν πορίζεται, τῶν δ' ἐνύδρων καὶ δεχομένων τὴν θάλατ-
17 ταν οὐδὲν ἐκ τῆς γῆς. [q]Ἔνια δὲ τῶν ζώων τὸ μὲν πρῶτον ζῇ ἐν τῷ ὑγρῷ, ἔπειτα μεταβάλλει εἰς ἄλλην μορφὴν καὶ ζῇ ἔξω, οἷον [p]ἐπὶ τῶν [q]ἐν τοῖς ποταμοῖς [r]ἐμπίδων· [s]γίνεται γὰρ ἐξ αὐτῶν ὁ οἶστρος. [t]Ἔτι τὰ μέν ἐστι μόνιμα [v]τῶν ζῴων, τὰ δὲ μεταβλητικά. [u]Ἔστι δὲ τὰ μόνιμα ἐν τῷ ὑγρῷ·
18 τῶν δὲ χερσαίων οὐδὲν [w]μόνιμον. [t]Ἐν δὲ τῷ ὑγρῷ πολλὰ [x]τῷ προσπεφυκέναι ζῇ, οἷον γένη ὀστρέων πολλά. Δοκεῖ δὲ καὶ ὁ σπόγγος ἔχειν τινὰ αἴσθησιν· σημεῖον δὲ ὅτι χαλεπώτερον ἀποσπᾶται, [y]ἂν μὴ γένηται λαθραίως ἡ κίνησις, ὥς φασιν. Τὰ δὲ καὶ προσφύεται καὶ ἀπολύεται, οἷόν [z]ἐστι γένος τι τῆς καλουμένης ἀκαλήφης· τούτων γάρ τινες νύκτωρ
19 [a]ἀπολυόμεναι νέμονται. Πολλὰ δ' ἀπολελυμένα μέν ἐστιν ἀκίνητα δέ, οἷον ὄστρεα καὶ τὰ καλούμενα ὁλοθούρια. Τὰ δὲ νευστικά, οἷον [b]ἰχθύες καὶ τὰ μαλάκια καὶ τὰ μαλακόστρακα, οἷον κάραβοι. Τὰ δὲ πορευτικά, οἷον τὸ τῶν καρκίνων γένος· τοῦτο γὰρ ἔνυδρον ὂν [c]τὴν φύσιν πορευτικόν
20 ἐστιν. Τῶν δὲ χερσαίων ἐστὶ τὰ μὲν πτηνά, ὥσπερ [d]ὄρνιθες καὶ μέλιτται, καὶ ταῦτ' ἄλλον [e]τρόπον ἀλλήλων, τὰ δὲ πεζά. Καὶ τῶν πεζῶν τὰ μὲν πορευτικά, τὰ δ' [f]ἑρπυστικά, τὰ δὲ [g]ἑλυσπαστικά. Πτηνὸν δὲ μόνον οὐδέν ἐστιν, ὥσπερ νευστικὸν μόνον ἰχθύς· [h]καὶ γὰρ τὰ δερμόπτερα πεζεύει, καὶ [i]νυκτερίδι πόδες εἰσί, [k]καὶ τῇ φώκῃ κεκολοβωμένοι
21 πόδες. Καὶ τῶν ὀρνίθων εἰσί τινες κακόποδες, οἳ διὰ τοῦτο καλοῦνται ἄποδες· ἔστι δὲ εὔπτερον τοῦτο τὸ ὀρνίθιον. Σχεδὸν δὲ καὶ τὰ ὅμοια [l]αὐτῷ εὔπτερα μὲν κακόποδα δ' ἐστίν,

[n] τε om. P. [o] ὥσπερ εἴρηται πολλὰ P.D[a]. [p] ἐπὶ om. D[a]. [q] ἐν om. A[a]. [r] ἀσπίδων C[a], ἐμπίδων corr. A[a]. [s] γίνονται—οἱ οἶστροι P.D[a]. [t] ἔτι δὲ τὰ P. [v] τῶν ζῴων om. P.D[a]. [w] μόνιμόν ἐστιν. ἐν D[a]. [x] ζῇ τῷ προσπεφυκέναι D[a]. [y] ἐὰν P.D[a]. [z] ἐστι om. P.D[a]. [a] ἀποδυόμεναι P. [b] ἰχθύδια P.D[a]. [c] τῇ φύσει P.D[a]. [d] ὄρνις καὶ μέλιττα A[a]. [e] τρόπον διαφέρει ἀλλήλων P.D[a]. [f] ἑρπιστικὰ P. et pr. A[a]. [g] δυτικὰ P, εἰλητικὰ D[a]. [h] καὶ γὰρ καὶ τὰ P.D[a]. [i] νυκτερίδες δίποδες D[a]. [k] καὶ] ὡς καὶ P.D[a]. [l] αὐτῶν C[a].

Digitized by Google

οἷον χελιδὼν καὶ δρεπανίς· [m] ὁμοιότροπά τε γὰρ καὶ ὁμοιόπτερα [n] πάντα ταῦτα, καὶ τὰς ὄψεις [o] ἐγγὺς ἀλλήλων. Φαίνεται δ' ὁ μὲν ἄπους πᾶσαν ὥραν, ἡ δὲ δρεπανὶς ὅταν ὕσῃ τοῦ θέρους· τότε [p] γὰρ ὁρᾶται καὶ ἁλίσκεται, [q] ὅλως δὲ καὶ σπάνιόν ἐστι τοῦτο τὸ ὄρνεον. Πορευτικὰ δὲ καὶ νευστικὰ πολλὰ τῶν ζῴων ἐστίν. 22

Εἰσὶ δὲ καὶ αἱ τοιαίδε διαφοραὶ κατὰ τοὺς βίους καὶ τὰς πράξεις. Τὰ μὲν γὰρ [r] αὐτῶν ἐστὶν ἀγελαῖα τὰ δὲ [s] μοναδικά, [t] καὶ πεζὰ καὶ πτηνὰ καὶ πλωτά, τὰ δ' ἐπαμφοτερίζει. Καὶ τῶν ἀγελαίων καὶ τῶν μοναδικῶν τὰ μὲν πολιτικὰ τὰ δὲ [v] σποραδικά ἐστιν. [w] Ἀγελαῖα μὲν οὖν οἷον ἐν τοῖς πτηνοῖς τὸ τῶν περιστερῶν γένος καὶ γέρανος καὶ κύκνος (γαμψώνυχον δ' οὐδὲν ἀγελαῖον), καὶ τῶν πλωτῶν πολλὰ γένη [x] τῶν ἰχθύων, οἷον οὓς καλοῦσι δρομάδας, θύννοι, πηλαμύδες, [y] ἄμιαι· ὁ δ' ἄνθρωπος ἐπαμφοτερίζει. Πολιτικὰ δ' ἐστὶν ὧν ἕν τι καὶ κοινὸν γίνεται πάντων τὸ ἔργον· ὅπερ οὐ πάντα ποιεῖ τὰ ἀγελαῖα. 23

[u] Ἔστι δὲ τοιοῦτον ἄνθρωπος, μέλιττα, [z] σφήξ, μύρμηξ, γέρανος. Καὶ τούτων τὰ μὲν ὑφ' [a] ἡγεμόνα ἐστὶ τὰ δ' ἄναρχα, οἷον [b] γέρανος μὲν καὶ τὸ τῶν μελιττῶν γένος ὑφ' [a] ἡγεμόνα, μύρμηκες δὲ καὶ μυρία ἄλλα ἄναρχα. Καὶ τὰ μὲν ἐπιδημητικὰ [c] καὶ τῶν ἀγελαίων καὶ τῶν μοναδικῶν, τὰ δὲ ἐκτοπιστικά. 24

Καὶ τὰ μὲν σαρκοφάγα, [d] τὰ δὲ καρποφάγα, τὰ δὲ παμφάγα, τὰ δὲ ἰδιότροφα, οἷον τὸ τῶν μελιττῶν γένος καὶ τὸ τῶν ἀραχνῶν· τὰ μὲν γὰρ [e] μέλιτι καί τισιν ἄλλοις [f] ὀλίγοις τῶν γλυκέων χρῆται τροφῇ, οἱ δ' ἀράχναι ἀπὸ τῆς τῶν μυιῶν θήρας ζῶσιν, τὰ δ' ἰχθύσι χρῶνται τροφῇ. Καὶ τὰ μὲν θηρευτικά, τὰ δὲ θησαυριστικὰ τῆς τροφῆς ἐστί, τὰ δ' οὔ. Καὶ τὰ μὲν οἰκητικὰ τὰ δὲ ἄοικα, 25

[m] ὁμότροπά τε γὰρ καὶ ὁμόπτερα P. [n] ταῦτα πάντα A^a. [o] ἀλλήλων ἐγγύς P.D^a. [p] γὰρ καὶ ὁρᾶται καὶ P.D^a. [q] ἄλλως P. [r] αὐτῶν om. P.D^a. [s] μονωτικὰ P.A^a.C^a. [t] καὶ πεζὰ post πτ. C^a, post πλ. P.D^a. [v] σποραδικά] πορευτικὰ P. [w] ἐστι δὲ ἀγελαῖα μὲν οἷον P.D^a. [x] τῶν] καὶ τῶν A^a.C^a, om. P.D^a. [y] ἀμίαι A^a.C^a. [z] σφὶγξ pr. A^a. [a] ἡγεμόνας P.D^a. [b] γέρανοι P.D^a. [c] καὶ ante τῶν om. P.D^a. [d] τὰ δὲ καρποφάγα post παμφάγα A^a. [e] μέλιτι ἢ καί P. [f] ὀλίγοις ante ἄλλοις P, om. D^a.

Digitized by Google

οἰκητικὰ μὲν οἷον [g] ἀσπάλαξ, μῦς, [h] μύρμηξ, μέλιττα, ἄοικα δὲ πολλὰ τῶν ἐντόμων καὶ τῶν τετραπόδων. Ἔτι τοῖς τόποις τὰ μὲν τρωγλοδυτικά, οἷον [i] σαύρα, ὄφις, τὰ δ' ὑπέρ-
28 γεια, οἷον ἵππος, κύων. Καὶ τὰ μὲν [k] τρηματώδη τὰ δ' ἄτρητα. Καὶ τὰ μὲν νυκτερόβια, οἷον γλαύξ, νυκτερίς, τὰ δ' ἐν τῷ φωτὶ ζῇ. Ἔτι δὲ ἥμερα καὶ ἄγρια, [l] καὶ τὰ μὲν ἀεί, οἷον ἄνθρωπος καὶ ὀρεὺς ἀεὶ ἥμερα, τὰ [m] δ' ἄγρια, ὥσπερ πάρδαλις καὶ λύκος· τὰ δὲ καὶ ἡμεροῦσθαι [n] δύναται ταχύ,
29 οἷον ἐλέφας. Ἔτι ἄλλον τρόπον· [o] πάντα γὰρ ὅσα ἥμερά ἐστι γένη, καὶ ἄγριά ἐστιν, οἷον [p] ἵπποι, [q] βόες, ὗες, [r] πρόβατα, αἶγες, κύνες. Καὶ τὰ μὲν ψοφητικά, τὰ δὲ ἄφωνα, τὰ δὲ φωνήεντα, καὶ τούτων τὰ μὲν διάλεκτον ἔχει τὰ δὲ ἀγράμματα, καὶ τὰ μὲν κωτίλα τὰ δὲ [s] σιγηλά, τὰ δ' ᾠδικὰ τὰ δ' ἄνῳδα· [t] πάντων δὲ κοινὸν τὸ περὶ τὰς ὀχείας μάλιστα
30 ᾄδειν καὶ λαλεῖν. Καὶ τὰ μὲν ἄγροικα, ὥσπερ φάττα, τὰ δ' ὄρεια, ὥσπερ ἔποψ, τὰ δὲ συνανθρωπίζει, οἷον περιστερά. Καὶ τὰ μὲν [v] ἀφροδισιαστικά, οἷον τὸ τῶν περδίκων καὶ ἀλεκτρυόνων γένος, τὰ δὲ [w] ἀγνευτικά, οἷον τὸ τῶν κορακοειδῶν ὀρνίθων γένος· ταῦτα γὰρ [x] σπανίως [y] ποιεῖται τὴν ὀχεί-
31 αν. Καὶ τῶν θαλαττίων τὰ μὲν πελάγια, τὰ δὲ αἰγιαλώδη, τὰ δὲ πετραῖα. Ἔτι τὰ μὲν ἀμυντικὰ τὰ δὲ φυλακτικά· ἔστι [z] δ' ἀμυντικὰ μὲν ὅσα ἢ ἐπιτίθεται ἢ ἀδικούμενα ἀμύνεται, φυλακτικὰ δὲ ὅσα πρὸς τὸ μὴ παθεῖν [a] τι [b] ἔχει ἐν αὑτοῖς [c] ἀλεωρήν.

32 Διαφέρουσι δὲ [d] καὶ ταῖς τοιαῖσδε διαφοραῖς κατὰ τὸ ἦθος. Τὰ μὲν γάρ ἐστι [e] πρᾶα καὶ δύσθυμα καὶ οὐκ ἐνστατικά, οἷον βοῦς, τὰ δὲ θυμώδη καὶ ἐνστατικὰ καὶ ἀμαθῆ, οἷον

[g] ἀσπάλαγξ A^a. [h] μύρμηξ μυῖα μέλιττα P.D^a. [i] σαῦραι ὄφεις τὰ δ' ὑπέργαια P.D^a. [k] τρημώδη τὰ δ' ἄτρημα P. [l] καὶ τὰ] ἔστι δὲ ἥμερα καὶ ἄγρια P.D^a. [m] δ'] δ' ἀεὶ P.D^a. [n] ταχὺ δύναται P.D^a. [o] ἅπαντα P.D^a. [p] ἵπποι post ὗες P.D^a. [q] βόες post κύνες P.D^a. [r] πρόβατα] ἄνθρωποι πρόβατα P.C^a.D^a. [s] σιγηλά] σιγηλὰ τὰ δὲ λάλα A^a. [t] ἁπάντων P.D^a. [v] ἀφροδιτιαστικὰ pr. A^a. [w] ἀτρευτικὰ pr. A^a, ἀγονευτικὰ D^a. [x] σπανίως] πάντα C^a. [y] τὴν ὀχείαν ποιεῖται A^a. [z] δ' om. P. [a] τι om. D^a. [b] ἔχει τινὰ ἐν ἑαυτοῖς P.D^a. [c] ἀλεωράν P. [d] καὶ om. A^a.C^a. [e] πραέα P.D^a.

Digitized by Google

ὗς ἄγριος, τὰ δὲ φρόνιμα καὶ δειλά, οἷον [f]ἔλαφος, δασύπους, τὰ δὲ ἀνελεύθερα καὶ ἐπίβουλα, [g]οἷον οἱ ὄφεις, τὰ δὲ [h]ἐλευθέρια καὶ ἀνδρεῖα καὶ εὐγενῆ, οἷον λέων, τὰ δὲ γενναῖα καὶ ἄγρια καὶ ἐπίβουλα, οἷον λύκος· εὐγενὲς μὲν γάρ ἐστι τὸ ἐξ ἀγαθοῦ γένους, γενναῖον δὲ τὸ μὴ [i]ἐξιστάμενον ἐκ τῆς [k]αὐτοῦ φύσεως. Καὶ τὰ μὲν [l]πανοῦργα καὶ κακοῦργα, οἷον 33
ἀλώπηξ, τὰ δὲ [m]θυμικὰ καὶ φιλητικὰ καὶ θωπευτικά, οἷον κύων, τὰ δὲ [n]πρᾶα καὶ τιθασσευτικά, οἷον ἐλέφας, τὰ δ' αἰσχυντηλὰ καὶ φυλακτικά, οἷον χήν, τὰ δὲ φθονερὰ καὶ φιλόκαλα, οἷον ταώς. Βουλευτικὸν δὲ [o]μόνον ἄνθρωπός ἐστι 34
τῶν ζῴων. Καὶ μνήμης μὲν καὶ διδαχῆς πολλὰ κοινωνεῖ, ἀναμιμνήσκεσθαι δὲ οὐδὲν ἄλλο δύναται [p]πλὴν ἄνθρωπος. Περὶ ἕκαστον δὲ τῶν γενῶν τά τε περὶ τὰ ἤθη καὶ τοὺς βίους ὕστερον λεχθήσεται [q]δι' ἀκριβείας μᾶλλον.

Πάντων δ' ἐστὶ τῶν ζῴων κοινὰ μόρια, ᾧ δέχεται τὴν τρο- 2
φὴν καὶ εἰς ὃ δέχεται· ταῦτα δ' ἐστὶ ταὐτὰ καὶ ἕτερα κατὰ τοὺς εἰρημένους τρόπους, [r]ἢ κατ' [s]εἶδος ἢ καθ' ὑπεροχὴν ἢ κατ' ἀναλογίαν ἢ τῇ θέσει διαφέροντα. Μετὰ δὲ ταῦτα 2
ἄλλα κοινὰ μόρια ἔχει τὰ πλεῖστα τῶν ζῴων πρὸς τούτοις, ᾗ ἀφίησι τὸ περίττωμα τῆς τροφῆς καὶ ᾗ λαμβάνει· οὐ γὰρ πᾶσιν ὑπάρχει τοῦτο. Καλεῖται δ' ᾗ μὲν λαμβάνει, στόμα, εἰς ὃ [t]δὲ [v]δέχεται, κοιλία· τὸ δὲ λοιπὸν πολυώνυμόν ἐστιν. Τοῦ δὲ περιττώματος ὄντος διττοῦ, ὅσα μὲν ἔχει [w]δεκτικὰ 3
μόρια τοῦ ὑγροῦ περιττώματος, ἔχει καὶ τῆς ξηρᾶς τροφῆς, ὅσα δὲ ταύτης, ἐκείνης οὐ πάντα. [x]Διὸ ὅσα [y]μὲν κύστιν ἔχει, καὶ κοιλίαν ἔχει, ὅσα δὲ κοιλίαν ἔχει, οὐ πάντα κύστιν ἔχει. [z]Ὀνομάζεται γὰρ τὸ μὲν τῆς ὑγρᾶς περιττώσεως [z]δεκτικὸν μόριον κύστις, κοιλία δὲ τὸ τῆς ξηρᾶς.

[f] ἔλαφος λαγωὸς δασύπους A^a. [g] οἷον ὄφις P.D^a. [h] ἐλευθέρια Schneiderus: codices ἐλεύθερα. [i] ἐξανιστάμενον P. [k] ἑαυτοῦ P.D^a. [l] κακοῦργα καὶ πανοῦργα P.D^a. [m] θυμωτικὰ P.D^a. [n] πραέα P.D^a. [o] μόνον οἷον ἄνθρωπος P. [p] πλὴν ὁ ἄνθρωπος P.D^a. [q] δι'] μετὰ P.D^a. [r] ἢ ante κατ' om. in lacuna P. [s] εἶδος ἢ] εἶδος καὶ D^a. [t] δὲ om. pr. A^a. [v] ἐνδέχεται D^a. [w] δεικτικὰ pr. A^a. [x] διὸ] δὲ A^a.C^a. [y] μὲν om. C^a. [z] δεικτικὸν pr. A^a.

Digitized by Google

3 Τῶν δὲ λοιπῶν πολλοῖς ὑπάρχει ταὐτά τε τὰ μόρια καὶ ἔτι
ἡ τὸ σπέρμα [a]ἀφιᾶσιν· καὶ τούτων [b]ἐν οἷς [c]μὲν ὑπάρχει γέ-
2 νεσις ζῴων τὸ μὲν εἰς αὐτὸ ἀφιέν, τὸ δὲ εἰς ἕτερον. Καλεῖται
δὲ τὸ μὲν εἰς [d]αὐτὸ ἀφιὲν θῆλυ, τὸ δ' εἰς [e]τοῦτο ἄρρεν. [f]Ἐν
ἐνίοις δ' οὐκ ἔστι τὸ ἄρρεν [g]καὶ θῆλυ· [h]ἡ καὶ τῶν μορίων
τῶν πρὸς τὴν δημιουργίαν ταύτην διαφέρει τὸ εἶδος· τὰ μὲν
3 γὰρ ἔχει ὑστέραν τὰ δὲ τὸ ἀνάλογον. [i]Ὅσα μὲν οὖν [l]ἀναγ-
καιότατα μόρια τοῖς ζῴοις τὰ μὲν πᾶσιν ἔχειν συμβέβηκε τὰ
δὲ τοῖς πλείστοις, [k]ταῦτ' ἐστίν.

Πᾶσι δὲ τοῖς ζῴοις αἴσθησις μία ὑπάρχει [l]κοινὴ μόνη ἡ
ἁφή, ὥστε [m]καὶ ἐν ᾧ [n]αὕτη μορίῳ [o]γίνεσθαι πέφυκεν, [p]ἀνώ-
νυμόν ἐστιν· τοῖς μὲν γὰρ ταὐτὸ τοῖς δὲ τὸ ἀνάλογόν ἐστιν.
4 [q]Ἔχει δὲ καὶ ὑγρότητα πᾶν ζῷον, ἧς στερισκόμενον ἢ [q]φύσει
ἢ βίᾳ φθείρεται. [r]Ἔτι ἐν ᾧ γίγνεται, τοῦτο ἄλλο. [s]Ἔστι
δὲ τοῦτο τοῖς μὲν αἷμα [s]καὶ φλέψ, τοῖς δὲ τὸ ἀνάλογον
τούτων· ἔστι δ' ἀτελῆ ταῦτα, οἷον τὸ μὲν [t]ἶς τὸ δ' ἰχώρ.
2 [u]Ἡ μὲν οὖν ἁφὴ ἐν ὁμοιομερεῖ [v]ἐγγίνεται μέρει, οἷον ἐν
σαρκὶ ἢ τοιούτῳ τινί, καὶ ὅλως ἐν τοῖς αἱματικοῖς, ὅσα ἔχει
αἷμα· τοῖς δ' ἐν τῷ ἀνάλογον, πᾶσι [w]δ' ἐν τοῖς ὁμοιομερέ-
σιν. Αἱ δὲ ποιητικαὶ δυνάμεις ἐν τοῖς ἀνομοιομερέσιν, οἷον
ἡ τῆς τροφῆς ἐργασία ἐν στόματι καὶ ἡ τῆς κινήσεως τῆς
κατὰ τόπον ἐν ποσὶν ἢ πτέρυξιν ἢ τοῖς ἀνάλογον.

3 Πρὸς δὲ τούτοις τὰ μὲν ἔναιμα τυγχάνει ὄντα, οἷον ἄν-
θρωπος καὶ ἵππος καὶ πάνθ' ὅσα ἢ ἄποδά ἐστι τέλεα ὄντα ἢ
δίποδα ἢ τετράποδα, τὰ δ' ἄναιμα, οἷον μέλιττα καὶ [x]σφὴξ
καὶ τῶν θαλαττίων σηπία καὶ κάραβος καὶ πάνθ' ὅσα [y]πλείους
5 [z]πόδας ἔχει τεττάρων. Καὶ τὰ μὲν ζωοτόκα τὰ δὲ ᾠοτόκα

[a] ἀφίησιν P.D[a]. [b] ἐν οἷς] ἐνίοις P.D[a]. [c] μὲν post ὑπάρχει P, om. D[a]. [d] ἑαυτὸ P.D[a]. [e] τοῦτο] ἕτερον P.D[a]. [f] ἐν om. P.D[a]. [g] καὶ τὸ θῆλυ P.D[a]. [h] ᾗ] ἡ A[a], om. P.D[a]. [i] ἀναγκ. τὰ μόρια P. [k] ταὐτά P.D[a]. [l] κοινὴ μόνη pr. A[a], μόνη κοινὴ P.D[a]. [m] καὶ om. D[a]. [n] αὕτη om. A[a], post μορίῳ ponit C[a]. [o] πέφυκε γίνεσθαι P.D[a]. [p] ἀνώνυμον δ' ἔστι P. [q] βίᾳ ἡ φύσει P.D[a]. [r] ἔτι] ὅτι rc. A[a]. [s] καὶ Gaza: codices τοῖς δὲ. [t] ἶς Gaza: codices ἰὸς. [v] γίνεται P.D[a]. [w] δ' om. P.D[a]. [x] σφὶγξ A[a]. [y] πλείω P. [z] πόδας ἔχει τῶν τεττάρων P.D[a], ἔχει τεττάρων πόδας A[a].

Digitized by Google

τὰ δὲ σκωληκοτόκα, ζῳοτόκα μὲν οἷον ἄνθρωπος καὶ ἵππος καὶ φώκη καὶ τὰ ἄλλα ὅσα ἔχει τρίχας, καὶ τῶν ἐνύδρων τὰ κητώδη, οἷον δελφίς, καὶ τὰ [a] καλούμενα σελάχη. Τούτων 2 δὲ τὰ μὲν αὐλὸν ἔχει, βράγχια δ' οὐκ ἔχει, οἷον δελφὶς καὶ [b] φάλαινα (ἔχει δ' ὁ μὲν δελφὶς τὸν αὐλὸν διὰ τοῦ νώτου, ἡ δὲ [b] φάλαινα ἐν τῷ μετώπῳ), τὰ δὲ ἀκάλυπτα βράγχια, οἷον τὰ σελάχη, [c] γαλεοί τε καὶ βάτοι. Καλεῖται δ' ᾠὸν μὲν τῶν 3 κυημάτων τῶν τελείων, ἐξ οὗ γίγνεται τὸ γινόμενον ζῷον, ἐκ μορίου τὴν ἀρχήν, τὸ δ' ἄλλο τροφὴ τῷ γινομένῳ ἐστίν· σκώληξ δ' [d] ἐστὶν ἐξ οὗ [e] ὅλου ὅλον γίνεται τὸ ζῷον, διαρθρουμένου καὶ αὐξανομένου τοῦ κυήματος. Τὰ μὲν οὖν ἐν [f] αὑτοῖς 4 ᾠοτοκεῖ τῶν ζῳοτόκων, οἷον τὰ σελάχη, τὰ δὲ ζῳοτοκεῖ ἐν αὑτοῖς, οἷον ἄνθρωπος καὶ ἵππος· εἰς δὲ τὸ φανερὸν τῶν μὲν τελεωθέντος τοῦ κυήματος ζῷον ἐξέρχεται, τῶν δ' ᾠόν, τῶν δὲ σκώληξ. Τῶν δ' ᾠῶν τὰ μὲν ὀστρακόδερμά ἐστι καὶ δί- 5 χροα, [g] οἷον τὰ τῶν ὀρνίθων, τὰ δὲ μαλακόδερμα καὶ μονόχροα, [h] οἷον τὰ τῶν σελαχῶν. Καὶ τῶν σκωλήκων οἱ μὲν εὐθὺς κινητικοὶ οἱ δ' ἀκίνητοι. [i] Ἀλλὰ περὶ μὲν τούτων ἐν τοῖς περὶ γενέσεως δι' ἀκριβείας ὕστερον [l] ἐροῦμεν.

Ἔτι δὲ τῶν ζῴων τὰ μὲν ἔχει πόδας τὰ δ' ἄποδα, καὶ 6 τῶν ἐχόντων τὰ μὲν δύο πόδας ἔχει, οἷον ἄνθρωπος καὶ ὄρνις μόνα, τὰ δὲ τέτταρας, οἷον [k] σαύρα καὶ κύων, τὰ δὲ πλείους, οἷον σκολόπενδρα καὶ μέλιττα· πάντα δ' ἀρτίους ἔχει [l] πόδας. Τῶν δὲ νευστικῶν ὅσα ἄποδα, τὰ μὲν πτε- 7 ρύγια ἔχει, ὥσπερ ἰχθύς, καὶ τούτων οἱ μὲν τέτταρα πτερύγια, δύο μὲν ἄνω ἐν τοῖς πρανέσι, δύο δὲ [m] κάτω ἐν τοῖς ὑπτίοις, οἷον χρύσοφρυς καὶ λάβραξ, τὰ δὲ δύο μόνον, ὅσα προμήκη καὶ λεῖα, οἷον ἔγχελυς καὶ γόγγρος· τὰ δ' [n] ὅλως οὐκ ἔχει, οἷον σμύραινα [o] καὶ ὅσα ἄλλα χρῆται τῇ [p] θαλάττῃ ὥσπερ [q] οἱ ὄφεις τῇ γῇ, καὶ ἐν τῷ ὑγρῷ ὁμοίως

[a] καλούμενα om. D^a. [b] φάλλαινα A^a. [c] γαλέοι A^a. [d] ἐστὶν om. P. [e] ὅλου om. pr. A^a. [f] ἑαυτοῖς D^a. [g] οἷα P.D^a. [h] οἷα D^a. [i] λεκτέον A.C^a. [k] σαῦραι P. [l] πόδας, ὅσαπερ ἔχει πόδας. τῶν P.D^a. [m] κάτωθεν P.D^a. [n] ὅλως] ὡς ἄλλος P. [o] καὶ ὅσα ἄλλα] ἀλλὰ P.D^a. [p] θαλάττῃ καὶ ὥσπερ A^a. [q] οἱ ὄφεις] ὄφις P.D^a.

Digitized by Google

8 [r] νέουσιν. Τῶν δὲ σελαχῶν ἔνια μὲν οὐκ ἔχει [s] πτερύγια, οἷον τὰ πλατέα καὶ κερκοφόρα, ὥσπερ βάτος καὶ τρυγών, ἀλλ' αὐτοῖς νεῖ τοῖς [t] πλάτεσιν· βάτραχος δ' ἔχει, καὶ ὅσα τὸ 9 πλάτος μὴ ἔχει ἀπολελεπτυσμένον. [v] Ὅσα δὲ δοκεῖ πόδας ἔχειν, καθάπερ [v] καὶ τὰ μαλάκια, [w] τούτοις νεῖ καὶ τοῖς πτερυγίοις, καὶ θᾶττον ἐπὶ [x] κύτος, οἷον σηπία καὶ τευθὶς καὶ πολύπους· βαδίζει δὲ τούτων [y] οὐδέτερον, ὥσπερ πολύ- 10 πους. Τὰ δὲ σκληρόδερμα, οἷον [z] κάραβος, τοῖς οὐραίοις νεῖ, [a] τάχιστα δ' ἐπὶ τὴν κέρκον τοῖς ἐν ἐκείνῃ πτερυγίοις· καὶ ὁ κορδύλος τοῖς ποσὶ καὶ τῷ οὐραίῳ· ἔχει δ' ὅμοιον [b] γλάνει τὸ οὐραῖον, ὡς μικρὸν εἰκάσαι μεγάλῳ. Τῶν δὲ πτηνῶν τὰ μὲν πτερωτά ἐστιν, οἷον ἀετὸς καὶ ἱέραξ, τὰ δὲ πτιλωτά, οἷον μέλιττα καὶ μηλολόνθη, τὰ δὲ δερμόπτερα, οἷον ἀλώπηξ 11 καὶ νυκτερίς. Πτερωτὰ μὲν οὖν ἐστὶν ὅσα ἔναιμα, καὶ δερμόπτερα ὡσαύτως· πτιλωτὰ δὲ ὅσα ἄναιμα, οἷον τὰ ἔντομα. [v] Ἔστι δὲ τὰ μὲν πτερωτὰ καὶ δερμόπτερα [c] δίποδα πάντα ἢ ἄποδα· λέγονται γὰρ εἶναί [d] τινες ὄφεις τοιοῦτοι περὶ Αἰθιοπίαν. Τὸ μὲν οὖν πτερωτὸν γένος τῶν ζῴων ὄρνις καλεῖ- 12 ται, τὰ δὲ λοιπὰ δύο ἀνώνυμα [e] ἑνὶ ὀνόματι. Τῶν δὲ πτηνῶν μὲν ἀναίμων δὲ τὰ μὲν κολεόπτερά ἐστιν (ἔχει γὰρ ἐν ἐλύτρῳ τὰ πτερά, οἷον αἱ μηλολόνθαι καὶ οἱ κάνθαροι), τὰ δ' ἀνέλυτρα, καὶ τούτων τὰ μὲν δίπτερα τὰ δὲ τετράπτερα, τετράπτερα μὲν ὅσα μέγεθος ἔχει ἢ ὅσα ὀπισθόκεντρά ἐστι, [f] δίπτερα δὲ ὅσα [g] ἢ μέγεθος μὴ ἔχει ἢ ἐμπροσθόκεντρά ἐστιν. 13 Τῶν δὲ κολεοπτέρων οὐδὲν ἔχει κέντρον. Τὰ δὲ δίπτερα ἔμπροσθεν ἔχει [h] τὰ κέντρα, οἷον μυῖα καὶ μύωψ καὶ οἶστρος καὶ ἐμπίς. Πάντα δὲ τὰ ἄναιμα ἐλάττω [i] τὰ μέγεθη ἐστὶ τῶν ἐναίμων ζῴων· πλὴν ὀλίγα ἐν τῇ [k] θαλάττῃ μείζονα

[r] ναίουσι Aª. [s] πτέρυγας P.Dª. [t] πλατέσι Aª.Cª.Dª. [v] καὶ om. Cª, καὶ τὰ om. Aª. [w] τούτοις] καὶ τούτοις μὲν P. [x] κῆτος Aª, τοῖς τοιούτοις Dª, τοῖς τοιούτοις τὸ κύτος P. [y] ἑκάτερον Aª.Cª. [z] super κάραβος rc. Aª. οἶμαι ὁ ἀστακός. [a] τάχιστα τὰ δ' Aª.Cª, τάχιστα δὲ τὰ Dª. [b] γλανὶ Dª, γλανεῖ P.Aª.Cª. [c] δίποδα δ' ἅπαντα Aª.Cª. [d] τοιοῦτοί τινες ὄφεις Dª. [e] ἑνὶ] ἐν ἑνὶ Aª.Cª.Dª. [f] δίπτερα—ἐστιν om. Dª. [g] ἢ om. P. [h] τὸ κέντρον P.Dª. [i] τῷ μεγέθει P.Dª. [k] θαλάσσῃ P.Aª.

Digitized by Google

ἄναιμά ἐστιν, [l] οἷον τῶν μαλακίων ἔνια. [m] Μέγιστα δὲ γίνεται ταῦτα τὰ γένη αὐτῶν ἐν τοῖς [n] ἀλεεινοτάτοις, καὶ ἐν τῇ θαλάττῃ μᾶλλον ἢ ἐν τῇ γῇ καὶ ἐν τοῖς γλυκέσιν ὕδασιν. κινεῖται δὲ [o] τὰ κινούμενα πάντα [p] τέτταρσι σημείοις ἢ 14 πλείοσι, τὰ [q] μὲν ἔναιμα [r] τέτταρσι μόνον, οἷον ἄνθρωπος μὲν χερσὶ δυσὶ καὶ ποσὶ δυσίν, [s] ὄρνις δὲ πτέρυξι δυσὶ καὶ ποσὶ δυσί, τὰ δὲ τετράποδα καὶ ἰχθύες τὰ μὲν [t] τέτταρσι ποσίν, οἱ δὲ [t] τέτταρσι πτερυγίοις. [u] Ὅσα δὲ δύο ἔχει πτερύγια ἢ 15 ὅλως μή, οἷον ὄφις, [v] τέτταρσι σημείοις οὐθὲν ἧττον· αἱ γὰρ [w] καμπαὶ [x] τέτταρες, ἢ δύο σὺν τοῖς πτερυγίοις. [u] Ὅσα δ' 16 ἄναιμα ὄντα πλείους [y] πόδας ἔχει, εἴτε πτηνὰ εἴτε πεζά, σημείοις κινεῖται πλείοσιν, οἷον τὸ καλούμενον ζῷον ἐφήμερον [z] τέτταρσι [a] καὶ ποσὶ καὶ πτεροῖς· [b] τούτῳ γὰρ οὐ μόνον κατὰ τὸν βίον [c] συμβαίνει [d] τὸ ἴδιον, ὅθεν καὶ τὴν ἐπωνυμίαν ἔχει, ἀλλ' [e] ὅτι καὶ πτηνόν ἐστι τετράπουν ὄν. Πάντα δὲ κινεῖται ὁμοίως, τὰ τετράποδα καὶ πολύποδα· 17 κατὰ διάμετρον γὰρ κινεῖται. Τὰ μὲν οὖν ἄλλα ζῷα δύο τοὺς ἡγεμόνας ἔχει πόδας, ὁ δὲ καρκίνος μόνος τῶν ζώων τέτταρας.

Γένη [f] δὲ μέγιστα [g] τῶν ζώων, εἰς ἃ διῄρηται τἆλλα 6 [h] ζῷα, τάδ' ἐστίν, ἓν μὲν ὀρνίθων, ἓν δ' ἰχθύων, ἄλλο δὲ [i] κήτους. Ταῦτα μὲν οὖν πάντα ἔναιμά ἐστιν. [u] Ἄλλο δὲ 2 γένος ἐστὶ τὸ τῶν ὀστρακοδέρμων, ὃ καλεῖται ὄστρεον· ἄλλο [k] τὸ τῶν μαλακοστράκων, ἀνώνυμον ἐνὶ ὀνόματι, οἷον κάραβοι καὶ γένη [l] τινὰ καρκίνων καὶ ἀστακῶν· ἄλλο τὸ τῶν μαλακίων, οἷον τευθίδες τε καὶ [m] τεῦθοι καὶ σηπίαι· [n] ἕτερον τὸ τῶν ἐντόμων. Ταῦτα δὲ πάντα μέν ἐστιν ἄναιμα, ὅσα δὲ 3

[l] οἷον τὰ τῶν P.D[a]. [m] μείζονα P.D[a]. [n] ἀλεεινοτέροις A[a]. [o] πάντα τὰ κινούμενα A[a]. [p] τέτρασι P.D[a]. [q] μὲν γὰρ ἔναιμα A[a].C[a]. [r] τέτρασι P.A[a].C[a].D[a]. [s] ὄρνις] καὶ ὄρνις A[a].C[a]. [t] τέσσαρσι D[a], τέταρσι P, τέτρασι A[a].C[a]. [u] τέταρσι P, τέτρασι A[a].C[a]. [w] καμπταὶ A[a]. [x] τέτταρσιν D[a], τέταρσιν P. [y] ἔχει πόδας P. [z] τέταρσι P, τέτρασι A[a].C[a]. [a] καὶ om. P.D[a]. [b] τούτῳ Gaza : τοῦτο P.A[a].C[a].D[a]. [c] σημαίνει A[a].C[a]. [d] τὸ] τὸν P. [e] καὶ ὅτι P.D[a]. [f] δ' ἐστὶ μέγιστα D[a]. [g] τῶν om. P. [h] ζῶα ἀφ' ὧν τάδ' P.D[a]. [i] κῆτος A[a].C[a]. [k] τὸ post ἄλλο om. P. [l] τινὰ om. P.D[a]. [m] τευθοὶ P. [n] ἕτερον] καὶ ἕτερον P.D[a].

Digitized by Google

πόδας ἔχει, πολύποδα· τῶν δ' ἐντόμων ἕνια καὶ πτηνά ἐστιν. Τῶν δὲ λοιπῶν ζῴων [o] οὐκέτι τὰ γένη μεγάλα· οὐ γὰρ περιέχει πολλὰ εἴδη ἓν εἶδος, ἀλλὰ τὸ μέν ἐστιν ἁπλοῦν αὐτὸ οὐκ ἔχον [p] διαφορὰν τὸ εἶδος, οἷον ἄνθρωπος, τὰ δ' ἔχει μέν, ἀλλ' ἀνώνυμα τὰ εἴδη. [q] Ἔστι γὰρ τὰ [r] τετράποδα καὶ [s] μὴ πτερωτὰ ἔναιμα μὲν πάντα, ἀλλὰ τὰ μὲν ζῳοτόκα τὰ δ' ᾠοτόκα αὐτῶν. [v] Ὅσα μὲν οὖν ζῳοτόκα, [t] οὐ πάντα τρίχας ἔχει, ὅσα δ' ᾠοτόκα, [v] φολίδας ἔχει· ἔστι δ' ἡ φολὶς ὅμοιον χώρᾳ λεπίδος. [u] Ἄπουν δὲ φύσει ἐστὶν ἔναιμον πεζὸν τὸ τῶν ὄφεων γένος· ἔστι δὲ τοῦτο [w] φολιδωτόν. Ἀλλ' οἱ μὲν ἄλλοι ᾠοτοκοῦσιν [x] ὄφεις, ἡ δ' ἔχιδνα μόνον ζῳοτοκεῖ. Τὰ μὲν γὰρ ζῳοτοκοῦντα οὐ πάντα τρίχας ἔχει· καὶ γὰρ τῶν ἰχθύων τινὲς ζῳοτοκοῦσιν· ὅσα μέντοι [y] ἔχει τρίχας, [z] πάντα ζῳοτοκεῖ. Τριχῶν γάρ τι εἶδος θετέον καὶ τὰς ἀκανθώδεις τρίχας, οἷας [a] οἱ χερσαῖοι ἔχουσιν ἐχῖνοι καὶ οἱ ὕστριχες· τριχὸς γὰρ χρείαν παρέχουσιν, ἀλλ' οὐ ποδῶν, ὥσπερ [b] οἱ τῶν θαλατ-τίων. Τοῦ δὲ γένους τοῦ τῶν τετραπόδων ζῴων καὶ ζῳοτόκων εἴδη μέν ἐστι [c] πολλά, ἀνώνυμα [d] δέ· [e] ἀλλὰ καθ' ἕκαστον [f] αὐτῶν ὡς εἰπεῖν, ὥσπερ ἄνθρωπος εἴρηται, [g] λέων, ἔλαφος, ἵππος, κύων καὶ τἆλλα τοῦτον τὸν τρόπον, ἐπεί ἐστιν ἕν τι γένος καὶ ἐπὶ [h] τοῖς λοφούροις καλουμένοις, οἷον ἵππῳ καὶ ὄνῳ καὶ ὀρεῖ καὶ [i] γίννῳ καὶ [k] ἴννῳ καὶ [l] ταῖς ἐν Συρίᾳ καλουμέναις ἡμιόνοις, αἳ καλοῦνται ἡμίονοι δι' ὁμοιότητα, οὐκ οὖσαι ἁπλῶς τὸ αὐτὸ εἶδος· καὶ γὰρ ὀχεύονται καὶ γεννῶνται ἐξ ἀλλήλων. Διὸ [m] καὶ χωρὶς [n] λαμβάνοντας ἀνάγκη θεωρεῖν ἑκάστου τὴν φύσιν αὐτῶν.

[o] οὐκέτι ἐστὶ τὰ P.D[a]. [p] διαφορὰς P.D[a]. [q] ἔστι γὰρ] ἔτι A[a].C[a]. [r] τετράποδα εἴδη καὶ P. [s] μὴ] οὐ P.D[a]. [t] οὐ om. C[a]. et pr. A[a]. [v] φολίδα, omisso ἔχει, A[a].C[a]. [w] φολιδωτὸν μὲν ἀλλ' P. [x] ὄφιες D[a]. [y] τρίχας ἔχει P.D[a]. [z] ἅπαντα A[a].C[a]. [a] οἵ γε χ. P, οἵ τε χ. D[a]. [b] αἱ P.D[a]. [c] πολλά om. C[a]. [d] δέ om. C[a]. [e] ἄλλα δὲ καθ' A[a].C[a]. [f] αὐτῶν om. P.D[a]. [g] καὶ λέων καὶ ἵππος καὶ ἔλαφος καὶ κύων D[a], καὶ λέων καὶ ἵππος ἔλαφος κύων P. [h] super τοῖς λοφούροις rc. A[a]. τοῖς ἔχουσι χαίτην. λοφούροις post καλουμένοις P.D[a]. [i] γιννῷ C[a]. et pr. A[a]. [k] ἰννῷ C[a]. et pr. A[a], ἴνῳ P.D[a]. [l] τοῖς ἐν Συρίᾳ καλουμένοις P. [m] καὶ om. A[a].C[a]. [n] λαμβάνοντα D[a].

Digitized by Google

Ταῦτα μὲν οὖν τοῦτον τὸν τρόπον εἴρηται νῦν ὡς [o]ἐν 8
τύπῳ, γεύματος χάριν περὶ ὅσων καὶ ὅσα θεωρητέον· δι'
ἀκριβείας δ' ὕστερον ἐροῦμεν, ἵνα πρῶτον τὰς ὑπαρχούσας
διαφορὰς καὶ τὰ συμβεβηκότα πᾶσι [p]λάβωμεν. Μετὰ δὲ
τοῦτο τὰς αἰτίας τούτων πειρατέον εὑρεῖν. Οὕτω γὰρ κατὰ 9
φύσιν ἐστὶ ποιεῖσθαι τὴν μέθοδον, ὑπαρχούσης τῆς ἱστορίας
τῆς περὶ ἕκαστον· περὶ ὧν τε γὰρ καὶ ἐξ ὧν εἶναι δεῖ τὴν
ἀπόδειξιν, ἐκ τούτων [q]γίνεται φανερόν. Ληπτέον [r]δὲ [s]πρῶ-
τον τὰ μέρη τῶν ζῴων ἐξ ὧν συνέστηκεν. Κατὰ γὰρ ταῦτα 10
μάλιστα καὶ πρῶτα διαφέρει καὶ τὰ ὅλα, ἢ τῷ τὰ μὲν ἔχειν
τὰ δὲ μὴ ἔχειν, ἢ τῇ θέσει καὶ τῇ τάξει, ἢ [t]καὶ κατὰ τὰς
εἰρημένας πρότερον διαφοράς, εἴδει καὶ ὑπεροχῇ καὶ ἀναλο-
γίᾳ καὶ [v]τῶν παθημάτων ἐναντιότητι. Πρῶτον δὲ τὰ τοῦ 11
ἀνθρώπου μέρη ληπτέον· ὥσπερ γὰρ τὰ νομίσματα πρὸς
τὸ αὐτοῖς [w]ἕκαστοι γνωριμώτατον δοκιμάζουσιν, οὕτω δὴ
καὶ ἐν τοῖς ἄλλοις· ὁ [x]δ' ἄνθρωπος τῶν ζῴων γνωριμώτατον
ἡμῖν ἐξ ἀνάγκης ἐστίν. Τῇ μὲν οὖν αἰσθήσει οὐκ ἄδηλα τὰ 12
μόρια· ὅμως δ' [y]ἕνεκεν τοῦ μὴ παραλιπεῖν τε τὸ ἐφεξῆς καὶ
τοῦ λόγον ἔχειν μετὰ τῆς αἰσθήσεως, λεκτέον τὰ μέρη πρῶ-
τον [z]μὲν τὰ ὀργανικά, εἶτα τὰ ὁμοιομερῆ.

Μέγιστα μὲν οὖν ἐστὶ τάδε τῶν [a]μερῶν εἰς ἃ διαιρεῖται 7
τὸ σῶμα τὸ σύνολον, κεφαλή, αὐχήν, θώραξ, [b]βραχίονες
δύο, σκέλη δύο, τὸ ἀπ' αὐχένος [c]μέχρι αἰδοίων κύτος, ὃ κα-
λεῖται θώραξ. Κεφαλῆς μὲν οὖν μέρη τὸ μὲν τριχωτὸν
κρανίον καλεῖται. Τούτου δὲ μέρη τὸ μὲν [d]πρόσθιον βρέ- 2
γμα, ὑστερογενές (τελευταῖον γὰρ τῶν ἐν τῷ σώματι πήγνυ-
ται ὀστῶν), τὸ δ' ὀπίσθιον ἰνίον, μέσον δ' ἰνίου καὶ βρέγμα-
τος κορυφή. Ὑπὸ μὲν οὖν τὸ βρέγμα ὁ ἐγκέφαλός ἐστιν,
τὸ δ' ἰνίον κενόν. [e]Ἔστι δὲ τὸ κρανίον ἅπαν ἀραιὸν 3
ὀστοῦν, στρογγύλον, ἀσάρκῳ δέρματι περιεχόμενον. Ἔχει

[o] ἐν om. P.C[a].D[a]. [p] λαμβάνωμεν A[a].C[a]. [q] γίνεσθαι A[a]. [r] δὴ P.A[a]. [s] πρῶτον μὲν τὰ P.D[a]. [t] καὶ ante κατὰ om. P.D[a]. [v] τὰ παθήματα pr. A[a]. [w] ἕκαστον P.A[a].D[a]. [x] δ' om. D[a]. [y] ἕνεκα P.D[a]. [z] μὲν om. P.A[a].C[a]. [a] μελῶν A[a].C[a]. [b] βραχίονες—θώραξ om. pr. C[a]. [c] μέχρις D[a]. [d] ἐμπρόσθιον P.D[a]. [e] ἐστιν. τὸ δὲ A[a].C[a].

Digitized by Google

δὲ ῥαφὰς τῶν μὲν γυναικῶν μίαν κύκλῳ, τῶν δ' ἀνδρῶν τρεῖς εἰς ἓν συνάπτούσας ὡς ἐπὶ τὸ πολύ· [f]ἤδη δ' ὠμμένη ἐστὶ
4 κεφαλὴ ἀνδρὸς οὐδεμίαν ἔχουσα ῥαφήν. Τοῦ δὲ κρανίου κορυφὴ καλεῖται τὸ μέσον [g]λίσσωμα τῶν τριχῶν. Τοῦτο δ' ἐνίοις διπλοῦν ἐστίν· γίνονται γάρ τινες δικόρυφοι, οὐ τῷ ὀστῷ ἀλλὰ τῇ [h]τῶν τριχῶν [i]λισσώσει.

8 Τὸ δ' ὑπὸ τὸ κρανίον ὀνομάζεται πρόσωπον ἐπὶ μόνου τῶν ἄλλων ζῴων ἀνθρώπου· ἰχθύος γὰρ καὶ βοὸς οὐ λέγεται πρόσωπον. Προσώπου δὲ τὸ μὲν ὑπὸ τὸ βρέγμα μεταξὺ τῶν ὀμμάτων [k]μέτωπον. Τοῦτο δὲ οἷς μὲν μέγα, βραδύτεροι, οἷς δὲ μικρόν, εὐκίνητοι· καὶ οἷς μὲν πλατύ, ἐκστατι-
9 κοί, οἷς δὲ περιφερές, [l]θυμικοί. Ὑπὸ δὲ τῷ μετώπῳ ὀφρύες διφυεῖς· ὧν αἱ μὲν εὐθεῖαι μαλακοῦ ἤθους σημεῖον, αἱ δὲ πρὸς τὴν ῥῖνα τὴν καμπυλότητ' ἔχουσαι στρυφνοῦ, αἱ δὲ πρὸς τοὺς κροτάφους [m]μωκοῦ καὶ εἴρωνος, [n]αἱ δὲ κατεσπασμέναι φθόνου. Ὑφ' [o]αἷς ὀφθαλμοί. Οὗτοι κατὰ φύσιν δύο.
2 Τούτων μέρη ἑκατέρου βλέφαρον τὸ ἄνω καὶ κάτω. Τούτου τρίχες αἱ ἔσχαται βλεφαρίδες. Τὸ [p]δ' ἐντὸς τοῦ ὀφθαλμοῦ, [q]τὸ μὲν ὑγρόν, [r]ᾧ βλέπει, κόρη, τὸ δὲ περὶ τοῦτο μέλαν, τὸ δ' ἐκτὸς τούτου λευκόν. Κοινὸν δὲ τῆς βλεφαρίδος μέρος τῆς ἄνω καὶ κάτω κανθοὶ δύο, [s]ὁ μὲν πρὸς τῇ ῥινί, [t]ὁ δὲ πρὸς τοῖς κροτάφοις· οἱ [v]δὲ [w]μὲν ὧσι μακροί, [x]κακοηθείας σημεῖον, [y]ἐὰν δ' οἷον οἱ κτένες κρεῶδες ἔχωσι [z]τὸ
3 πρὸς τῷ μυκτῆρι, πονηρίας. Τὰ μὲν οὖν ἄλλα [a]γένη πάντα τῶν ζῴων πλὴν τῶν ὀστρακοδέρμων [b]καὶ εἴ τι ἄλλο ἀτελές, ἔχει ὀφθαλμούς· τὰ δὲ ζωοτόκα πάντα πλὴν ἀσπάλακος. Τοῦτον [c]δὲ τρόπον μέν τιν' ἔχειν ἂν θείη τις, ὅλως δ' [d]οὐκ

[f] ἡ δ' ἠνωμένη Aª. [g] ἀλίσσωμα P. [h] τῶν om. Cª. et pr. Aª. [i] ἀλισσώσει P. [k] πρόσωπον pr. Aª. [l] θυμικοί] εὔκοι Aª, εὔικοι Cª. [m] μώκου Aª.Cª. [n] αἱ δὲ κατ. φθ.] hæc post (sect. 4.) ἐπιφυομένου τοῦ δέρματος ponunt P.Aª.Cª.Dª, αἱ δὲ mutatis in αἱ δ' ὀφρύες αἱ. [o] αἷς οἱ ὀφθαλμοί. δύο κατὰ φύσιν οὗτοι. τούτου ἑκατέρου μέρη P.Dª. [p] ἐντὸς δὲ P. [q] τῷ μὲν ὑγρῷ Aª. [r] ᾧ] ὃ P.Dª. [s] ὁ] ὃς Cª, om. P.Dª. [t] ὁ] δύο P.Dª. [v] ἐὰν Dª. [w] μὲν οὖν ὦσι P. [x] κακοήθους Aª. [y] ἂν Aª.Cª. [z] τὸ] οἱ P.Dª. [a] πάντα γένη P.Dª, γένη πάντων Cª. [b] καὶ] κἂν P.Dª. [c] δὲ τὸν τρόπον τιν' P.Dª. [d] οὐκ ἔχει Aª.

Digitized by Google

ἔχειν. [v]Ὅλως μὲν γὰρ οὔθ' ὁρᾷ οὔτ' ἔχει εἰς τὸ φανερὸν 4
δήλους ὀφθαλμούς· ἀφαιρεθέντος [e]δὲ τοῦ δέρματος ἔχει τήν
τε χώραν τῶν ὀμμάτων καὶ τῶν ὀφθαλμῶν τὰ μέλανα [f]κατὰ
τὸν [g]τόπον καὶ τὴν χώραν τὴν φύσει τοῖς ὀφθαλμοῖς ὑπάρ-
χουσαν ἐν τῷ ἐκτός, ὡς ἐν τῇ γενέσει [h]πηρουμένων καὶ [i]ἐπι-
φυομένου τοῦ δέρματος. [1]Ὀφθαλμοῦ δὲ τὸ μὲν λευκὸν 10
[k]ὅμοιον ὡς ἐπὶ τὸ πολὺ πᾶσιν, τὸ δὲ καλούμενον μέλαν δια-
φέρει· τοῖς μὲν γάρ ἐστι μέλαν, τοῖς δὲ σφόδρα γλαυκόν,
τοῖς δὲ χαροπόν, ἐνίοις δὲ αἰγωπόν, [l]ὃ ἦθους [m]βελτίστου
σημεῖον καὶ πρὸς ὀξύτητα ὄψεως κράτιστον. Μόνον [n]δ' ἢ 12
μάλιστα τῶν ζῴων ἄνθρωπος πολύχρους τὰ ὄμματά ἐστιν·
τῶν δ' ἄλλων ἓν εἶδος· ἵπποι δὲ γίνονται [o]γλαυκοὶ ἔνιοι.
Τῶν δ' ὀφθαλμῶν οἱ μὲν μεγάλοι, οἱ δὲ μικροί, [p]οἱ δὲ μέσοι·
οἱ μέσοι βέλτιστοι. Καὶ ἢ ἐκτὸς σφόδρα ἢ ἐντὸς ἢ μέσως·
τούτων [q]οἱ ἐντὸς μάλιστα ὀξυωπέστατοι ἐπὶ παντὸς ζῴου,
τὸ δὲ μέσον ἦθους βελτίστου σημεῖον. Καὶ ἢ σκαρδαμυκτι- 13
κοὶ ἢ ἀτενεῖς ἢ μέσοι· [r]βελτίστου δὲ ἤθους οἱ μέσοι, ἐκείνων
δ' [s]ὁ μὲν ἀναιδὴς ὁ δ' ἀβέβαιος.

[t][u]Ἔτι δὲ κεφαλῆς μόριον, δι' οὗ ἀκούει, ἄπνουν, τὸ οὖς· 11
[1]Ἀλκμαίων γὰρ οὐκ ἀληθῆ λέγει, φάμενος ἀναπνεῖν τὰς αἶ-
γας [v]κατὰ τὰ ὦτα. [1]Ὠτὸς δὲ μέρος τὸ μὲν [w]ἀνώνυμον, τὸ
δὲ λοβός. [v]Ὅλον δ' ἐκ χόνδρου καὶ σαρκὸς σύγκειται. Εἴσω
δὲ τὴν μὲν φύσιν ἔχει οἷον οἱ στρόμβοι, τὸ δ' ἔσχατον
ὀστοῦν ὅμοιον τῷ ὠτί, εἰς ὃ ὥσπερ ἀγγεῖον ἔσχατον ἀφι-
κνεῖται ὁ ψόφος. Τοῦτο δ' εἰς μὲν τὸν ἐγκέφαλον οὐκ ἔχει 12
πόρον, εἰς δὲ τὸν τοῦ στόματος οὐρανόν· καὶ ἐκ τοῦ ἐγκε-
φάλου φλὲψ τείνει εἰς [x]αὐτό. Περαίνουσι δὲ καὶ οἱ ὀφθαλ-

[e] δὲ] γὰρ Aa.Ca. [f] κατὰ] καὶ P.Da. [g] τρόπον P. [h] τηρουμένων Da, πληρουμένων Aa.Ca. [i] ἐπιφερομένου P.Da. [k] ὡς ἐπὶ τὸ πολὺ ὅμοιον P.Da. [l] δ] τοῦτο Aa.Ca. [m] βέλτιστον pr. Aa. [n] δ' ἢ μᾶλλον Aa, ἢ μᾶλλον Ca. [o] ἑτερόγλαυκοι Schneiderus. [p] οἱ δὲ μέσοι. οἱ μέσοι] οἱ μέσοι δὲ P.Da. [q] οἱ δ' ἐντὸς Aa.Ca. [r] βελτίστου δὲ ἤθους οἱ μέσοι om. Ca. et pr. Aa. βελτίστου ἤθους σημεῖον οἱ μέσοι rc. Aa. [s] οἱ μὲν ἀναιδεῖς οἱ δ' ἀβέβαιοι P. [t] ἔστι codices. [v] κατὰ om. P. [w] ἀνώνυμον] ἄνω πτέρυξ Da. [x] αὐτό] ἑκάτερον P.Da.

Digitized by Google

μοὶ εἰς τὸν ἐγκέφαλον, καὶ κεῖται [y]ἐπὶ φλεβίου ἑκάτερος.
1 [1]Ἀκίνητον δὲ τὸ οὖς ἄνθρωπος ἔχει [z]μόνος τῶν ἐχόντων τοῦ-
3 το τὸ μόριον. Τῶν γὰρ ἐχόντων ἀκοὴν τὰ μὲν ἔχει ὦτα,
τὰ δ' οὐκ ἔχει, ἀλλὰ τὸν πόρον φανερόν, οἷον ὅσα πτερωτὰ
ἢ φολιδωτά. [v]Ὅσα δὲ ζῳοτοκεῖ, ἔξω [a]φώκης καὶ δελφῖνος
καὶ τῶν ἄλλων ὅσα οὕτω κητώδη, πάντα [b]ἔχει ὦτα· ζῳοτο-
4 κεῖ γὰρ καὶ τὰ σελάχη· ἀλλὰ μόνον ἄνθρωπος οὐ κινεῖ. [1]Ἡ
μὲν οὖν φώκη πόρους [c]ἔχει φανεροὺς [d]ἣ ἀκούει· ὁ δὲ [e]δελ-
φὶς ἀκούει μέν, οὐκ ἔχει δ' ὦτα. Τὰ δ' ἄλλα κινεῖ πάντα.
[f]Κεῖται δὲ τὰ ὦτα ἐπὶ τῆς αὐτῆς περιφερείας τοῖς ὀφθαλ-
μοῖς, καὶ οὐχ ὥσπερ ἐνίοις τῶν τετραπόδων ἄνωθεν. [v]Ὠτων
δὲ τὰ μὲν ψιλά, τὰ δὲ δασέα, τὰ δὲ μέσα· βέλτιστα δὲ τὰ
5 μέσα πρὸς ἀκοήν, ἦθος δ' οὐδὲν σημαίνει. Καὶ [g]ἢ μεγάλα ἢ
μικρὰ ἢ μέσα, ἢ ἐπανεστηκότα σφόδρα ἢ οὐθὲν ἢ μέσον· τὰ
[h]δὲ μέσα βελτίστου ἤθους σημεῖον, τὰ δὲ μεγάλα καὶ ἐπα-
νεστηκότα μωρολογίας [i]καὶ ἀδολεσχίας. [j]Τὸ δὲ μεταξὺ
ὀφθαλμοῦ καὶ ὠτὸς καὶ κορυφῆς καλεῖται κρόταφος.
6 [v]Ἔτι προσώπου μέρος τὸ μὲν [k]ὂν τῷ πνεύματι [l]πόρος
ῥίς· καὶ γὰρ ἀναπνεῖ καὶ [m]ἐκπνεῖ ταύτῃ, καὶ ὁ πταρμὸς διὰ
[n]ταύτης γίνεται, πνεύματος ἀθρόου ἔξοδος, σημεῖον οἰωνι-
7 στικὸν καὶ ἱερὸν μόνον τῶν πνευμάτων. [o]Ἅμα δ' ἡ ἀνά-
πνευσις [p]καὶ ἔκπνευσις γίνεται εἰς τὸ στῆθος, καὶ ἀδύνατον
χωρὶς τοῖς μυκτῆρσιν ἀναπνεῦσαι ἢ ἐκπνεῦσαι, διὰ τὸ ἐκ [q]τοῦ
στήθους εἶναι τὴν ἀναπνοὴν καὶ ἐκπνοὴν κατὰ τὸν γαργα-
ρεῶνα, καὶ μὴ ἐκ τῆς κεφαλῆς τινὶ μέρει· ἐνδέχεται [r]δὲ καὶ
8 μὴ χρώμενον ταύτῃ ζῆν. [s]Ἡ δ' ὄσφρησις γίνεται διὰ τού-
του τοῦ μέρους· αὕτη δ' ἐστὶν [t]ἡ αἴσθησις ὀσμῆς. Εὐκίνη-

[y] ὑπὸ $A^a.C^a$. [z] μόνον P.D^a. [a] φώκης τε καὶ—οὕτω τε κητώδη $A^a.C^a$. [b] ἔχει τὰ ὦτα A^a. post ὦτα A^a. ἀκοὴν ἔχει καὶ πόρους (omissis ζῳοτοκεῖ—φώκη), P.$C^a.D^a$. ἀκοὴν ἔχοντα καὶ πόρους φανερούς. ζῳοτοκεῖ—. [c] φανεροὺς ἔχει A^a. [d] οἷς $A^a.C^a$. [e] δελφὶν P.D^a. [f] κεῖνται C^a, κινεῖται A^a. [g] ἢ μέσα ἢ μικρά P.D^a. [h] δὲ om. P. [i] καὶ ἀδ.] ἢ ἀδ. D^a. [j] τὰ P.D^a. [k] ὂν om. P.D^a. [l] πόρος ἐστὶ ῥίς P. [m] ἐκπνεῖ] εἰσπνεῖ D^a. [n] τούτου D^a, τοῦτο P. [o] ἅμα δ' ἡ] ἀλλὰ δὴ $A^a.C^a$. [p] καὶ ἡ ἔκπνευσις D^a, καὶ ἡ ἔμπνευσις P. [q] τοῦ om. A^a. [r] δὲ] γὰρ P.D^a. [s] ἡ δ'] καὶ P, καὶ ἡ D^a. [t] ἡ om. D^a.

Digitized by Google

τος δ' ὁ μυκτήρ, καὶ οὐχ ὥσπερ τὸ οὖς ἀκίνητον κατ' ἰδίαν. Μέρος δ' αὐτοῦ τὸ μὲν διάφραγμα χόνδρος, τὸ δ' ὀχέτευμα κενόν· ἔστι [v]γὰρ ὁ μυκτὴρ διχότομος. Τοῖς δὲ ἐλέφασιν ὁ 9 μυκτὴρ γίνεται μακρὸς καὶ ἰσχυρός, καὶ χρῆται αὐτῷ ὥσπερ χειρί· προσάγεταί [w]τε γὰρ καὶ λαμβάνει τούτῳ καὶ εἰς τὸ στόμα προσφέρεται τὴν τροφήν, καὶ τὴν ὑγρὰν καὶ [x]τὴν ξηράν, μόνον τῶν ζώων.

[y]Ἔτι δὲ σιαγόνες δύο· τούτων τὸ πρόσθιον γένειον, τὸ δ' 10 ὀπίσθιον γένυς. [y]Κινεῖ δὲ πάντα τὰ ζῷα τὴν [z]κάτωθεν [a]γένυν, πλὴν τοῦ [b]ποταμίου κροκοδείλου· οὗτος δὲ [c]τὴν ἄνω μόνον. Μετὰ δὲ τὴν ῥῖνα χείλη δύο, σὰρξ εὐκίνητος. Τὸ δ' ἐντὸς [d]στόμα σιαγόνων καὶ χειλῶν. Τούτου μέρη τὸ μὲν [e]ὑπερῷα τὸ δὲ φάρυγξ. Τὸ δ' αἰσθητικὸν χυμοῦ γλῶττα· 11 ἡ δ' αἴσθησις [f]ἐν τῷ ἄκρῳ· ἐὰν δὲ ἐπὶ τὸ πλατὺ ἐπιτεθῇ, ἧττον. Αἰσθάνεται δὲ καὶ ὧν ἡ [g]ἄλλη σὰρξ πάντων, οἷον σκληροῦ θερμοῦ καὶ ψυχροῦ καθ' ὁτιοῦν μέρος, ὥσπερ καὶ χυμοῦ. Αὕτη δὲ ἡ πλατεῖα ἢ στενὴ ἢ μέση· ἡ [h]μέση δὲ βελτίστη [i]καὶ σαφεστάτη. [k]Καὶ ἡ λελυμένη ἢ καταδεδε- μένη, ὥσπερ τοῖς ψελλοῖς καὶ τοῖς τραυλοῖς. [l]Ἔστι δ' ἡ 12 γλῶττα σὰρξ μανὴ καὶ [m]σομφή. Ταύτης [n]τι μέρος ἐπι- γλωττίς. [o]Καὶ τὸ μὲν διφυὲς τοῦ στόματος παρίσθμιον, τὸ δὲ πολυφυὲς οὖλον· σάρκινα δὲ ταῦτα. [t]Ἐντὸς δ' ὀδόν- τες ὀστέϊνοι. [p]Ἔσω δ' ἄλλο μόριον σταφυλοφόρον, κίων [q]ἐπίφλεβος· ὃς ἐὰν ἐξυγρανθεὶς [r]φλεγμήνῃ, σταφυλὴ κα- λεῖται καὶ πνίγει.

Αὐχὴν [s]δὲ τὸ μεταξὺ προσώπου καὶ θώρακος. Καὶ τούτου 13 τὸ μὲν πρόσθιον [t]μέρος λάρυγξ, τὸ δ' ὀπίσθιον στόμαχος.

[v] γὰρ] δὲ Ca. [w] τε om. P.Da. [x] τὴν ante ξηράν om. Aa.Ca. [y] κινεῖται Aa.Ca. [z] κάτω Da. [a] σιαγόνα P.Da. [b] ποταμείου Aa. [c] μόνον τὴν ἄνω Da, μόνος τὴν ἄνω P. [d] στόμα om. Da. [e] ὑπερώα Da. [f] ἐν om. P.Ca. et pr. Aa. [g] ἄλλη om. P.Da. [h] μέση ante δὲ om. P.Da. [i] καὶ] καὶ ἡ Aa, καὶ ἡ Ca. [k] καὶ ἡ] ἢ Aa, καὶ ἡ Ca. [l] ἔστι om. P.Da. [m] σομφός P.Da. [n] τι om. P.Da. [o] οἶμαι τὸ φά- τνωμα τῶν ὀδόντων λέγει, ἢ τὰ χείλη, ὃ καὶ κρεῖττον Aa. super versum. [p] εἴσω Aa. [q] ἐπὶ φλεβός P.Da. [r] φλεγμάνῃ Aa.Ca, φλεγμαίνῃ P. [s] τὸ δὲ μεταξὺ πρ. καὶ θ. αὐχὴν P. [t] μέρος om. Aa.Ca.

Digitized by Google

Τούτου δὲ τὸ μὲν χονδρῶδες καὶ πρόσθιον, δι' οὗ ἡ φωνὴ καὶ [v] ἡ ἀναπνοή, ἀρτηρία· τὸ δὲ σαρκῶδες στόμαχος, [w] ἐντὸς πρὸ τῆς ῥάχεως. Τὸ δ' ὀπίσθιον αὐχένος [x] μόριον ἐπωμίς. Ταῦτα μὲν οὖν τὰ μόρια μέχρι τοῦ θώρακος.

2 Θώρακος δὲ μέρη τὰ μὲν πρόσθια τὰ δ' ὀπίσθια. Πρῶτον μὲν μετὰ τὸν αὐχένα ἐν τοῖς [y] προσθίοις στῆθος διφυὲς [z] μαστοῖς. Τούτων ἡ θηλὴ διφυής, δι' ἧς τοῖς θήλεσι τὸ γάλα διηθεῖται· ὁ δὲ μαστὸς μανός. Ἐγγίνεται δὲ [a] καὶ τοῖς ἄρρεσι γάλα· ἀλλὰ πυκνὴ ἡ σὰρξ [b] τοῖς ἄρρεσι, ταῖς δὲ γυναιξὶ σομφὴ καὶ πόρων μεστή.

13 Μετὰ δὲ τὸν θώρακα ἐν τοῖς προσθίοις γαστήρ, καὶ ταύτης ῥίζα ὀμφαλός· ὑπόρριζον δὲ τὸ μὲν διφυὲς λαγών, τὸ δὲ μονοφυὲς τὸ μὲν ὑπὸ τὸν ὀμφαλὸν [c] ἧτρον (τούτου δὲ τὸ ἔσχατον [d] ἐπίσιον), τὸ δ' ὑπὲρ τὸν ὀμφαλὸν ὑποχόνδριον, τὸ 2 δὲ [e] κοινὸν ὑποχονδρίου καὶ λαγόνος χολάς. Τῶν δ' ὄπισθεν διάζωμα μὲν ἡ ὀσφύς, ὅθεν καὶ τοὔνομ' ἔχει (δοκεῖ γὰρ [f] εἶναι [g] ἰσοφυές), τοῦ δὲ διεξοδικοῦ τὸ μὲν οἷον [h] ἐφέδρανον 3 [i] γλουτός, τὸ δ' ἐν ᾧ στρέφεται ὁ μηρός, κοτυληδών. Τοῦ δὲ θήλεος [j] ἴδιον μέρος ὑστέρα, καὶ τοῦ ἄρρενος αἰδοῖον, ἔξωθεν ἐπὶ [k] τῷ τέλει τοῦ θώρακος, διμερές, τὸ μὲν ἄκρον σαρκῶδες [l] καὶ λεῖον ὡς εἰπεῖν ἴσον, ὃ καλεῖται βάλανος, τὸ δὲ περὶ αὐτὴν ἀνώνυμον δέρμα, ὃ ἐὰν διακοπῇ, οὐ συμφύεται, οὐδὲ γνάθος οὐδὲ βλεφαρίς. Κοινὸν δὲ τούτου καὶ τῆς βαλάνου 4 [m] ἀκροποσθία. Τὸ δὲ λοιπὸν μέρος χονδρῶδες, [n] εὐαυξές, καὶ [o] ἐξέρχεται καὶ εἰσέρχεται ἐναντίως ἢ τοῖς λοφούροις. Τοῦ δ' αἰδοίου ὑποκάτω ὄρχεις δύο. Τὸ δὲ πέριξ δέρμα, [p] ὃ καλεῖται [q] ὄσχεος. Οἱ δ' ὄρχεις οὔτε ταὐτὸ σαρκὶ οὔτε πόρρω σαρκός· ὃν τρόπον δ' ἔχουσιν, ὕστερον δι' ἀκριβείας λεχθή-

[v] ἡ om. A[a].C[a]. [w] ἐντὸς] ἐν τοῖς pr. A[a]. [x] μέρος A[a].C[a]. [y] ἐμπροσθίοις P. [z] μαστοί P.D[a]. [a] καὶ ἐν τοῖς A[a].C[a]. [b] τοῖς ἄρρεσι] τούτοις P.D[a]. [c] ἶτρον P. [d] ἐπίσειον A[a]. [e] κοίλον P.D[a]. [f] εἶναι om. P. [g] ἰσοφυές] τις ὀσφύς A[a].C[a]. [h] ἐφ' ἕδραν ὃν A[a].C[a], ἐφέδρα D[a], ἐφ' ἕδρα P. [i] γλωττὸς P. [j] ἴδιον om. D[a]. [k] τῷ om. C[a]. et pr. A[a]. [l] καὶ ἀεὶ λεῖον A[a].C[a], καὶ ἄνισον (omisso mox ἴσον) P.D[a]. [m] ἀκροπισθία pr. A[a]. [n] εὔαυξες P. [o] εἰσέρχεται καὶ ἐξέρχεται P.D[a]. [p] ὃ om. D[a]. [q] ὀσχέα P.D[a].

Digitized by Google

σεται καθόλου περὶ πάντων [r]τῶν τοιούτων μορίων. Τὸ δὲ 14
τῆς γυναικὸς αἰδοῖον ἐξ ἐναντίας τῷ τῶν ἀρρένων· κοῖλον γὰρ
τὸ ὑπὸ τὴν ἤβην καὶ οὐχ ὥσπερ τὸ τοῦ ἄρρενος ἐξεστηκός.
Καὶ οὐρήθρα [s]ἔξω τῶν ὑστερῶν, δίοδος τῷ σπέρματι [t]τῷ
τοῦ ἄρρενος, τοῦ δ' ὑγροῦ περιττώματος ἀμφοῖν ἔξοδος.

Κοινὸν δὲ μέρος αὐχένος καὶ στήθους σφαγή, πλευρᾶς 2
δὲ καὶ βραχίονος καὶ ὤμου μασχάλη, μηροῦ δὲ καὶ [v]ἤτρου
βουβών. Μηροῦ δὲ καὶ γλουτοῦ τὸ ἐντὸς [w]περίνεος, μηροῦ
δὲ καὶ [x]γλουτοῦ τὸ ἔξω ὑπογλουτίς.

Θώρακος δὲ περὶ [y]μὲν τῶν ἔμπροσθεν εἴρηται, τοῦ δὲ
[z]στήθους τὸ ὄπισθεν νῶτον. Νώτου δὲ [a]μέρη ὠμοπλάται 15
δύο καὶ ῥάχις, [b]ὑποκάτω δὲ κατὰ τὴν γαστέρα τοῦ θώρακος
ὀσφύς. Κοινὸν δὲ τοῦ ἄνω καὶ κάτω πλευραί, [c]ἑκατέρωθεν
ὀκτώ· περὶ γὰρ [d]Λιγύων τῶν καλουμένων ἑπταπλεύρων [e]οὐ-
θενός πω ἀξιοπίστου ἀκηκόαμεν.

[u]Ἔχει δ' ὁ ἄνθρωπος καὶ τὸ ἄνω καὶ τὸ κάτω, [f]καὶ πρόσθια
καὶ ὀπίσθια, καὶ δεξιὰ καὶ ἀριστερά. Τὰ μὲν οὖν δεξιὰ καὶ 2
ἀριστερὰ ὅμοια σχεδὸν [g]ἐν τοῖς μέρεσι καὶ [h]ταὐτὰ πάντα,
πλὴν ἀσθενέστερα τὰ ἀριστερά· τὰ δ' ὀπίσθια τοῖς προ-
σθίοις ἀνόμοια, καὶ τὰ κάτω τοῖς ἄνω, πλὴν [i]ὧδε ὅμοια, τὰ
[k]κάτω τοῦ ἤτρου οἷον τὸ πρόσωπον εὐσαρκίᾳ καὶ ἀσαρκίᾳ,
καὶ τὰ σκέλη πρὸς τοὺς βραχίονας ἀντίκειται· καὶ οἷς
βραχεῖς οἱ ἀγκῶνες, καὶ οἱ μηροὶ ὡς ἐπὶ τὸ πολύ, καὶ [l]οἷς οἱ
πόδες μικροί, καὶ αἱ χεῖρες.

Κώλου δὲ τὸ μὲν διφυὲς βραχίων· βραχίονος δὲ ὦμος, 3
[m]ἀγκών, [n]ὠλέκρανον, πῆχυς, χείρ· χειρὸς δὲ θέναρ, δάκτυλοι
πέντε· [o]δακτύλου δὲ τὸ μὲν καμπτικὸν κόνδυλος, τὸ δ' ἄκαμ-
πτον φάλαγξ. Δάκτυλος δ' ὁ μὲν μέγας μονοκόνδυλος, οἱ δ'

[r] τῶν om. pr. A[a]. [s] ἔξωθεν P. [t] τῷ ante τοῦ om. A[a].C[a]. [v] ἴτρου P. [w] περίνεον A[a].C[a]. [x] γλωττοῦ P. [y] μὲν om. D[a]. [z] στήθους ὄπισθεν νῶτα P.D[a]. [a] μέρος A[a]. [b] ὑποκάτωθεν A[a].C[a]. [c] ἑκατέρωσε P.C[a].D[a]. [d] λιγύων γρ. A[a], αἰγύων A[a], αἰγίων C[a], λιγνύων P.D[a]. [e] οὐθενὸς τῶν ἀξιοπίστων P.D[a]. [f] καὶ τὰ ἔμπροσθεν καὶ τὰ ὀπίσθια A[a].C[a]. [g] ἐν om. P.D[a]. [h] ταῦτα D[a], τὰ αὐτὰ A[a].C[a]. [i] ὅμοια ὧδε A[a]. [k] κάτω τοῖς ἄνω τοῦ D[a]. [l] ὅσοις P.D[a]. [m] ἀγκῶνος C[a]. et pr. A[a]. [n] ὀλέ-κρανον C[a]. [o] δακτύλων D[a]. et fortasse P.

Digitized by Google

4 ἄλλοι δικόνδυλοι. [p]Ἡ δὲ κάμψις καὶ τῷ βραχίονι καὶ τῷ [p]δακτύλῳ [q]εἴσω πᾶσιν· [r]κάμπτεται δ' [s]ὁ βραχίων κατὰ τὸ [t]ὠλέκρανον. Χειρὸς δὲ τὸ [u]μὲν ἐντὸς θέναρ, σαρκῶδες καὶ [v]διηρημένον [w]ἄρθροις, τοῖς μὲν μακροβίοις ἐνὶ ἢ δυσὶ δι' ὅλου, τοῖς δὲ βραχυβίοις δυσὶ καὶ [x]οὐ δι' ὅλου. [y]Ἄρθρα δὲ χειρὸς καὶ βραχίονος καρπός. Τὸ δὲ ἔξω τῆς χειρὸς νευρῶδες καὶ ἀνώνυμον.

5 Κώλου δὲ διμερὲς ἄλλο σκέλος. Σκέλους δὲ τὸ μὲν ἀμφικέφαλον [z]μηρός, τὸ δὲ [a]πλανησίεδρον [b]μύλη, τὸ δὲ [c]διόστεον κνήμη, καὶ ταύτης τὸ μὲν πρόσθιον ἀντικνήμιον, τὸ δ' ὀπίσθιον γαστροκνημία, σὰρξ νευρώδης ἢ φλεβώδης, τοῖς μὲν ἀνεσπασμένη ἄνω πρὸς τὴν [d]ἰγνύν, ὅσοι μεγάλα τὰ ἰσχία ἔχουσι, τοῖς δ' [e]ἐναντίως κατεσπασμένη· τὸ δ' ἔσχατον ἀντι-
6 κνημίου σφυρόν, διφυὲς ἐν ἑκατέρῳ τῷ σκέλει. Τὸ δὲ πολυόστεον τοῦ σκέλους πούς. Τούτου δὲ τὸ μὲν ὀπίσθιον μέρος [f]πτέρνα, τὸ δ' ἐμπρόσθιον τοῦ ποδὸς τὸ μὲν ἐσχισμένον [g]δάκτυλοι πέντε, τὸ δὲ σαρκῶδες [h]κάτωθεν στῆθος, τὸ δ'
7 ἄνωθεν ἐν τοῖς πρανέσι νευρῶδες καὶ ἀνώνυμον. Δακτύλου δὲ τὸ μὲν ὄνυξ, τὸ δὲ καμπή· πάντων δὲ [i]ὁ ὄνυξ ἐπ' ἄκρῳ· [k]μονόκαμπτοι δὲ πάντες οἱ κάτω δάκτυλοι. Τοῦ δὲ ποδὸς [l]ὅσοις τὸ ἐντὸς παχὺ καὶ μὴ κοῖλον, ἀλλὰ βαίνουσιν ὅλῳ, πανοῦργοι. [m]Κοινὸν δὲ μηροῦ καὶ κνήμης γόνυ [n]καμπή.

8 Ταῦτα μὲν οὖν τὰ μέρη κοινὰ καὶ [o]ἄρρενος καὶ θήλεος. [p]Ἡ δὲ θέσις τῶν μερῶν πρὸς τὸ ἄνω καὶ κάτω καὶ πρόσθιον καὶ ὀπίσθιον καὶ δεξιὸν καὶ ἀριστερὸν ὡς ἔχει, φανερὰ μὲν ἂν εἶναι δόξειε τὰ ἔξωθεν κατὰ τὴν αἴσθησιν, οὐ μὴν [q]ἀλλὰ διὰ τὴν αὐτὴν αἰτίαν λεκτέον δι' ἣνπερ καὶ τὰ πρότερον [r]εἰρήκα-

p κυνδύλῳ P.Da. q ἴσως P.Da, ἐντὸς Aa. r κάμπτεται. κάμπτεται δὲ P.Da. s ὁ om. Aa.Ca. t ὀλέκρανον Aa.Ca. u μὲν om. Da. v διηρθρωμένον P.Da. w ἄρθρῳ P.Da. x οὐ] μὴ Ca, om. pr. Aa. y ἄρθρον P.Da. z μικρός, γρ. μηρός, Aa. a πλάνης ἕδρον P.Da. b μύλα P. c διόστρεον pr. Aa. d ἰγνύην P. e ἐναντίοις P.Da. f πτέρνα] περόνη P. g δακτύλοις P.Da. h κάτω Aa. i ὁ om. P.Da. k μόνω καμπτοὶ Da, μόνω καμποὶ P. l ὅσοις μὲν τὸ Aa.Ca. m κοινοῦ Aa. n καμπή om. Da. o θήλεος καὶ ἄρρενος Aa.Ca. p θέσις δὲ P.Da. q ἀλλὰ καὶ διὰ P.Da. r εἰρημένα P.

Digitized by Google

μεν, ἵνα περαίνηται τὸ ἐφεξῆς, [s]καὶ καταριθμουμένων ὅπως ἧττον λανθάνῃ τὰ μὴ τὸν αὐτὸν ἔχοντα τρόπον ἐπί τε τῶν ἄλλων ζῴων καὶ ἐπὶ τῶν ἀνθρώπων. Μάλιστα δ' ἔχει διω- 9
ρισμένα πρὸς τοὺς κατὰ φύσιν τόπους τὰ [t]ἄνω καὶ κάτω ἄνθρωπος τῶν ἄλλων ζῴων· τά τε γὰρ ἄνω καὶ κάτω πρὸς τὰ τοῦ παντὸς ἄνω καὶ κάτω τέτακται. Τὸν αὐτὸν τρόπον καὶ τὰ πρόσθια καὶ [u]τὰ ὀπίσθια καὶ τὰ δεξιὰ καὶ τὰ ἀριστερὰ κατὰ φύσιν ἔχει. Τῶν δ' ἄλλων ζῴων τὰ μὲν οὐκ ἔχει, τὰ 10
δ' ἔχει μὲν συγκεχυμένα δ' [v]ἔχει μᾶλλον. [w]Ἡ μὲν οὖν κεφαλὴ πᾶσιν [x]ἄνω πρὸς τὸ σῶμα τὸ ἑαυτῶν· ὁ δ' ἄνθρωπος μόνος, ὥσπερ εἴρηται, πρὸς τὸ τοῦ ὅλου τελειωθεὶς [y]ἔχει τοῦτο τὸ μόριον. Μετὰ δὲ τὴν κεφαλήν ἐστιν [z]ὁ αὐχήν, εἶτα στῆθος καὶ [a]νῶτον, τὸ μὲν ἐκ τοῦ πρόσθεν τὸ δ' ἐκ τοῦ ὄπισθεν. Καὶ ἐχόμενα τούτων γαστὴρ καὶ ὀσφὺς καὶ 11
αἰδοῖον καὶ [b]ἰσχίον, εἶτα μηρὸς καὶ κνήμη, τελευταῖον δὲ πόδες. Εἰς [c]τὸ πρόσθεν δὲ καὶ τὰ σκέλη τὴν κάμψιν ἔχει, [d]ἐφ' ἃ καὶ ἡ πορεία, καὶ τῶν ποδῶν τὸ κινητικώτερον μέρος καὶ ἡ κάμψις· ἡ δὲ πτέρνα ἐκ τοῦ ὄπισθεν· τῶν δὲ σφυρῶν ἑκάτερον [e]κατὰ τὸ οὖς. [f]Ἐκ δὲ τῶν πλαγίων τῶν δεξιῶν καὶ [f]τῶν 12
ἀριστερῶν οἱ βραχίονες, τὴν κάμψιν ἔχοντες εἰς [g]τὸ ἐντός, ὥστε τὰ κυρτὰ τῶν σκελῶν καὶ τῶν βραχιόνων πρὸς ἄλληλα εἶναι ἐπ' ἀνθρώπου μάλιστα. Τὰς δ' αἰσθήσεις καὶ τὰ αἰ- 13
σθητήρια, ὀφθαλμοὺς καὶ [h]μυκτῆρας καὶ γλῶτταν, ἐπὶ ταὐτὸ καὶ εἰς τὸ πρόσθιον ἔχει· τὴν δ' ἀκοὴν καὶ τὸ αἰσθητήριον [i]αὐτῆς [j]καὶ [k]τὰ ὦτα ἐκ [l]τοῦ πλαγίου μέν, ἐπὶ τῆς αὐτῆς [m]δὲ περιφερείας τοῖς ὄμμασιν. Τὰ δ' ὄμματα [n]ἐλάχιστον κατὰ 14
μέγεθος διέστηκεν [o]ἀνθρώπῳ τῶν ζῴων. [v]Ἔχει δὲ ἀκριβε-

[s] καὶ om. P.D[a]. [t] ἄνω τε καὶ P.D[a]. [u] τὰ ὀπίσθια καὶ om. P, τὰ om. A[a].C[a]. [v] ἔχει ante μᾶλλον om. P.D[a]. [w] ἄνω πρὸς om. C[a]. et pr. A[a]. [x] αὐτῶν C[a]. [y] ἔχει καὶ τοῦτο P.D[a]. [z] ὁ om. P.D[a]. [a] νῶτος A[a]. [b] ἰσχία P.D[a]. [c] τὰ D[a]. [d] ἐφ'—ὄπισθεν om. C[a]. [e] κατὰ] ᾗ P.D[a]. et γρ. A[a]. [f] τῶν post καὶ om. P.D[a]. [g] τὸ] τὰ D[a]. [h] μυκτῆρα A[a]. [i] αὐτῶν P.D[a]. [j] καὶ om. P.D[a]. [k] τὰ ὦτα] ταῦτα A[a]. [l] τοῦ om. A[a].C[a]. [m] δὲ om. D[a]. et pr. A[a]. [n] ἐλάχιστα κατὰ τὸ μέγεθος A[a]. [o] ἄνθρωπος P.D[a].

Digitized by Google

στάτην ἄνθρωπος [p]τῶν αἰσθήσεων τὴν ἀφήν, [q]δευτέραν δὲ [r]τὴν γεῦσιν· ἐν δὲ ταῖς ἄλλαις λείπεται πολλῶν.

16 Τὰ μὲν οὖν μόρια τὰ πρὸς τὴν ἔξω ἐπιφάνειαν τοῦτον [s]τέτακται τὸν τρόπον, [t]καὶ καθάπερ ἐλέχθη, [u]διωνόμασταί τε μάλιστα καὶ γνώριμα διὰ τὴν συνήθειάν ἐστιν· τὰ δ' ἐντὸς τούναντίον. [v]Ἄγνωστα γάρ ἐστι μάλιστα [w]τὰ τῶν ἀνθρώπων, ὥστε δεῖ πρὸς τὰ τῶν ἄλλων [x]μόρια ζῴων [x]ἀνάγοντας 2 σκοπεῖν, οἷς ἔχει παραπλησίαν τὴν φύσιν. Πρῶτον μὲν οὖν τῆς κεφαλῆς κεῖται τὴν θέσιν ἐν τῷ [y]πρόσθεν ἔχων [z]ὁ [a]ἐγκέφαλος. [b]Ὁμοίως δὲ καὶ τοῖς ἄλλοις ζῴοις, ὅσα ἔχει τοῦτο τὸ μόριον· ἔχει δὲ [b]ἅπαντα ὅσα ἔχει αἷμα, [c]καὶ ἔτι τὰ μαλάκια· κατὰ μέγεθος δ' [d]ὁμοίως ἔχει ἄνθρωπος πλεῖστον ἐγ- 3 κέφαλον καὶ ὑγρότατον. [e]Ὑμένες δὲ [e]αὐτὸν δύο περιέχουσιν, ὁ μὲν περὶ τὸ ὀστοῦν ἰσχυρότερος, ὁ δὲ περὶ αὐτὸν τὸν ἐγκέφαλον ἧττων ἐκείνου. Διφυὴς δ' [f]ἐν πᾶσίν ἐστιν ὁ ἐγκέφαλος. Καὶ ἐπὶ τούτου ἡ καλουμένη παρεγκεφαλὶς [g]ἔσχατον, ἑτέραν ἔχουσα τὴν μορφὴν καὶ κατὰ τὴν ἀφὴν καὶ 4 κατὰ τὴν ὄψιν. Τὸ δ' ὄπισθεν τῆς κεφαλῆς κενὸν καὶ κοῖλον πᾶσιν, ὡς ἑκάστοις ὑπάρχει μεγέθους. [v]Ἔνια μὲν γὰρ μεγάλην ἔχει τὴν κεφαλήν, τὸ δ' ὑποκείμενον τοῦ προσώπου μόριον [h]ἔλαττον, ὅσα στρογγυλοπρόσωπα· τὰ [i]δὲ τὴν μὲν κεφαλὴν μικράν, τὰς δὲ σιαγόνας μακράς, οἷον τὸ τῶν λοφούρων γένος 5 πᾶν. [v]Ἀναιμος δ' ὁ ἐγκέφαλος ἅπασι, καὶ οὐδεμίαν ἔχων ἐν αὑτῷ φλέβα, καὶ θιγγανόμενος κατὰ φύσιν [k]ψυχρός. [v]Ἔχει δ' ἐν τῷ μέσῳ ὁ τῶν πλείστων πᾶς κοῖλόν τι [l]μικρόν. [t]Ἡ δὲ περὶ αὐτὸν [m]μῆνιγξ [n]φλεβώδης· ἔστι δ' ὑμὴν δερματικὸς ἡ 6 μῆνιγξ ὁ περιέχων τὸν ἐγκέφαλον. [o]Ὑπὲρ δὲ τὸν ἐγκέ-

[p] τὴν ἀφὴν τῶν αἰσθήσεων P. [q] δεύτερον Ca. [r] τὴν om. Ca. et pr. Aa. [s] τὲ κτᾶται P. [t] καὶ om. Da. [u] ὠνόμασται P.Da. [v] τὰ om. Aa.Ca. [w] μόρια om. Aa.Ca. [x] ἀνάγοντα P.Da. [y] ἐμπροσθίῳ Da. [z] ὁ om. P.Da. [a] ἐγκέφαλον P. [b] πάντα P.Da. [c] καὶ ἔτι τὰ μαλάκια] καὶ ἔστιν ἔναιμα Da. [d] ὁμοίως om. Da. [e] αὐτὸ P. [f] ἐστὶν ἐν πᾶσιν P.Da. [g] ἔσχατον δὲ ἑτέραν Aa. [h] ἐλάττω P.Da. [i] δὲ κεφαλὴν μὲν P.Da. [k] ψυχρός om. pr. Aa. [l] μικρὸν] κορόν P. [m] μῆνιξ Aa. [n] φλ. ἐστίν· ἔστι δ' ὁ μ. ὑμὴν δερμ. Aa. [o] ὑπὲρ δὲ τοῦ ἐγκεφάλου Aa.Ca.

Digitized by Google

φαλον λεπτότατον ὀστοῦν καὶ ἀσθενέστατον τῆς κεφαλῆς ἐστίν, ὃ καλεῖται βρέγμα. Φέρουσι δ' ἐκ τοῦ ὀφθαλμοῦ τρεῖς πόροι εἰς τὸν ἐγκέφαλον, ὁ μὲν μέγιστος καὶ ὁ μέσος εἰς τὴν παρεγκεφαλίδα, ὁ δ' ἐλάχιστος εἰς [p] αὐτὸν τὸν ἐγκέφαλον· ἐλάχιστος δ' ἐστὶν ὁ πρὸς τῷ μυκτῆρι μάλιστα. Οἱ μὲν οὖν μέγιστοι [q] παρ' ἀλλήλους εἰσὶ καὶ οὐ συμπίπτουσιν, οἱ δὲ μέσοι συμπίπτουσι (δῆλον δὲ τοῦτο μάλιστα ἐπὶ τῶν ἰχθύων)· καὶ [r] γὰρ ἐγγύτερον οὗτοι τοῦ ἐγκεφάλου ἢ οἱ μεγάλοι· οἱ δ' ἐλάχιστοι πλεῖστόν τε ἀπήρτηνται ἀλλήλων καὶ οὐ [s] συμπίπτουσιν. [t] Ἐντὸς δὲ τοῦ αὐχένος ὅ τε οἰσοφάγος καλούμενός ἐστιν, ἔχων τὴν ἐπωνυμίαν ἀπὸ τοῦ μήκους καὶ τῆς στενότητος, καὶ ἡ ἀρτηρία. Πρότερον δὲ τῇ θέσει ἡ ἀρτηρία κεῖται τοῦ οἰσοφάγου ἐν πᾶσι τοῖς ἔχουσιν αὐτήν· ἔχει δὲ ταύτην πάντα ὅσαπερ [v] καὶ πνεύμονα [w] ἔχει. [u] Ἔστι δ' ἡ μὲν ἀρτηρία χονδρώδης τὴν φύσιν καὶ [x] ὀλίγαιμος, [y] πολλοῖς λεπτοῖς φλεβίοις περιεχομένη, κεῖται δ' ἐπὶ μὲν [z] τὰ ἄνω πρὸς τὸ στόμα κατὰ τὴν [a] ἐκ τῶν μυκτήρων σύντρησιν εἰς τὸ στόμα, ᾗ καὶ ὅταν πίνοντες ἀναπάσωσί τι τοῦ ποτοῦ, χωρεῖ ἐκ [b] τοῦ στόματος διὰ τῶν μυκτήρων ἔξω. Μεταξὺ δ' ἔχει τῶν τρήσεων τὴν ἐπιγλωττίδα καλουμένην, [c] ἐπιπτύσσεσθαι δυναμένην [d] ἐπὶ τὸ τῆς ἀρτηρίας τρῆμα τὸ εἰς τὸ στόμα τεῖνον. Ταύτῃ δὲ τὸ πέρας συνήρτηται τῆς γλώττης. [e] Ἐπὶ δὲ θάτερα καθήκει εἰς τὸ μεταξὺ τοῦ [f] πλεύμονος, εἶτ' ἀπὸ τούτου σχίζεται εἰς ἑκάτερον τῶν μερῶν τοῦ [g] πλεύμονος. Θέλει γὰρ εἶναι διμερὴς ὁ [h] πλεύμων ἐν ἅπασι τοῖς ἔχουσιν αὐτόν· ἀλλ' ἐν μὲν τοῖς ζῳοτόκοις οὐχ ὁμοίως ἡ διάστασις φανερά, ἥκιστα δ' ἐν ἀνθρώπῳ. [i] Ἔστι δ' [j] οὐ πολυσχιδὴς ὁ τοῦ ἀνθρώπου, ὥσπερ ἐνίων ζῳοτόκων,

p τὸν αὐτὸν A[a]. q παραλληλοί A[a].C[a]. r γὰρ ἐγγύτερον] ἐγγύτεροι P.D[a]. s συμπίπτουσιν ἐντός. ἐντὸς P. t καλούμενος οἰσοφάγος P.D[a]. v καὶ om. A[a].C[a]. w ἔχει om. P. x ὀλιγόαιμος A[a].C[a]. y πολλοῖς om. P.D[a]. z τὸ ἄνω C[a], τῇ ἄνω A[a]. a ἐκ om. D[a]. b τοῦ om. A[a].C[a]. c ἐπιπτύττεσθαι P. d ἐπὶ τὸ τρ. τῆς ἀρτ. τὸ P.C[a].D[a]. e πλεύμονος D[a]: ceteri πν—. f πλεύμονος D[a]. et corr. P. g πλ— P.D[a]. hic et posthac. h οὐ] οὐδὲ P. i πολυσχεδὴς P.D[a].

Digitized by Google

12 οὐδὲ λεῖος, ἀλλ' ἔχει [k] ἀνωμαλίαν. Ἐν δὲ τοῖς [l] ᾠοτόκοις, οἷον ὄρνισι καὶ τῶν τετραπόδων ὅσα ᾠοτόκα, πολὺ τὸ μέρος ἑκάτερον ἀπ' ἀλλήλων ἔσχισται, ὥστε δοκεῖν δύο ἔχειν πλεύμονας· καὶ ἀπὸ μιᾶς δύο ἐστὶ μόρια τῆς ἀρτηρίας, εἰς ἑκάτερον τὸ μέρος τείνοντα τοῦ πλεύμονος. Συνήρτηται δὲ καὶ
13 τῇ μεγάλῃ φλεβὶ καὶ τῇ ἀορτῇ καλουμένῃ. Φυσωμένης δὲ τῆς ἀρτηρίας διαδίδωσιν εἰς τὰ κοίλα [m] μέρη τοῦ πλεύμονος τὸ πνεῦμα. Ταῦτα δὲ διαφύσεις ἔχει χονδρώδεις εἰς ὀξὺ [n] συνηκούσας· ἐκ δὲ τῶν διαφύσεων τρήματα διὰ παντός [o] ἐστι τοῦ πλεύμονος, [p] ἀεὶ ἐκ μειζόνων εἰς ἐλάττω διαδιδό-
14 μενα. Συνήρτηται δὲ καὶ ἡ καρδία τῇ ἀρτηρίᾳ πιμελώδεσι καὶ χονδρώδεσι [q] καὶ ἰνώδεσι δεσμοῖς· ᾗ δὲ συνήρτηται, κοίλόν ἐστιν. Φυσωμένης δὲ τῆς ἀρτηρίας ἐν ἐνίοις μὲν οὐ κατάδηλον ποιεῖ, ἐν δὲ τοῖς μείζοσι τῶν ζῴων δῆλον ὅτι εἰσέρχε-
15 ται τὸ πνεῦμα εἰς αὐτήν. Ἡ μὲν οὖν ἀρτηρία τοῦτον ἔχει τὸν τρόπον, καὶ δέχεται μόνον τὸ πνεῦμα καὶ ἀφίησιν, ἄλλο δ' οὐθὲν οὔτε ξηρὸν οὔθ' ὑγρόν, ἢ πόνον παρέχει, [r] ἕως ἂν
16 [s] ἐκβήξῃ τὸ κατελθόν. Ὁ δὲ στόμαχος ἤρτηται μὲν ἄνωθεν ἀπὸ τοῦ στόματος, [t] ἐχόμενος τῆς ἀρτηρίας, συνεχὴς ὢν πρός τε τὴν ῥάχιν καὶ τὴν ἀρτηρίαν [v] ὑμενώδεσι δεσμοῖς, τελευτᾷ δὲ διὰ τοῦ [w] διαζώματος εἰς τὴν κοιλίαν, [x] σαρκοειδὴς ὢν τὴν
17 φύσιν, καὶ τάσιν [y] ἔχων καὶ ἐπὶ μῆκος καὶ ἐπὶ πλάτος. Ἡ δὲ κοιλία [z] ἡ τοῦ ἀνθρώπου ὁμοία τῇ κυνείᾳ ἐστίν· οὐ πολλῷ γὰρ τοῦ ἑντέρου μείζων, ἀλλ' ἐοικυῖα οἱονεὶ [a] ἐντέρῳ εὖρος
[b] ἔχοντι· εἶτα ἔντερον [c] ἁπλοῦν εἰλιγμένον, [d] εἶτα ἔντερον ἐπιεικῶς πλατύ. Ἡ δὲ κάτω κοιλία ὁμοία τῇ ὑείᾳ· πλατεῖά
[e] τε γάρ ἐστι, καὶ τὸ ἀπὸ ταύτης πρὸς τὴν ἕδραν [f] παχὺ καὶ
18 βραχύ. Τὸ δ' [g] ἐπίπλοον ἀπὸ μέσης τῆς κοιλίας ἤρτηται,

[k] ἀνωμαλίας P.D[a]. [l] ζωοτόκοις et mox ζωοτόκα pr. A[a]. [m] μέρη om. C[a]. et pr. A[a]. [n] διηκούσας A[a].C[a]. [o] ἔτι P. [p] ἀεὶ] ἢ P, om. D[a]. [q] καὶ ἰνώδεσι om. D[a]. [r] ὡς C[a]. [s] ἐκρήξῃ C[a]. et pr. A[a]. [t] ἐρχόμενος pr. A[a]. [v] ἰνώδεσι D[a]. [w] ζώματος C[a], στόματος A[a]. [x] σαρκωειδὴς P, σαρκώδης C[a]. [y] ἔχον ἐπὶ μῆκος καὶ πλάτος D[a]. [z] ἡ ante τοῦ om. P.A[a]. [a] ἐντέρῳ] ἔντερον P.D[a], ἐντέρῳ ἑνὶ C[a], ἐντέρῳ τινὶ A[a]. [b] ἔχον P. [c] ἁπλοῦν] πλατὺ A[a]. [d] εἶτα ἔντερον] εἶτα ἔντερον εὖρος ἔχον P.D[a], om. A[a]. [e] τε om. P.D[a]. [f] βραχὺ καὶ παχύ P.D[a]. [g] ἐπίπλον C[a], ἔπιπλον A[a].

Digitized by Google

ἔστι δὲ τὴν φύσιν ὑμὴν πιμελώδης, ὥσπερ καὶ τοῖς ἄλλοις τοῖς μονοκοιλίοις καὶ [h] ἀμφώδουσιν. [i] Ὑπὲρ δὲ τῶν ἐντέρων τὸ μεσεντέριόν [i] ἐστιν· ὑμενῶδες [k] δ' ἐστὶ [l] τοῦτο καὶ [m] πλατύ, καὶ πῖον γίνεται. [n] Ἐξήρτηται δὲ ἐκ τῆς μεγάλης φλε- 19
βὸς καὶ τῆς ἀορτῆς, [o] καὶ [p] δι' αὐτοῦ φλέβες πολλαὶ καὶ πυκναί, [q] κατατείνουσαι πρὸς τὴν τῶν ἐντέρων [r] θέσιν, ἄνωθεν ἀρξάμεναι μέχρι κάτω. Τὰ μὲν οὖν περὶ τὸν στόμαχον [s] καὶ τὴν ἀρτηρίαν οὕτως ἔχει, καὶ τὰ περὶ τὴν κοιλίαν.

[t] Ἡ δὲ καρδία ἔχει μὲν τρεῖς κοιλίας, κεῖται δ' ἀνωτέρω τοῦ 17
πλεύμονος κατὰ τὴν σχίσιν τῆς ἀρτηρίας, ἔχει δ' ὑμένα πιμελώδη καὶ παχύν, ᾧ προσπέφυκε τῇ φλεβὶ τῇ μεγάλῃ καὶ τῇ ἀορτῇ. Κεῖται δὲ [t] ἐπὶ τῇ ἀορτῇ κατὰ τὰ ὀξέα. [t] Κεῖται δὲ τὰ ὀξέα κατὰ τὸ στῆθος [v] ὁμοίως ἁπάντων τῶν ζῴων, ὅσα ἔχει στῆθος. Πᾶσι δ' ὁμοίως καὶ τοῖς ἔχουσι καὶ τοῖς 2
μὴ ἔχουσι τοῦτο τὸ μόριον εἰς τὸ πρόσθεν ἔχει ἡ καρδία τὸ ὀξύ· λάθοι δ' ἂν πολλάκις διὰ τὸ μεταπίπτειν [w] διαιρουμένων. Τὸ δὲ κυρτὸν αὐτῆς ἐστὶν ἄνω. [u] Ἔχει δὲ τὸ ὀξὺ σαρκῶδες ἐπὶ πολὺ καὶ πυκνόν, καὶ ἐν τοῖς κοίλοις [x] αὐτῆς νεῦρα ἔνεστιν. Κεῖται δὲ τὴν θέσιν ἐν μὲν τοῖς ἄλλοις κατὰ 3
μέσον [y] τὸ στῆθος, ὅσα ἔχει στῆθος, τοῖς δ' ἀνθρώποις ἐν τοῖς ἀριστεροῖς μᾶλλον, μικρὸν τῆς διαιρέσεως τῶν μαστῶν ἐγκλίνουσα εἰς τὸν ἀριστερὸν μαστὸν ἐν τῷ ἄνω μέρει τοῦ στήθους. Καὶ οὔτε μεγάλη, τό τε ὅλον αὐτῆς εἶδος οὐ πρόμηκές ἐστιν ἀλλὰ στρογγυλώτερον· πλὴν τὸ [z] ἄκρον εἰς ὀξὺ συνῆκται. [u] Ἔχει δὲ κοιλίας τρεῖς, ὥσπερ εἴρηται, μεγί- 4
στην μὲν [a] τὴν ἐν τοῖς δεξιοῖς, ἐλαχίστην δὲ τὴν ἐν τοῖς ἀριστεροῖς, μέσην δὲ μεγέθει τὴν [b] ἀνὰ μέσον· [c] καὶ εἰσὶν εἰς τὸν πνεύμονα τετρημέναι πᾶσαι. [d] Ἀμφοτέρας δὲ [d] ἔχει τὰς δύο

[h] ἀμφόδουσιν P.D[a]. [i] ἐστίν om. P.D[a]. [k] δ' ἐστὶ] δ' ἐστὶ καὶ C[a], om. P.D[a]. [l] καὶ τοῦτο A[a]. [m] πλ. γίνεται καὶ πῖον D[a], πλ. γίνεται πῖον P. [n] ἐξήρτηται P.D[a]. [o] καὶ ante δι' om. P. [p] φλέβες πολλαὶ δι' αὐτοῦ P.D[a]. [q] κατατείνουσι D[a], καὶ κατατείνουσαι A[a].C[a]. [r] φύσιν P.D[a]. [s] οὕτως ἔχει καὶ τὴν ἀρτηρίαν P.D[a]. [t] ἐπὶ et mox κεῖται — κατὰ om. P.D[a]. [v] ἁπάντων ὁμοίως P.D[a]. [w] διαιρούμενον P.D[a]. [x] αὐτοῖς P.D[a]. [y] τοῦ στήθους P.D[a]. [z] εἰς ἄκρον A[a].C[a]. [a] τὴν om. A[a]. [b] ἀνὰ] ἐν τοῖς ἀνὰ P.D[a]. [c] καὶ—ἀμφοτέρας om. A[a].C[a]. [d] ἔχει ante δὲ A[a].C[a], om. P.D[a].

Digitized by Google

μικράς, [e]καὶ εἰς τὸν πλεύμονα τετρημένας [f]ἀπάσας. Κατάδηλον δὲ κατὰ μίαν τῶν κοιλιῶν [g]κάτωθεν ἐκ τῆς προσφύ-
5 σεως. Κατὰ μὲν τὴν μεγίστην κοιλίαν ἐξήρτηται τῇ [h]μεγίστῃ φλεβί, πρὸς ἣν καὶ τὸ μεσεντέριόν ἐστι, κατὰ δὲ τὴν μέσην τῇ ἀορτῇ. Φέρουσι δὲ καὶ εἰς τὸν πλεύμονα πόροι ἀπὸ τῆς καρδίας, καὶ σχίζονται τὸν αὐτὸν τρόπον ὅνπερ ἡ ἀρτηρία, κατὰ πάντα τὸν πλεύμονα παρακολουθοῦντες τοῖς
6 ἀπὸ τῆς ἀρτηρίας. [i]Ἐπάνω δ' εἰσὶν οἱ ἀπὸ τῆς [i]καρδίας πόροι· οὐδεὶς δ' ἐστὶ κοινὸς πόρος, ἀλλὰ διὰ τὴν σύναψιν δέχονται τὸ πνεῦμα καὶ τῇ καρδίᾳ διαπέμπουσιν· φέρει γὰρ ὁ μὲν [k]εἰς [l]τὸ δεξιὸν κοῖλον τῶν πόρων, ὁ δ' εἰς [m]τὸ [n]ἀριστερόν. Περὶ δὲ τῆς φλεβὸς τῆς μεγάλης καὶ τῆς ἀορτῆς
7 κατ' αὐτὰς κοινῇ περὶ ἀμφοτέρων [o]ἐροῦμεν ὕστερον. Αἷμα δὲ πλεῖστον μὲν ὁ πλεύμων ἔχει τῶν ἐν τοῖς ζῴοις μορίων [p]τοῖς ἔχουσί τε πνεύμονα καὶ ζῳοτοκοῦσιν ἐν αὐτοῖς τε καὶ ἐκτός· ἅπας μὲν γάρ ἐστι σομφός, παρ' ἑκάστην δὲ [q]τὴν σύριγγα πόροι φέρουσι τῆς μεγάλης φλεβός. [r]Ἀλλ' οἱ νομίζοντες εἶναι κενὸν διηπάτηνται, θεωροῦντες τοὺς [r]ἐξηρημένους [s]ἐκ τῶν διαιρουμένων τῶν ζῴων, ὧν [t]εὐθέως ἐξελήλυθε τὸ αἷμα ἀθρόον. Τῶν δ' ἄλλων σπλάγχνων ἡ καρδία [v]μό-
8 νον ἔχει αἷμα. Καὶ ὁ μὲν πλεύμων οὐκ ἐν [w]αὐτῷ ἀλλ' ἐν ταῖς φλεψίν, ἡ δὲ καρδία ἐν αὐτῇ· ἐν ἑκάστῃ γὰρ [x]ἔχει αἷμα τῶν κοιλιῶν, λεπτότατον δ' ἐστὶ τὸ ἐν τῇ μέσῃ. [y]Ὑπὸ δὲ τὸν πνεύμονά ἐστι τὸ διάζωμα [y]τὸ τοῦ θώρακος, αἱ καλούμεναι [z]φρένες, πρὸς μὲν τὰ πλευρὰ καὶ τὰ ὑποχόνδρια καὶ τὴν ῥάχιν συνηρτημέναι, ἐν μέσῳ δ' ἔχει τὰ λεπτὰ καὶ ὑμε-
9 νώδη. [a]Ἔχει δὲ [a]δι' αὐτοῦ καὶ φλέβας τεταμένας· εἰσὶ δ' αἱ

[e] καὶ om. P. [f] πάσας A[a].C[a]. [g] κάτωθεν δ' ἐκ P.D[a]. [h] μεγάλῃ A[a].C[a]. [i] καρδίας· πόρος δ' οὐθείς ἐστι κοινός A[a].C[a]. [k] εἰς] ἐπὶ P.D[a]. [l] τὸ A[a]. [m] τὸν A[a].D[a]. τὸ—ἀμφοτέρον om. C[a]. [n] ἀριστερὸν πόρον. περὶ A[a]. [o] ὕστερον ἐροῦμεν D[a]. [p] τοῖς τ' ἔχουσί τε A[a].C[a]. [q] τὴν om. P.D[a]. [r] ἐξαιρουμένους P.D[a]. [s] ἐκ—ὧν] ἐξ ὧν διαιρουμ. τῶν ζώων C[a]. [t] εὐθὺς A[a].C[a]. [v] μόνη A[a]. [w] ἑαυτῷ et ἡ καρδία δὲ P.D[a]. [x] αἷμα ἔχει P.D[a]. [y] τὸ ante τοῦ om. P.D[a]. [z] φλέβες pr. A[a]. [a] καὶ δι' ἑαυτοῦ P.D[a].

Digitized by Google

τοῦ ἀνθρώπου [b] φλέβες [c] παχεῖαι ὡς κατὰ λόγον [d] τοῦ σώματος. Ὑπὸ δὲ τὸ διάζωμα ἐν μὲν τοῖς δεξιοῖς κεῖται τὸ ἧπαρ, ἐν δὲ τοῖς ἀριστεροῖς ὁ σπλήν, ὁμοίως ἐν ἅπασι τοῖς ἔχουσι ταῦτα τὰ μόρια κατὰ φύσιν καὶ μὴ τερατωδῶς· ἤδη γὰρ ὤφται μετηλλαχότα τὴν τάξιν ἔν τισι τῶν τετραπόδων. Συνήρτηται δὲ τῇ [e] κάτω κοιλίᾳ κατὰ τὸ [f] ἐπίπλοον. Τὴν 10
δ' ὄψιν ἐστὶν ὁ τοῦ ἀνθρώπου σπλὴν στενὸς καὶ μακρός, [g] ὅμοιος τῷ ὑείῳ. Τὸ δ' ἧπαρ ὡς μὲν ἐπὶ τὸ πολὺ καὶ ἐν τοῖς πλείστοις οὐκ ἔχει χολήν, ἐπ' ἐνίοις δὲ ἔπεστιν. Στρογγύλον δ' ἐστὶ τὸ [h] τοῦ ἀνθρώπου ἧπαρ [i] καὶ ὅμοιον τῷ βοείῳ. Συμβαίνει δὲ τοῦτο καὶ ἐν τοῖς ἱερείοις, οἷον ἐν μὲν τόπῳ 11
τινὶ τῆς ἐν Εὐβοίᾳ [k] Χαλκιδικῆς οὐκ ἔχει τὰ πρόβατα χολήν, ἐν δὲ Νάξῳ πάντα σχεδὸν τὰ τετράποδα τοσαύτην ὥστ' ἐκπλήττεσθαι τοὺς θύοντας τῶν ξένων, οἰομένους [l] αὐτῶν [m] ἴδιον εἶναι τὸ σημεῖον, ἀλλ' οὐ φύσιν αὐτῶν εἶναι ταύτην. Προσπέφυκε [n] δὲ τῇ μεγάλῃ φλεβὶ τὸ ἧπαρ, τῇ δ' 12
[o] ἀορτῇ οὐ κοινωνεῖ· διὰ γὰρ τοῦ ἥπατος διέχει ἡ ἀπὸ τῆς μεγάλης φλεβὸς φλέψ, [p] ᾗ αἱ καλούμεναι [q] πύλαι εἰσὶ τοῦ ἥπατος. Συνήρτηται δὲ καὶ ὁ σπλὴν τῇ μεγάλῃ φλεβὶ μόνον· τείνει γὰρ ἀπ' αὐτῆς φλεψὶ εἰς τὸν σπλῆνα. Μετὰ 13
δὲ ταῦτα οἱ νεφροὶ πρὸς αὐτῇ τῇ ῥάχει κεῖνται, [r] ὅμοιοι τὴν φύσιν ὄντες τοῖς βοείοις. [s] Ἀνώτερος δὲ ὁ δεξιός ἐστιν ἐν πᾶσι τοῖς ζῴοις τοῖς ἔχουσι νεφρούς· καὶ ἐλάττω δὲ πιμελὴν ἔχει τοῦ ἀριστεροῦ καὶ αὐχμηρότερος ὁ [s] δεξιός. [t] Ἐν πᾶσι δ' ἔχει ὁμοίως τοῖς ἄλλοις καὶ τοῦτο. Φέρουσι δὲ εἰς αὐτοὺς 14
πόροι ἔκ τε τῆς μεγάλης φλεβὸς καὶ τῆς ἀορτῆς, πλὴν οὐκ εἰς τὸ κοῖλον. [u] Ἔχουσι γὰρ οἱ νεφροὶ ἐν μέσῳ κοῖλον, οἱ μὲν μεῖζον οἱ δ' ἔλαττον, πλὴν οἱ τῆς φώκης· οὗτοι δ' ὅμοιοι

[b] φρένες C^a. [c] παχεῖαι κατὰ τὸ ἀνάλογον $A^a.C^a$. [d] τοῦ ἀνθρωπείου σώματος. ὑπὲρ P.D^a. [e] κάτω om. $A^a.C^a$. [f] ἔπιπλον $A^a.C^a$. [g] ὁμοίως $A^a.C^a$. [h] ἧπαρ τοῦ ἀνθρώπου P.D^a. [i] καὶ post ἧπαρ om. P. [k] χαλδαϊκῆς P. [l] αὐτοὺς P. [m] ἴδιον om. A^a. [n] δὲ om. P. [o] ἀρτηρίᾳ P.$A^a.C^a.D^a$. [p] ᾗ αἱ] αἱ A^a, αἱ C^a. [q] πολαί P. [r] ὅμοιοι post βοείοις P.D^a. [s] δεξιός ἐστιν ἐν πᾶσι τοῖς ζώοις τοῖς ἔχουσι νεφρούς. ἐν A^a. [t] ἅπασι δ' ἔχει καὶ τοῦτο ὁμοίως τοῖς ἄλλοις. φέρουσί τε P.D^a.

Digitized by Google

15 τοῖς βοείοις ὄντες [v]στερεώτατοι πάντων εἰσίν. Οἱ δὲ πόροι οἱ τείνοντες εἰς αὐτοὺς εἰς τὸ σῶμα καταναλίσκονται τῶν νεφρῶν· σημεῖον δ' [w]ὅτι οὐ περαίνουσι [x]τὸ μὴ ἔχειν αἷμα μηδὲ πήγνυσθαι ἐν αὐτοῖς. [1]Ἔχουσι δὲ κοιλίαν, ὥσπερ εἴρηται, μικράν. [1]Ἐκ δὲ τοῦ κοίλου τῶν νεφρῶν φέρουσιν εἰς τὴν κύστιν πόροι [y]δύο νεανικοί, καὶ ἄλλοι ἐκ τῆς ἀορτῆς
16 ἰσχυροὶ καὶ συνεχεῖς. [1]Ἐκ μέσου δὲ τῶν νεφρῶν ἑκατέρου φλὲψ κοίλη καὶ νευρώδης ἐξήρτηται, τείνουσα παρ' αὐτὴν τὴν ῥάχιν διὰ τῶν [z]στενῶν· εἶτα εἰς ἑκάτερον τὸ ἰσχίον ἀφανίζονται, καὶ πάλιν δῆλαι γίνονται [a]τεταμέναι πρὸς τὸ ἰσχίον. Αὗται δ' αἱ ἀποτομαὶ τῶν [b]φλεβίων εἰς τὴν κύστιν
17 καθήκουσιν. Τελευταία γὰρ ἡ κύστις κεῖται, τὴν [c]μὲν ἐξάρτησιν ἔχουσα τοῖς ἀπὸ τῶν νεφρῶν [d]τεταμένοις πόροις παρὰ τὸν [e]καυλὸν τὸν ἐπὶ τὴν οὐρήθραν τείνοντα, καὶ σχεδὸν πάντῃ κύκλῳ λεπτοῖς καὶ ἰνώδεσιν ὑμενίοις ἐστὶ [f]προσειλημμένη, παραπλησίοις οὖσι [g]τρόπον τινὰ τῷ διαζώματι τοῦ θώρα-
18 κος. [1]Ἔστι δ' ἡ τοῦ ἀνθρώπου κύστις ἐπιεικῶς ἔχουσα μέγεθος. Πρὸς δὲ τὸν καυλὸν τὸν τῆς κύστεως συνήρτηται τὸ αἰδοῖον, τὸ μὲν ἐξωτάτω τρῆμα συνερρωγὸς [h]εἰς ταὐτό, μικρὸν δ' ὑποκάτω. Τὸ μὲν [i]οὖν εἰς τοὺς ὄρχεις φέρει τῶν πρημάτων, τὸ [k]δ' εἰς τὴν κύστιν, [l]νευρῶδες καὶ χονδρῶδες
19 ὄν. [m]Τούτου δ' ἐξήρτηνται οἱ ὄρχεις τοῖς ἄρρεσι, περὶ ὧν ἐν τοῖς [n]κοινῇ [o]λεγομένοις διορισθήσεται πῶς ἔχουσιν. Τὸν αὐτὸν δὲ τρόπον καὶ ἐν τῷ θήλει πάντα πέφυκεν· διαφέρει γὰρ οὐθενὶ τῶν ἔσω πλὴν ταῖς ὑστέραις, ὧν ἡ μὲν ὄψις θεωρείσθω ἐκ τῆς διαγραφῆς τῆς ἐν ταῖς ἀνατομαῖς, ἡ δὲ θέσις
20 ἐστὶν ἐπὶ τοῖς ἐντέροις· ἐπὶ δὲ [p]τῆς ὑστέρας ἡ κύστις. Λε-

[v] στερεώτεροι Da. [w] ὅτι οὐ περαίνουσι om. Da. [x] τῷ Aa.Ca. [y] νεανικοὶ δύο Da. [z] σκελῶν Aa.Ca, στενῶν σκελῶν P. [a] τεταγμένοι Aa.Ca. [b] φλεβῶν P.Da. [c] μὲν om. P.Da. [d] τεταγμένοις Aa.Ca. [e] αὐλὸν P.Da. [f] προσειλημμένη om. Da. [g] τινα τρόπον Da. [h] εἰς] ἐπὶ P.Da. [i] οὖν om. Aa.Ca. [k] δὲ πρὸς P.Da. [l] νευρῶδες καὶ χονδρῶδες ὄν] hæc post αἰδοῖον ponit Schneiderus. [m] τούτῳ Da. [n] κοινοῖς Aa.Ca. [o] λεγομένοις ἅμα καὶ περὶ τούτων ὕστερον διορισθήσεται P.Da. [p] τῇ ὑστέρᾳ Aa.

Digitized by Google

κτέον δὲ καὶ περὶ ὑστερῶν κοινῇ πασῶν ἐν τοῖς ἑπομένοις· οὔτε γὰρ ὅμοιαι πᾶσιν οὔθ' ὁμοίως ἔχουσιν.

Τὰ μὲν οὖν μόρια καὶ τὰ ἐντὸς καὶ τὰ ἐκτὸς τοῦ ἀνθρώπου ταῦτα [q] καὶ τοιαῦτα, καὶ τοῦτον ἔχει τὸν τρόπον.

Β.

Τῶν δ' ἄλλων ζῴων τὰ μόρια τὰ μὲν κοινὰ [r] πάντων ἐστίν, 1
ὥσπερ εἴρηται πρότερον, τὰ δὲ γενῶν τινῶν. [s] Ταὐτὰ [t] δὲ
καὶ ἕτερά ἐστιν ἀλλήλων τὸν ἤδη πολλάκις εἰρημένον τρό-
πον. Σχεδὸν γὰρ ὅσα γ' ἐστὶ [v] γένει [w] ἕτερα τῶν ζῴων, 2
καὶ τὰ πλεῖστα τῶν μερῶν ἔχει ἕτερα τῷ εἴδει, καὶ τὰ μὲν
κατ' ἀναλογίαν ἀδιάφορα μόνον, τῷ γένει δ' ἕτερα, τὰ δὲ
τῷ γένει μὲν ταὐτὰ τῷ εἴδει δ' ἕτερα· πολλὰ δὲ τοῖς μὲν
ὑπάρχει, τοῖς δ' [x] οὐχ ὑπάρχει. Τὰ μὲν οὖν τετράποδα καὶ 3
[y] ζῳοτόκα κεφαλὴν μὲν ἔχει καὶ αὐχένα καὶ τὰ ἐν τῇ κεφαλῇ
μόρια [z] ἅπαντα, διαφέρει δὲ τὰς μορφὰς τῶν μορίων ἕκαστον.
Καὶ ὅ [a] γε λέων τὸ τοῦ αὐχένος [b] ἔχει ἓν ὀστοῦν, [c] σφονδύ-
λους δ' οὐκ ἔχει· τὰ δὲ ἐντὸς ἀνοιχθεὶς ὅμοια [d] πάντ' ἔχει
κυνί. [e] Ἔχει δὲ τὰ τετράποδα ζῷα καὶ ζῳοτόκα ἀντὶ τῶν 4
βραχιόνων σκέλη πρόσθια, πάντα μὲν τὰ τετράποδα, μά-
λιστα δὲ ἀνάλογον ταῖς χερσὶ τὰ [e] πολυσχιδῆ αὐτῶν· χρῆ-
ται γὰρ πρὸς πολλὰ ὡς χερσίν. Καὶ τὰ ἀριστερὰ δ' ἧττον 5
ἔχει ἀπολελυμένα [f] τῶν ἀνθρώπων, πλὴν ἐλέφαντος· οὗτος
δὲ τά τε περὶ τοὺς δακτύλους [g] ἀδιαρθρωτότερα ἔχει τῶν
ποδῶν, καὶ τὰ πρόσθια σκέλη πολλῷ μείζω. [f] Ἔστι δὲ πεν-
ταδάκτυλον, καὶ πρὸς τοῖς ὀπισθίοις σκέλεσι σφυρὰ ἔχει
βραχέα. [f] Ἔχει δὲ μυκτῆρα [h] τοιοῦτον καὶ τηλικοῦτον ὥστε 6
ἀντὶ χειρῶν ἔχειν αὐτόν· πίνει γὰρ καὶ ἐσθίει ὀρέγων [i] τούτῳ

[q] καὶ τὰ τοιαῦτα Da. [r] πάντ' P.Da. [s] τὰ αὐτὰ Aa.Ca. [t] δὴ Da, om. Aa.Ca. [v] γένη P.Aa.Da. [w] ἕτερα om. Da. [x] οὐχ ὑπάρχει] οὔ P.Da. [y] ζωοτοκοῦντα Aa.Ca. [z] ἅπαντα om. Aa.Ca. [a] γε] μὲν P.Da. [b] ἐν ἔχει P. [c] σπονδύλους Da. [d] ἔχει ἅπαντα P.Da. [e] πολυσχεδῆ P.Da. [f] τῶν θηρίων πλὴν τοῦ ἐλέφαντος P.Da. [g] ἀδιαρθρώτερα P, ἀδιαρθρότερα Aa, ἀδιάρθρωτα Da. [h] τηλικοῦτον καὶ τοιοῦτον Aa.Ca. [i] τοῦτο P.Aa.Da.

Digitized by Google

εἰς τὸ στόμα, καὶ τῷ ἐλεφαντιστῇ [k] ἀνορέγει [l] ἄνω. Τούτῳ καὶ δένδρα ἀνασπᾷ, καὶ διὰ τοῦ ὕδατος βαδίζων τούτῳ ἀναφυσᾷ. Τῷ δ' ἄκρῳ ἐγκλίνει, οὐ κάμπτεται δέ· χονδρῶδες
7 γὰρ ἔχει. Μόνον δὲ καὶ ἀμφιδέξιον γίνεται τῶν ἄλλων ζῴων ἄνθρωπος. [m] Τῷ δὲ στήθει τῷ τοῦ ἀνθρώπου πάντα [n] τὰ ζῷα ἀνάλογον ἔχει τοῦτο τὸ μόριον, ἀλλ' οὐχ ὅμοιον· ὁ μὲν γὰρ πλατὺ τὸ στῆθος, τὰ δ' ἄλλα στενόν. Μαστοὺς [o] δ' οὐκ ἔχει οὐθὲν ἐν τῷ πρόσθεν [p] ἀλλ' ἢ ἄνθρωπος· ὁ δ' ἐλέφας ἔχει [q] μὲν μαστοὺς δύο, ἀλλ' οὐκ ἐν τῷ στήθει ἀλλὰ πρὸς τῷ στήθει.

8 Τὰς δὲ κάμψεις τῶν κώλων καὶ τῶν ἔμπροσθεν καὶ τῶν ὄπισθεν ὑπεναντίας ἔχουσι [r] καὶ ἑαυταῖς καὶ ταῖς τοῦ ἀνθρώ-
9 που καμπαῖς, πλὴν ἐλέφαντος. Τοῖς μὲν γὰρ ζῳοτόκοις τῶν [s] τετραπόδων κάμπτεται τὰ μὲν πρόσθια εἰς [t] τὸ πρόσθεν τὰ δ' ὀπίσθια εἰς [v] τοὔπισθεν, καὶ ἔχουσι τὰ [w] κοῖλα τῆς περιφερείας πρὸς ἄλληλα [x] ἀντεστραμμένα· ὁ δ' ἐλέφας [y] οὐχ ὡς [z] ἔλεγόν τινες, ἀλλὰ συγκαθίζει καὶ κάμπτει τὰ σκέλη, πλὴν οὐ δύναται διὰ τὸ βάρος [a] ἐπ' ἀμφότερα ἅμα, ἀλλ' ἀνακλίνεται ἢ ἐπὶ τὰ εὐώνυμα ἢ ἐπὶ τὰ δεξιά, καὶ καθεύδει ἐν τούτῳ τῷ σχήματι, κάμπτει δὲ [b] τὰ ὀπίσθια σκέλη ὥσπερ
10 ἄνθρωπος. Τοῖς [c] ᾠοτόκοις δέ, [d] οἷον κροκοδείλῳ καὶ [e] σαύρᾳ καὶ τοῖς ἄλλοις τοῖς τοιούτοις ἅπασιν, ἀμφότερα τὰ σκέλη καὶ τὰ [f] πρόσθια καὶ τὰ ὀπίσθια εἰς τὸ πρόσθεν κάμπτεται,
11 μικρὸν εἰς τὸ πλάγιον παρεγκλίνοντα. Ὁμοίως δὲ καὶ τοῖς ἄλλοις τοῖς πολύποσιν· πλὴν τὰ μεταξὺ τῶν ἐσχάτων ἀεὶ ἐπαμφοτερίζει καὶ τὴν κάμψιν ἔχει εἰς τὸ πλάγιον μᾶλλον.

[k] ἂν ὀρέγει Ca. [l] ἄνω ante ἀνορέγει Aa, post τοῦτο (ita enim P.Da). Da. [m] τῷ τοῦ ἀνθρώπου δὲ στήθει Da, τῷ στήθει δὲ τῷ τοῦ ἀνθρώπου Ca. [n] τὰ ζῷα om. Da. [o] δ' οὐκ] γὰρ οὐκ Da. [p] ἀλλ' ἢ ἄνθρωπος] πλὴν ἀνθρώπου P.Da. [q] μὲν om. P. [r] καὶ ἑαυταῖς om. Aa.Ca. [s] τετραπόδων πλὴν ἐλέφαντος κάμπτεται Aa.Ca. [t] τοὔπισθεν P.Da. [v] τοὔμπροσθεν P.Da. [w] κῶλα P.Da. [x] ἐστραμμένα Da, ἐστρεμμένα P. [y] οὐχ οὕτως ὡς Da, οὐχ οὕτως ὥσπερ P, οὐχ ὥσπερ Aa. [z] λέγουσί Da. [a] ἅμα ἐπ' ἀμφότερα P.Da. [b] τὰ σκέλη τὰ ὀπίσθια Da. [c] δὲ ᾠοτόκοις P.Da. [d] ὥσπερ κροκόδειλος Aa, ὥσπερ κροκοδείλῳ Ca. [e] σαύρῳ P. [f] πρόσθεν καὶ τὰ ὄπισθεν P.

Digitized by Google

Ὁ δ' ἄνθρωπος ἄμφω τὰς καμπὰς τῶν κώλων ἐπὶ [g]ταὐτὸ ἔχει καὶ ἐξ ἐναντίας· τοὺς μὲν [h]γὰρ βραχίονας εἰς τοὔπισθεν κάμπτει, πλὴν μικρὸν [i]ἐβλαίσωται ἐπὶ τὰ πλάγια τὰ ἐντός, τὰ δὲ σκέλη εἰς τοὔμπροσθεν. Εἰς [k]δὲ τὸ ὄπισθεν τά τε 12
πρόσθια καὶ [l]τὰ ὀπίσθια οὐθὲν [m]κάμπτει τῶν ζῴων. Ἐναντίως δὲ τοῖς ἀγκῶσι καὶ [n]τοῖς προσθίοις σκέλεσιν ἡ τῶν ὤμων ἔχει [o]καμπὴ πᾶσι, καὶ τῶν ὄπισθεν γονάτων ἡ τῶν ἰσχίων, ὥστ' ἐπεὶ ὁ ἄνθρωπος [p]τοῖς πολλοῖς ἐναντίως κάμπτει, καὶ [q]οἱ τὰ τοιαῦτ' ἔχοντες ἐναντίως. Παραπλησίους 13
δὲ τὰς καμπὰς ἔχει καὶ [r]ὁ ὄρνις τοῖς τετράποσι ζῴοις· δίπους [s]γὰρ ὢν τὰ μὲν σκέλη εἰς [t]τὸ ὄπισθεν κάμπτει, ἀντὶ [v]δὲ βραχιόνων καὶ σκελῶν τῶν ἔμπροσθεν πτέρυγας ἔχει, ὧν ἡ κάμψις ἐστὶν εἰς τὸ πρόσθεν. Ἡ δὲ φώκη ὥσπερ 14
πεπηρωμένον [w]ἐστὶ τετράπουν· εὐθὺς γὰρ ἔχει μετὰ [x]τὴν ὠμοπλάτην τοὺς πόδας [y]ὁμοίους χερσίν, ὥσπερ καὶ οἱ τῆς ἄρκτου· πενταδάκτυλοι γάρ εἰσι, καὶ ἕκαστος τῶν δακτύλων καμπὰς ἔχει τρεῖς καὶ ὄνυχα [z]οὐ μέγαν· οἱ δ' ὀπίσθιοι πόδες πενταδάκτυλοι μέν εἰσι, καὶ τὰς καμπὰς καὶ τοὺς ὄνυχας ὁμοίους ἔχουσι τοῖς προσθίοις, τῷ δὲ σχήματι [a]παραπλήσιοι ταῖς τῶν ἰχθύων οὐραῖς εἰσίν.

Αἱ δὲ κινήσεις τῶν ζῴων τῶν μὲν τετραπόδων καὶ πολυ- 15
πόδων κατὰ διάμετρόν εἰσι, καὶ [b]ἑστᾶσιν οὕτως· ἡ δ' ἀρχὴ ἀπὸ τῶν δεξιῶν πᾶσιν. Κατὰ σκέλος δὲ βαδίζουσιν ὅ τε λέων καὶ αἱ κάμηλοι ἀμφότεραι, αἵ τε [c]Βακτριαναὶ καὶ αἱ [d]Ἀράβιαι. Τὸ δὲ κατὰ σκέλος ἐστὶν [d]ὅτε οὐ προβαίνει τῷ ἀριστερῷ τὸ δεξιόν, ἀλλ' ἐπακολουθεῖ.

Ἔχουσι δὲ τὰ τετράποδα ζῷα, ὅσα μὲν ὁ ἄνθρωπος μόρια 16
ἔχει ἐν τῷ πρόσθεν, κάτω ἐν τοῖς ὑπτίοις, τὰ δὲ ὀπίσθια ἐν

g ταὐτ' $A^a.C^a$, τὸ αὐτὸ P.D^a. h γὰρ om. P. i βεβλαίσωται $A^a.C^a$. k δὲ τὰ ὄπισθεν $A^a.C^a$, τὸ ὄπισθεν δὲ D^a. l τὰ om. C^a. m κάμπτεται P.D^a. n τοῖς post καὶ om. P.D. o καμπὴ D^a. p τοῖς ἄλλοις ἐναντίως $A^a.C^a$, ἐναντίως τοῖς πολλοῖς D^a. q οἱ τοιαῦτ' P, οἱ ταὐτ' $A^a.C^a$. r ὁ om. P.D^a. s γὰρ] μὲν γὰρ A^a. t τὸ] τὰ A^a. v δὲ τῶν βραχ. A^a. w τετράπουν ἐστίν $A^a.C^a$. x τὴν] τὸν corr. A^a. y ὁμοίους μὲν χερσὶν P.D^a. z οὐ om. D^a. a παραπλήσιαι A^a. b ἱστᾶσιν P. c βακτρίαι P.D^a. d ὅτι A^a.

Digitized by Google

τοῖς πρανέσιν. [a]Ἔτι δὲ τὰ πλεῖστα κέρκον ἔχει· καὶ γὰρ ἡ φώκη μικρὰν ἔχει, ὁμοίαν τῇ τοῦ [e]ἐλάφου. Περὶ [f]δὲ τῶν πιθηκοειδῶν ζῴων ὕστερον διορισθήσεται.

17 Πάντα δ' ὅσα τετράποδα [g]καὶ ζωοτόκα, δασέα ὡς εἰπεῖν ἐστί, καὶ οὐχ ὥσπερ [h]ὁ ἄνθρωπος ὀλιγότριχον καὶ μικρότριχον πλὴν τῆς κεφαλῆς, τὴν δὲ κεφαλὴν [i]δασύτατον τῶν ζῴων. [k]Ἔτι δὲ τῶν μὲν ἄλλων ζῴων τῶν ἐχόντων τρίχας τὰ πρανῆ δασύτερα, τὰ δ' ὕπτια ἢ λεῖα πάμπαν ἢ [l]ἧττον

18 δασέα· ὁ δ' ἄνθρωπος τοὐναντίον. Καὶ βλεφαρίδας ὁ μὲν ἄνθρωπος ἐπ' [m]ἄμφω ἔχει, καὶ ἐν μασχάλαις ἔχει τρίχας καὶ ἐπὶ τῆς ἤβης· τῶν δ' ἄλλων οὐθὲν οὔτε τούτων [n]οὐδέτερον [o]οὔτε τὴν [p]κάτω βλεφαρίδα, [q]ἀλλὰ κάτωθεν τοῦ

19 βλεφάρου ἐνίοις μαναὶ τρίχες πεφύκασιν. Αὐτῶν δὲ τῶν τετραπόδων καὶ τρίχας ἐχόντων τῶν μὲν ἅπαν τὸ σῶμα δασύ, [r]καθάπερ ὑὸς καὶ ἄρκτου καὶ κυνός· τὰ δὲ [s]δασύτερα τὸν αὐχένα ὁμοίως πάντῃ, οἷον ὅσα χαίτην ἔχει, ὥσπερ λέων· τὰ δ' ἐπὶ τῷ πρανεῖ τοῦ αὐχένος ἀπὸ τῆς κεφαλῆς μέχρι τῆς ἀκρωμίας, οἷον ὅσα [t]λοφιὰν ἔχει, ὥσπερ ἵππος καὶ ὀρεὺς καὶ

20 τῶν ἀγρίων [v]καὶ κερατοφόρων [w]βόνασος. [u]Ἔχει δὲ καὶ ὁ ἱππέλαφος [x]καλούμενος ἐπὶ τῇ ἀκρωμίᾳ χαίτην καὶ τὸ θηρίον τὸ [y]πάρδιον ὀνομαζόμενον· ἀπὸ δὲ τῆς κεφαλῆς ἐπὶ τὴν ἀκρωμίαν λεπτὴν ἑκάτερον· ἰδίᾳ δὲ ὁ ἱππέλαφος πώγωνα

21 ἔχει κατὰ τὸν λάρυγγα. [z]Ἔστι δ' ἀμφότερα [a]κερατοφόρα καὶ [b]διχαλά· ἡ δὲ θήλεια ἱππέλαφος οὐκ ἔχει κέρατα. Τὸ δὲ μέγεθός ἐστι τούτου τοῦ ζῴου ἐλάφῳ προσεμφερές. Γίνονται δ' οἱ ἱππέλαφοι ἐν [c]Ἀραχώταις, οὗπερ καὶ οἱ βόες

22 οἱ ἄγριοι. Διαφέρουσι δ' οἱ ἄγριοι τῶν ἡμέρων ὅσον περ οἱ ὗες οἱ ἄγριοι [d]πρὸς τοὺς ἡμέρους· μέλανές τε γάρ εἰσι

[e] ἐλέφαντος A[a]. [f] δὲ] γὰρ P.D[a]. [g] καὶ οὐ ζ. P. [h] ὁ om. D[a]. [i] δασύτατος P. [k] ἔστι P.D[a]. [l] δασέα ἧττον P.D[a]. [m] ἄμφω ἴσχει P. [n] οὐδετέρων D[a], οὔθ' ἑτέρων P. [o] οὐδὲ P. [p] κάτωθεν P.D[a]. [q] ἀλλὰ τὴν κάτωθεν A[a]. [r] ὥσπερ P.D[a]. [s] δασύτερον A[a]. [t] λοφύαν P. [v] καὶ ante κερ. om. P. [w] βόνασσος P.C[a]. [x] καλούμενος om. P.D[a]. [y] ἱππαρίδιον P. [z] ἔτι A[a].C[a]. [a] κερατοφόρα—θήλεια] ὅ τε βόνασος (βόννασος C[a]). καὶ ὁ A[a].C[a]. [b] διχηλά A[a].C[a]. [c] ἀραχώτοις P.D[a]. [d] πρὸς τοὺς ἡμέρους] τῶν ἡμέρων D[a].

Digitized by Google

καὶ ἰσχυροὶ [e]τῷ εἴδει καὶ ἐπίγρυποι, τὰ δὲ κέρατα ἐξυπτιάζοντα [f]ἔχουσι μᾶλλον· τὰ δὲ τῶν ἱππελάφων κέρατα παραπλήσια τοῖς τῆς δορκάδος [g]ἐστίν. Ὁ δ' ἐλέφας ἥκιστα 23
δασύς ἐστι τῶν τετραπόδων. Ἀκολουθοῦσι δὲ κατὰ τὸ σῶμα καὶ αἱ κέρκοι δασύτητι καὶ ψιλότητι, [h]ὅσων αἱ κέρκοι μέγεθος ἔχουσιν· ἔνια γὰρ μικρὰν ἔχει πάμπαν.

Αἱ δὲ κάμηλοι ἴδιον ἔχουσι παρὰ [i]τἆλλα τετράποδα τὸν 24
καλούμενον ὕβον ἐπὶ τῷ νώτῳ. Διαφέρουσι δ' αἱ [k]Βάκτριαι τῶν Ἀραβίων· αἱ μὲν γὰρ δύο ἔχουσιν ὕβους, αἱ δ' ἕνα μόνον, ἄλλον δ' ἔχουσιν ὕβον τοιοῦτον οἷον ἄνω ἐν τοῖς κάτω, ἐφ' οὗ, ὅταν κατακλιθῇ εἰς γόνατα, ἐστήρικται τὸ ἄλλο σῶμα. Θηλὰς [l]δ' ἔχει τέτταρας ἡ κάμηλος ὥσπερ βοῦς, καὶ 25
κέρκον ὁμοίαν ὄνῳ, [m]καὶ τὸ αἰδοῖον ὄπισθεν. Καὶ γόνυ δ' ἔχει ἐν ἑκάστῳ [n]τῷ σκέλει ἕν, καὶ [o]τὰς καμπὰς οὐ πλείους, ὥσπερ λέγουσί τινες, ἀλλὰ φαίνεται διὰ τὴν ὑπόστασιν τῆς κοιλίας. Καὶ [p]ἀστράγαλον ὅμοιον μὲν βοΐ, [q]ἰσχνὸν δὲ [r]καὶ μικρὸν ὡς κατὰ τὸ μέγεθος. [u]Ἔστι δὲ [s]διχαλὸν καὶ 26
οὐκ ἄμφωδον, διχαλὸν δὲ ὧδε. Ἐκ [t]μὲν τοῦ ὄπισθεν μικρὸν ἔσχισται μέχρι τῆς δευτέρας καμπῆς τῶν δακτύλων· [v]τὸ δ' ἔμπροσθεν ἔσχισται μικρά, ὅσον ἄχρι τῆς πρώτης καμπῆς τῶν δακτύλων ἐπ' [w]ἄκρῳ τέτταρα· καὶ ἔστι τι [x]καὶ διὰ μέσου τῶν σχισμάτων, ὥσπερ τοῖς χησίν. Ὁ δὲ πούς ἐστι 27
[y]κάτωθεν σαρκώδης, ὥσπερ [z]καὶ οἱ ἄρκτων· διὸ καὶ τὰς εἰς πόλεμον ἰούσας [a]ὑποδοῦσι [b]καρβατίναις, ὅταν ἀλγήσωσιν.

[c]Πάντα δὲ τὰ τετράποδα [d]ὀστώδη τὰ σκέλη ἔχει καὶ 28
νευρώδη καὶ ἄσαρκα· ὅλως δὲ καὶ τἆλλα ζῷα [e]ἅπαντα, ὅσα ἔχει πόδας, ἐκτὸς ἀνθρώπου. [f]Ἔστι δὲ [g]καὶ ἀνίσχια· καὶ

[e] τὰ εἴδη $A^a.C^a$. [f] ἴσχουσι P. [g] εἰσίν $A^a.C^a.D^a$. [h] ὅσον $P.D^a$. [i] τὰ ἄλλα $P.D^a$. [k] βακτρίαι τῶν ἀρραβίων A^a. [l] δ'] μὲν οὖν C^a. [m] καὶ τὸ] τὸ δ' $A^a.C^a$. [n] τῷ om. $P.D^a$. [o] τὰς om. D^a. [p] ἀστράγαλον δὲ ὅμοιον D^a. [q] ἰσχίον $P.D^a$. [r] καὶ om. D^a. [s] δίχηλον P. [t] μὲν γὰρ τοῦ $P.D^a$. [v] τὰ $A^a.C^a$. [w] ἄκρων $P.D^a$. [x] καὶ post τι om. $P.D^a$. [y] σαρκώδης κάτωθεν D^a. [z] καὶ ante οἱ om. $P.D^a$. [a] ὑποδύουσι $P.D^a$. [b] κερβατίναις C^a, κερβατίνας pr. A^a. [c] ἅπαντα $P.D^a$. [d] τὰ σκέλη ἔχει ὀστώδη D^a. [e] πάντα D^a. [f] ἔτι C^a. [g] καὶ om. $A^a.C^a$.

Digitized by Google

29 γὰρ οἱ ὄρνιθες ἔτι μᾶλλον τοῦτο πεπόνθασιν. Ὁ δ' ἄνθρωπος τοὐναντίον· σαρκώδη γὰρ ἔχει σχεδὸν μάλιστα τοῦ σώματος τὰ ἰσχία καὶ τοὺς μηροὺς καὶ τὰς κνήμας· αἱ γὰρ καλούμεναι γαστροκνημίαι ἐν ταῖς κνήμαις εἰσὶ [h] σαρκώδεις.

30 Τῶν δὲ τετραπόδων καὶ ἐναίμων καὶ ζῳοτόκων τὰ μέν ἐστι πολυσχιδῆ, ὥσπερ [i] αἱ τοῦ ἀνθρώπου χεῖρες καὶ [k] οἱ πόδες (πολυδάκτυλα γὰρ ἔνιά ἐστιν, οἷον [l] κύων, λέων, πάρδαλις), τὰ δὲ [m] δισχιδῆ, καὶ ἀντὶ τῶν ὀνύχων χηλὰς ἔχει, ὥσ[n]περ πρόβατον καὶ αἴξ καὶ ἔλαφος καὶ [o] ἵππος ὁ ποτάμιος· τὰ δ' ἀσχιδῆ, οἷον τὰ μώνυχα, ὥσ[p]περ ἵππος καὶ ὀρεύς.

31 Τὸ δὲ τῶν ὑῶν γένος ἐπαμφοτερίζει· εἰσὶ γὰρ καὶ ἐν [1]Ἰλλυριοῖς καὶ ἐν [q] Παιονίᾳ καὶ ἄλλοθι [r] μώνυχες ὗες. Τὰ μὲν οὖν [s] διχαλὰ δύο ἔχει σχίσεις ὄπισθεν· τοῖς δὲ [t] μώνυξι τοῦτ' ἐστὶ συνεχές. [v] Ἔστι δὲ καὶ τὰ μὲν κερατοφόρα [w] τῶν

32 ζῴων τὰ δ' ἄκερα. Τὰ μὲν οὖν [x] πλεῖστα τῶν ἐχόντων κέρατα [y] διχαλὰ κατὰ φύσιν ἐστίν, οἷον βοῦς καὶ ἔλαφος καὶ αἴξ· [z] μώνυχον δὲ καὶ δίκερων οὐθὲν [a] ἡμῖν ὤπται. [b] Μονοκέρατα δὲ καὶ μώνυχα ὀλίγα, οἷον ὁ [1]Ἰνδικὸς [c] ὄνος. Μονό-

33 κερων δὲ καὶ διχαλὸν [d] ὄρυξ. Καὶ ἀστράγαλον [e] δ' ὁ [1]Ἰνδικὸς ὄνος ἔχει τῶν μωνύχων [f] μόνον· ἡ γὰρ [g] ὗς, ὥσπερ ἐλέχθη πρότερον, ἐπαμφοτερίζει, διὸ καὶ οὐ καλλιαστράγαλόν ἐστιν. Τῶν δὲ διχαλῶν πολλὰ ἔχει [h] ἀστράγαλον. Πολυσχιδὲς δὲ οὐθὲν ὤπται [i] τοιοῦτον ἔχον ἀστράγαλον, ὥσπερ οὐδ' ἄνθρωπος, ἀλλ' ἡ [k] μὲν λὺγξ ὅμοιον [l] ἡμιαστραγαλίῳ, ὁ δὲ λέων, [m] οἷόν περ πλάττουσι, [n] λαβυρινθώδη.

[h] σαρκώδεις ante εἰσὶ P.C[a], om. pr. A[a]. [i] οἱ τοῦ ἀνθρώπου πόδες καὶ χεῖρες C[a]. et (addito αἱ post καὶ) P. [k] οἱ om. A[a]. [l] λέων κύων A[a].C[a]. [m] πολυσχιδῆ P. [n] περ om. C[a]. [o] ὁ ποτάμιος ἵππος P.D[a]. [p] περ om. A[a].C[a]. [q] παιωνίαις P.D[a]. [r] μώνυχοι P.D[a]. [s] δίχηλα A[a].C[a]. [t] μονώνυξι P.D[a]. [v] ἔστι—οὖν om. A[a]. [w] τὰ δ' ἄκερα τῶν ζώων P.D[a]. [x] πλεῖστα δὲ τῶν rc. A[a]. [y] διχηλὰ C[a]. [z] μονώνυχον D[a]. [a] ἡμῖν om. A[a].C[a]. [b] μονοκέρωτα P. [c] ὄνος μονόκερως. μονόκερων P.D[a]. [d] ὄρυξ] οἷον ὄρυξ A[a].C[a]. [e] δ' om. P. [f] μόνος A[a], μόνον ante τῶν μωνύχων D[a], om. P. [g] ὗς A[a]. [h] ἀλλαστράγαλον D[a], ἀστράγαλον A[a].C[a]. [i] τοιοῦτον om. P.D[a]. [k] μὲν om. A[a].C[a]. [l] ἡμιαστραγάλῳ P.C[a].D[a]. [m] οἷον περιπλάττουσι P. [n] λαβυρινθῶδες P.D[a].

Digitized by Google

Πάντα δὲ τὰ ἔχοντα [o] ἀστράγαλον ἐν τοῖς ὄπισθεν ἔχει 34
σκέλεσιν. Ἔχει δ' [p] ὀρθὸν τὸν ἀστράγαλον ἐν τῇ κνήμῃ,
τὸ μὲν πρανὲς ἔξω, τὸ δ' ὕπτιον [q] εἴσω, καὶ τὰ μὲν [r] κῶα
ἐντὸς ἐστραμμένα πρὸς ἄλληλα, τὰ δὲ [r] χῖα καλούμενα ἔξω,
καὶ τὰς κεραίας ἄνω. [t] Ἡ μὲν οὖν θέσις τῶν ἀστραγάλων 35
τοῖς ἔχουσι πᾶσι τοῦτον ἔχει τὸν τρόπον. [s] Διχαλὰ δ' ἅμα
καὶ χαίτην [t] ἔχοντα καὶ κέρατα δύο κεκαμμένα εἰς αὐτά ἐστιν
ἔνια τῶν ζῴων, οἷον ὁ βόνασος, ὃς γίνεται [u] περὶ τὴν Παιο-
νίαν καὶ [v] τὴν [w] Μαιδικήν. Πάντα δὲ ὅσα [x] κερατοφόρα, 36
τετράποδά ἐστιν, εἰ μή τι κατὰ μεταφορὰν λέγεται ἔχειν
κέρας καὶ λόγου χάριν, ὥσπερ τοὺς περὶ Θήβας ὄφεις οἱ
Αἰγύπτιοί φασιν, ἔχοντας ἐπανάστασιν ὅσον προφάσεως
χάριν. Τῶν δ' ἐχόντων κέρας δι' ὅλου μὲν ἔχει στερεὸν μό-
νον ἔλαφος, τὰ δ' ἄλλα κοῖλα μέχρι [y] τινός, τὸ δ' ἔσχατον
στερεόν. Τὸ μὲν οὖν κοῖλον ἐκ τοῦ δέρματος πέφυκε μᾶλ- 37
λον· [z] περὶ δὲ τοῦτο περιήρμοσται τὸ στερεὸν ἐκ τῶν [a] ὀστῶν,
οἷον τὰ κέρατα τῶν βοῶν. [t] Ἀποβάλλει δὲ τὰ κέρατα μόνον
ἔλαφος κατ' ἔτος, ἀρξάμενος ἀπὸ διετοῦς, καὶ πάλιν φύει·
τὰ δ' ἄλλα συνεχῶς ἔχει, ἐὰν μή τι βίᾳ πηρωθῇ.

Ἔτι [b] δὲ περί [c] τε τοὺς μαστοὺς ὑπεναντίως ἐν τοῖς ἄλλοις 38
ζῴοις ὑπάρχει πρὸς αὐτά τε καὶ πρὸς τὸν ἄνθρωπον, καὶ
περὶ τὰ ὄργανα τὰ χρήσιμα πρὸς τὴν ὀχείαν. Τὰ μὲν γὰρ
ἔμπροσθεν ἔχει τοὺς μαστοὺς ἐν τῷ στήθει ἢ πρὸς τῷ στήθει,
καὶ δύο μαστοὺς καὶ δύο θηλάς, ὥσπερ ἄνθρωπος [d] καὶ ἐλέ-
φας, καθάπερ [e] εἴρηται πρότερον. Καὶ γὰρ ὁ ἐλέφας [f] ἔχει 39
τοὺς μαστοὺς δύο [g] περὶ τὰς μασχάλας· ἔχει δὲ [h] καὶ ἡ θή-
λεια τοὺς μαστοὺς μικροὺς παντελῶς καὶ οὐ κατὰ λόγον τοῦ
σώματος, ὥστ' ἐκ τοῦ πλαγίου μὴ πάνυ ὁρᾶν· ἔχουσι δὲ καὶ

[o] ἀστραγάλους Aa.Ca. [p] τὸν ἀστράγαλον ὀρθὸν P.Da. [q] ἴσω Da. [r] κῶα et mox χῖα Conr. Gesnerus: codices κῶλα et ἰσχία. [s] διχαλὸν pr. Aa. [t] ἔχον pr. Aa. [u] παρὰ P. [v] τὴν om. Aa.Ca. [w] Μαιδικήν Sylburgius: codices μηδικήν. [x] κέρατα Aa.Ca.Da. [y] τινὸς μᾶλλον τὸ Aa. [z] παρὰ Da. [a] ὠτῶν Ca. et pr. Aa, ὤτων corr. Aa. [b] δὲ] τε Aa.Ca. [c] τε om. Ca. [d] καὶ ὁ ἐλέφας P.Da. [e] ἔμπροσθεν εἴρηται P.Da. [f] τοὺς μαστοὺς ἔχει P.Da. [g] παρὰ P. et fortasse Ca. καὶ om. Aa.Ca.

Digitized by Google

οἱ ἄρρενες μαστούς, ὥσπερ αἱ θήλειαι, μικροὺς παντελῶς.
40 [h]Ἡ δ' ἄρκτος [i]τέτταρας. Τὰ δὲ δύο μὲν μαστοὺς ἔχει, ἐν
τοῖς μηροῖς [k]δ' ἔχει, καὶ τὰς θηλὰς δύο, ὥσπερ πρόβατον·
τὰ δὲ [l]τέτταρας θηλάς, ὥσπερ βοῦς. Τὰ δ' οὔτ' ἐν τῷ
στήθει ἔχει τοὺς μαστοὺς οὔτ' ἐν τοῖς μηροῖς, ἀλλ' ἐν τῇ
γαστρί, οἷον κύων καὶ ὗς, καὶ πολλούς, οὐ πάντας δ' ἴσους.
41 Τὰ μὲν οὖν ἄλλα πλείους ἔχει, [m]ἡ δὲ πάρδαλις τέτταρας ἐν
τῇ γαστρί, [n]ἡ δὲ λέαινα δύο ἐν τῇ γαστρί. [o]Ἔχει δὲ καὶ
ἡ κάμηλος μαστοὺς δύο [o]καὶ θηλὰς τέτταρας, [p]ὥσπερ ὁ βοῦς.
Τῶν δὲ μωνύχων τὰ ἄρρενα οὐκ ἔχουσι μαστούς, πλὴν ὅσα
ἐοίκασι τῇ μητρί, ὅπερ συμβαίνει ἐπὶ τῶν ἵππων.
42 Τὰ δ' αἰδοῖα τῶν μὲν ἀρρένων τὰ μὲν ἔξω ἔχει, οἷον ἄν-
θρωπος καὶ ἵππος καὶ ἄλλα πολλά, τὰ δ' ἐντός, ὥσπερ δελ-
φίς· καὶ τῶν ἔξω [q]δ' ἐχόντων τὰ μὲν [r]εἰς τὸ πρόσθεν, ὥσπερ
[s]καὶ τὰ εἰρημένα, καὶ τούτων τὰ μὲν ἀπολελυμένα καὶ τὸ
αἰδοῖον καὶ τοὺς ὄρχεις, [t]ὥσπερ ἄνθρωπος, τὰ δὲ πρὸς τῇ
γαστρὶ [v]καὶ τοὺς ὄρχεις καὶ τὸ αἰδοῖον, καὶ τὰ μὲν μᾶλλον
τὰ δ' ἧττον ἀπολελυμένα· οὐ γὰρ ὡσαύτως ἀπολέλυται κά-
43 πρῳ καὶ ἵππῳ τοῦτο τὸ μόριον. [u]Ἔχει δὲ καὶ ὁ ἐλέφας [w]τὸ
αἰδοῖον ὅμοιον μὲν ἵππῳ, μικρὸν δὲ καὶ [x]οὐ [y]κατὰ λόγον
τοῦ σώματος, τοὺς δ' ὄρχεις οὐκ ἔξω φανερούς, ἀλλ' ἐντὸς
περὶ τοὺς νεφρούς· διὸ καὶ ἐν τῇ ὀχείᾳ ἀπαλλάττεται [z]τα-
44 χέως. [a]Ἡ δὲ θήλεια [a]τὸ αἰδοῖον ἔχει ἐν [b]ᾧ τόπῳ τὰ οὔθατα
τῶν προβάτων [c]ἐστίν. ὅταν δ' [d]ὀργᾷ ὀχεύεσθαι, ἀνασπᾷ
ἄνω καὶ ἐκτρέπει πρὸς [e]τὸν [f]ἔξω τόπον, ὥστε ῥᾳδίαν εἶναι
[g]τῷ ἄρρενι τὴν ὀχείαν· ἀνέρρωγε δὲ ἐπιεικῶς ἐπὶ πολὺ τὸ

[i] τέσσαρας P.D[a]. [k] δ' ἔχει om. P.D[a]. [l] τέτταρας τὰς θηλὰς P.D[a].
[m] αἱ δὲ παρδάλεις A[a].C[a]. [n] ἡ δὲ λέαινα δύο ἐν τῇ γαστρί om. P.D[a].
[o] καὶ om. A[a].C[a]. [p] ὥσπερ βοῦς A[a], ἐν τῇ γαστρί. ἡ δὲ λέαινα δύο ἐν τῇ
γαστρί P.D[a]. [q] δ' om. P.D[a]. [r] εἰς τὸ πρόσθεν] ἔμπροσθεν P.D[a].
[s] καὶ ante τὰ om. P.D[a]. [t] ὥσπερ ὁ ἄνθρωπος D[a]. [v] καὶ τοὺς ὄρχεις
καὶ om. A[a].C[a]. [w] τὸ om. A[a].C[a]. [x] οὐκ ἀνάλογον A[a].C[a]. [y] κατὰ]
παρὰ P. [z] post ταχέως codices καὶ τὰ μὲν ἀπολελυμένους ἔχει τοὺς ὄρ-
χεις, ὥσπερ ἵππος, τὰ δ' οὐκ ἀπολελυμένους, ὥσπερ κάπρος. [a] τὰ αἰδοῖα
P.D[a]. [b] τόπῳ οὗ τὰ C[a]. [c] ἐστὶν om. A[a].C[a]. [d] δ' ὀχεύωνται A[a].C[a].
[e] τὸν om. P. [f] ἔξω] ἐκτὸς P.D[a]. [g] τὴν ὀχείαν τῷ ἄρρενι A[a].C[a].

Digitized by Google

αἰδοῖον. Τοῖς μὲν οὖν πλείστοις αὐτῶν τὰ αἰδοῖα τοῦτον 45
ἔχει τὸν τρόπον· ἔνια δ' ὀπισθουρητικά [h] ἐστιν, οἷον λὺγξ
καὶ λέων καὶ κάμηλος καὶ δασύπους. Τὰ μὲν οὖν ἄρρενα
ὑπεναντίως ἔχει ἀλλήλοις, καθάπερ εἴρηται, τὰ δὲ θήλεα
[i] πάντα ὀπισθουρητικά [k] ἐστιν· καὶ γὰρ ὁ θῆλυς ἐλέφας ἔχει
τὰ αἰδοῖα ὑπὸ [l] τοῖς μηροῖς, καθάπερ [m] καὶ τἆλλα. Τῶν δ' 46
αἰδοίων διαφορὰ πολλή ἐστιν. Τὰ μὲν γὰρ ἔχει χονδρώδες
τὸ αἰδοῖον [n] καὶ σαρκώδες, ὥσπερ ἄνθρωπος· τὸ μὲν οὖν σαρ-
κώδες οὐκ [o] ἐμφυσᾶται, τὸ δὲ χονδρῶδες ἔχει αὔξησιν. Τὰ
δὲ νευρώδη, οἷον καμήλου καὶ ἐλάφου, τὰ δ' [p] ὀστώδη, ὥσπερ
ἀλώπεκος καὶ λύκου καὶ [q] ἰκτίδος καὶ γαλῆς· καὶ γὰρ ἡ [r] γα-
λῆ ὀστοῦν ἔχει τὸ αἰδοῖον.

Πρὸς δὲ τούτοις ὁ μὲν ἄνθρωπος τελεωθεὶς τὰ ἄνω ἔχει 47
ἐλάττω τῶν [s] κάτωθεν, τὰ δ' ἄλλα ζῷα, ὅσα ἔναιμα, τοὐναν-
τίον. Λέγομεν δὲ ἄνω τὸ ἀπὸ κεφαλῆς μέχρι τοῦ μορίου
ᾗ ἡ τοῦ περιττώματός ἐστιν ἔξοδος, κάτω δὲ [t] τὸ ἀπὸ τούτου
λοιπόν. Τοῖς μὲν οὖν ἔχουσι πόδας τὸ ὀπίσθιόν ἐστι σκέλος
τὸ κάτωθεν μέρος πρὸς τὸ μέγεθος, τοῖς δὲ μὴ ἔχουσιν [v] οὐ-
ραὶ καὶ [w] κέρκοι καὶ τὰ τοιαῦτα. [x] Τελεούμενα μὲν οὖν τοι- 48
αῦτ' ἐστίν, ἐν δὲ τῇ αὐξήσει διαφέρει· ὁ μὲν γὰρ ἄνθρωπος
μείζω τὰ ἄνω ἔχει νέος ὢν ἢ τὰ κάτω, αὐξανόμενος δὲ μετα-
βάλλει τοὐναντίον (διὸ [y] καὶ μόνον οὐ τὴν αὐτὴν [z] ποιεῖται
κίνησιν τῆς πορείας [a] νέος ὢν καὶ [b] τελεωθείς, ἀλλὰ τὸ πρῶτον
παιδίον [c] ὃν ἕρπει τετραποδίζον), [d] τὰ δ' ἀνάλογον [e] ἀποδί-
δωσι τὴν αὔξησιν, οἷον κύων. [f] Ἔνια δὲ τὸ πρῶτον [f] ἐλάττω 49
τὰ ἄνω, τὰ δὲ [g] κάτω μείζω ἔχει, αὐξανόμενα δὲ τὰ ἄνω γί-
νεται μείζω, ὥσπερ τὰ [h] λοφοῦρα· τούτων γὰρ οὐδὲν [i] γίνε-
ται μεῖζον ὕστερον τὸ ἀπὸ τῆς ὁπλῆς μέχρι τοῦ ἰσχίου.

[h] εἰσω P.D[a]. [i] ἅπαντα P.D[a]. [k] εἰσιν D[a]. [l] τοὺς μηροὺς P.D[a]. [m] καὶ om. P.D[a]. [n] καὶ σαρκῶδες ante τὸ αἰδοῖον P.D[a]. [o] ἐμφύεται P. [p] ὀστῶδες C[a]. [q] ἴκτιδος D[a]. [r] γαλῆ τοιοῦτον ὀστοῦν P. [s] κάτω P.D[a]. [t] τό] τὰ P.D[a]. [v] οὐρὰ A[a].C[a]. [w] κέρκη D[a]. [x] τελειούμενα P.D[a], τελούμενα pr. A[a]. [y] καὶ om. D[a]. [z] κίνησιν ποιεῖται A[a].C[a]. [a] νέον ὂν A[a].C[a]. [b] τελειωθεὶς P.D[a], τελεωθέν A[a].C[a]. [c] ὂν om. P. [d] τὰ] τὸ C[a]. [e] δίδωσι D[a]. [f] τὰ ἄνω ἐλάττω D[a]. [g] κ. μείζονα D[a], κ. μείζον' P. [h] ὀλοφούρια P.D[a]. [i] μείζω γίν. A[a].

Digitized by Google

50 Ἔστι δὲ καὶ περὶ τοὺς ὀδόντας πολλὴ διαφορὰ τοῖς ἄλλοις ζῴοις καὶ πρὸς αὐτὰ καὶ πρὸς τὸν ἄνθρωπον. Ἔχει μὲν γὰρ πάντα ὀδόντας ὅσα τετράποδα καὶ ἔναιμα καὶ ζωοτόκα, ἀλλὰ πρῶτον τὰ μέν ἐστιν ἀμφώδοντα τὰ δ' [k] οὔ. [l] Ὅσα μὲν γάρ ἐστι κερατοφόρα, οὐκ ἀμφώδοντά ἐστιν· οὐ γὰρ ἔχει τοὺς προσθίους ὀδόντας ἐπὶ τῆς ἄνω σιαγόνος.
51 Ἔστι δ' ἔνια οὐκ ἀμφώδοντα καὶ ἀκέρατα, οἷον κάμηλος. Καὶ τὰ μὲν [m] χαυλιόδοντας ἔχει, ὥσπερ οἱ ἄρρενες ὗες, τὰ δ' οὐκ ἔχει. Ἔτι [n] δὲ τὰ μέν ἐστι καρχαρόδοντα αὐτῶν, οἷον λέων καὶ πάρδαλις καὶ κύων, τὰ δὲ ἀνεπάλλακτα, οἷον ἵππος καὶ βοῦς· καρχαρόδοντα γάρ ἐστιν ὅσα ἐπαλλάττει
52 τοὺς ὀδόντας τοὺς ὀξεῖς. [o] Ἅμα δὲ [p] χαυλιόδοντα [q] καὶ κέρας οὐδὲν ἔχει ζῷον, οὐδὲ [r] καρχαρόδουν καὶ τούτων θάτερον. Τὰ δὲ πλεῖστα τοὺς προσθίους ἔχει ὀξεῖς, τοὺς δ' ἐντὸς πλατεῖς. Ἡ δὲ φώκη [s] καρχαρόδουν ἐστὶ πᾶσι τοῖς [t] ὀδοῦσιν, ὡς ἐπαλλάττουσα τῷ γένει τῶν ἰχθύων· οἱ γὰρ ἰχθύες πάντες σχεδὸν [v] καρχαρόδοντές εἰσιν. Διστοίχους δὲ ὀδόν-
53 τας οὐδὲν ἔχει [w] τούτων τῶν γενῶν. Ἔστι δέ τι, εἰ δεῖ πιστεῦσαι Κτησίᾳ· ἐκεῖνος γὰρ [x] τὸ ἐν Ἰνδοῖς θηρίον, ᾧ ὄνομα εἶναι [y] μαρτιχόραν, τοῦτ' ἔχειν ἐπ' ἀμφότερά φησι τριστοίχους [z] τοὺς ὀδόντας· εἶναι δὲ μέγεθος μὲν [a] ἡλίκον λέοντα καὶ [b] δασὺ ὁμοίως, καὶ πόδας ἔχειν ὁμοίους, πρόσωπον [c] δὲ [d] καὶ ὦτα ἀνθρωποειδές, [e] τὸ δ' ὄμμα γλαυκόν, τὸ [f] δὲ χρῶμα [g] κινναβάρινον, τὴν δὲ κέρκον ὁμοίαν τῇ τοῦ σκορπίου τοῦ χερσαίου, ἐν ᾗ κέντρον [h] ἔχειν καὶ τὰς [i] ἀποφυάδας ἀπακοντίζειν, φθέγγεσθαι [k] δ' ὅμοιον φωνῇ [l] ἅμα σύριγγος καὶ σάλπιγγος, ταχὺ δὲ θεῖν οὐχ ἧττον τῶν ἐλάφων, καὶ εἶναι

[k] οὔ] οὐκ ἀμφώδοντα $A^a.C^a$. [l] ὅσα—ἐστιν om. A^a, ἐστιν om. C^a. [m] χαυλιώδοντας C^a, χαυλιόδοντα P. [n] δὲ om. D^a. [o] ἅμα] ὁμοῦ. ἅμα $P.D^a$. [p] χαυλιώδοντα C^a. [q] καὶ] τε καὶ A^a. [r] καρχαρόδον τε καὶ C^a. [s] καρχαρόδων C^a. [t] ὀδ.] ζώοις A^a. [v] καρχαρώδοντες C^a. [w] τούτων om. D^a. [x] ἐν ἰνδοῖς τὸ $P.D^a$. [y] μαρτιοχώραν P, μαντιχώραν D^a. [z] τοὺς om. A^a. [a] ἡλίκον τὸν λ. D^a. [b] δασὺν $P.D^a$. [c] δὴ A^a, δὲ δὴ C^a. [d] καὶ τὰ ὦτα C^a, καὶ τὰ ὄμματα A^a. [e] τὰ δ' ὄμμάτα C^a, τό τ' ὄμμα $P.D^a$. [f] δὲ om. A^a. [g] κιναβάρινον D^a. [h] ἔχει $A^a.C^a$. [i] ὑποφυάδας ἀκοντίζειν $P.D^a$. [k] δὲ φωνῇ ὁμοίᾳ $P.D^a$. [l] ἅμα om. $P.D^a$.

Digitized by Google

ἄγριον καὶ ἀνθρωποφάγον. [u]Ἄνθρωπος μὲν οὖν βάλλει 54
τοὺς ὀδόντας, βάλλει δὲ καὶ ἄλλα τῶν ζῴων, οἷον ἵππος καὶ
ὀρεὺς καὶ ὄνος. Βάλλει δ' ἄνθρωπος τοὺς προσθίους, τοὺς
δὲ γομφίους οὐθὲν βάλλει τῶν ζῴων. [t]Ὑς δ' [m]ὅλως οὐθένα
βάλλει [n]τῶν ὀδόντων. Περὶ δὲ τῶν κυνῶν ἀμφισβητεῖται, 2
καὶ οἱ μὲν ὅλως οὐκ οἴονται βάλλειν [o]οὐθένα [p]αὐτούς, οἱ δὲ
τοὺς κυνόδοντας μόνον· [q]ὦπται δ' ὅτι βάλλει καθάπερ [r]καὶ
ἄνθρωπος, ἀλλὰ λανθάνει διὰ τὸ μὴ βάλλειν πρότερον [s]πρὶν
ὑποφυῶσιν ἐντὸς ἴσοι. [t]Ὁμοίως [t]δὲ καὶ ἐπὶ [v]τῶν ἄλλων 2
τῶν ἀγρίων εἰκὸς συμβαίνειν, ἐπεὶ λέγονταί γε τοὺς κυνό-
δοντας μόνον βάλλειν. Τοὺς δὲ κύνας διαγινώσκουσι τοὺς
[w]νεωτέρους καὶ πρεσβυτέρους [x]ἐκ τῶν ὀδόντων· οἱ μὲν γὰρ
νέοι λευκοὺς ἔχουσι καὶ ὀξεῖς τοὺς ὀδόντας, οἱ [y]δὲ πρεσβύτε-
ροι μέλανας καὶ ἀμβλεῖς. [z]Ἐναντίως δὲ πρὸς ταῦλλα ζῷα 3
[z]καὶ ἐπὶ τῶν ἵππων συμβαίνει· τὰ μὲν γὰρ ἄλλα ζῷα πρε-
σβύτερα γινόμενα μελαντέρους ἔχει τοὺς ὀδόντας, ὁ δ' ἵππος
λευκοτέρους. [a]Ὁρίζουσι δὲ τούς τε ὀξεῖς καὶ [a]τοὺς πλατεῖς
οἱ καλούμενοι κυνόδοντες, ἀμφοτέρων μετέχοντες τῆς μορ-
φῆς· [b]κάτωθεν μὲν γὰρ πλατεῖς, ἄνωθεν δ' [c]εἰσὶν ὀξεῖς.
[u]Ἔχουσι δὲ πλείους οἱ ἄρρενες τῶν θηλειῶν ὀδόντας καὶ ἐν 2
ἀνθρώποις καὶ ἐπὶ προβάτων καὶ αἰγῶν καὶ ὑῶν· ἐπὶ δὲ τῶν
ἄλλων οὐ τεθεώρηταί [d]πω. [v]Ὅσοι δὲ πλείους ἔχουσι, μα-
κροβιώτεροι ὡς ἐπὶ τὸ πολύ εἰσιν, οἱ δ' ἐλάττους καὶ [e]ἀραιό-
δοντες ὡς ἐπὶ τὸ πολὺ βραχυβιώτεροι. Φύονται δ' [f]οἱ τε- 4
λευταῖοι τοῖς ἀνθρώποις [g]γόμφιοι, οὓς καλοῦσι [h]κραντῆρας,
περὶ τὰ εἴκοσιν ἔτη καὶ ἀνδράσι καὶ γυναιξίν. [v]Ἤδη δέ τισι
γυναιξὶ καὶ ὀγδοήκοντα ἐτῶν οὔσαις [i]ἔφυσαν γόμφιοι ἐν

[m] ὅλως om. P. [n] τῶν ὀδόντων] ὀδόντα P.D[a]. [o] ἕνα P. [p] αὐτῶν D[a]. [q] ὦπται βάλλειν μόνον, omissis δ' ὅτι, P.D[a]. [r] καὶ om. P.D[a]. [s] πρὶν] πρὶν ἢ P.D[a]. [t] δὲ om. P.D[a]. [v] τῶν post ἐπὶ om. P. [w] πρεσβυτέρους τε καὶ νεωτέρους P.D[a]. [x] ἐκ] καὶ ἐκ A[a].C[a]. [y] πρεσβύτεροι δὲ A[a].C[a]. [z] καὶ—πρεσβύτερα om. pr. A[a]. [a] τοὺς om. P.D[a]. [b] ἄνωθεν μὲν γάρ εἰσι πλατεῖς, κάτωθεν A[a].C[a]. [c] ὀξεῖς εἰσίν D[a]. [d] πω] τῳ P. [e] ἀνόδοντες P.D[a]. [f] τοῖς ἀνθρώποις οἱ τελευταῖοι P.D[a]. [g] γομφίοι P. [h] κρατῆρας P. [i] ἐφύησαν P.

Digitized by Google

τοῖς ἐσχάτοις, πόνον [k] παρασχόντες ἐν τῇ ἀνατολῇ, καὶ ἀνδράσιν ὡσαύτως· τοῦτο δὲ συμβαίνει ὅσοις ἂν μὴ ἐν τῇ ἡλικίᾳ
5 ἀνατείλωσιν οἱ κραντῆρες. Ὁ δ' ἐλέφας ὀδόντας μὲν ἔχει τέτταρας ἐφ' ἑκάτερα, οἷς κατεργάζεται τὴν τροφήν (λεαίνει δ' ὥσπερ κριμνά), χωρὶς δὲ τούτων ἄλλους δύο [l] τοὺς μεγάλους. Ὁ μὲν οὖν ἄρρην τούτους ἔχει μεγάλους [m] τε καὶ [n] ἀνασίμους, ἡ δὲ θήλεια μικροὺς καὶ ἐξ ἐναντίας τοῖς ἄρρεσιν· κάτω [o] γὰρ οἱ ὀδόντες [p] βλέπουσιν. Ἔχει δ' ὁ ἐλέφας εὐθὺς [q] γενόμενος ὀδόντας, τοὺς μέντοι μεγάλους ἀδήλους τὸ πρῶ-
6 τον. Γλῶτταν [r] δὲ ἔχει μικράν [s] τε σφόδρα καὶ ἐντός, ὥστε ἔργον [t] εἶναι ἰδεῖν.

7 Ἔχουσι δὲ τὰ ζῷα καὶ τὰ μεγέθη διαφέροντα τοῦ στόματος. [v] Τῶν μὲν γάρ ἐστι τὰ στόματα ἀνερρωγότα, ὥσπερ κυνὸς καὶ λέοντος καὶ πάντων τῶν καρχαροδόντων, τὰ δὲ μικρόστομα, ὥσπερ ἄνθρωπος, [w] τὰ δὲ μεταξύ, [x] ὥσπερ τὸ
2 τῶν ὑῶν γένος. Ὁ δ' ἵππος ὁ ποτάμιος ὁ ἐν Αἰγύπτῳ χαίτην μὲν ἔχει ὥσπερ ἵππος, διχαλὸν δ' ἐστὶν ὥσπερ βοῦς, τὴν δ' ὄψιν σιμός. Ἔχει δὲ καὶ ἀστράγαλον ὥσπερ τὰ διχαλά, καὶ [y] χαυλιόδοντας ὑποφαινομένους, κέρκον δ' ὑός, φωνὴν δ' ἵππου· μέγεθος δ' ἐστὶν [z] ἡλίκον ὄνος. Τοῦ δὲ δέρματος τὸ πάχος ὥστε δόρατα ποιεῖσθαι ἐξ αὐτοῦ. Τὰ δ' ἐντὸς ἔχει ὅμοια ἵππῳ καὶ ὄνῳ.

8 Ἕνια δὲ τῶν ζῴων ἐπαμφοτερίζει τὴν φύσιν τῷ τ' ἀνθρώπῳ καὶ τοῖς τετράποσιν, οἷον πίθηκοι καὶ κῆβοι καὶ κυνοκέφαλοι. Ἔστι δ' ὁ μὲν κῆβος πίθηκος ἔχων οὐράν. Καὶ οἱ κυνοκέφαλοι [a] δὲ τὴν αὐτὴν ἔχουσι μορφὴν τοῖς πιθήκοις, πλὴν μείζονές τ' εἰσὶ καὶ ἰσχυρότεροι καὶ τὰ πρόσωπα ἔχοντες κυνοειδέστερα, ἔτι δ' [b] ἀγριώτερά [c] τε τὰ ἤθη καὶ τοὺς
2 ὀδόντας ἔχουσι [d] κυνοειδεστέρους καὶ [e] ἰσχυροτέρους. Οἱ δὲ

[k] παρέχοντες A^a. [l] τοὺς om. P.D^a. [m] τε om. D^a. [n] ἀνασήμους A^a.C^a, ἀνωσίμους P.D^a. [o] γὰρ] δὲ C^a. [p] βλέπουσιν] ἔχουσιν P.D^a. [q] γεννώμενος P.D^a. [r] δὲ] τε P. [s] τε om. P.D^a. [t] εἶναι] ἐστιν C^a. [v] τῶν] τοῖς C^a. [w] τὸ C^a. [x] ὥσπερ] οἷον P.A^a. [y] χαυλιώδοντας C^a. [z] ἡλίκος D^a. [a] δὲ om. A^a. [b] ἀγριώτεροί P. [c] τά τε P.D^a. [d] κυνωδεστέρους D^a, κυνοδεστέρους P. [e] ἰσχυρούς A^a.C^a.

Digitized by Google

πίθηκοι δασεῖς μέν εἰσι τὰ πρανῆ ὡς ὄντες τετράποδες, καὶ τὰ ὕπτια [f] δὲ ὡσαύτως [g] ὡς ὄντες ἀνθρωποειδεῖς (τοῦτο γὰρ ἐπὶ τῶν ἀνθρώπων ἐναντίως ἔχει καὶ ἐπὶ τῶν τετραπόδων, καθάπερ [h] ἐλέχθη πρότερον)· πλὴν ἥ [i] τε θρὶξ παχεῖα, καὶ δασεῖς ἐπ' ἀμφότερα σφόδρα εἰσὶν οἱ πίθηκοι. Τὸ δὲ πρόσ- 3
ωπον ἔχει πολλὰς ὁμοιότητας τῷ τοῦ ἀνθρώπου· καὶ γὰρ μυκτῆρας καὶ ὦτα παραπλήσια ἔχει, καὶ ὀδόντας ὥσπερ [k] ὁ ἄνθρωπος, καὶ τοὺς προσθίους καὶ τοὺς γομφίους. [l]Ἔτι δὲ 4
βλεφαρίδας τῶν ἄλλων τετραπόδων ἐπὶ θάτερα οὐκ ἐχόντων οὗτος ἔχει μὲν [l] λεπτὰς δὲ σφόδρα, καὶ μᾶλλον τὰς κάτω, καὶ [m] μικρὰς πάμπαν· τὰ γὰρ [n] ἄλλα τετράποδα ταύτας οὐκ ἔχει. [o][l]Ἔχει δ' ἐν τῷ στήθει δύο θηλὰς μαστῶν [p] μι-
κρῶν. [l]Ἔχει δὲ καὶ βραχίονας ὥσπερ ἄνθρωπος, πλὴν δα- 5
σεῖς· καὶ κάμπτει καὶ τούτους καὶ τὰ σκέλη ὥσπερ ἄνθρω-
πος, τὰς περιφερείας [q] πρὸς ἀλλήλας ἀμφοτέρων τῶν κώλων. Πρὸς δὲ τούτοις χεῖρας καὶ δακτύλους καὶ ὄνυχας [r] ὁμοίους ἀνθρώπῳ, πλὴν [s] πάντα ταῦτα ἐπὶ τὸ θηριωδέστερον. [t]Ἰδί- 6
ους δὲ τοὺς πόδας· εἰσὶ γὰρ οἷον χεῖρες μεγάλαι, καὶ οἱ δάκτυλοι ὥσπερ οἱ τῶν χειρῶν, ὁ μέσος [t] μακρότατος, καὶ τὸ κάτω τοῦ ποδὸς χειρὶ ὅμοιον, πλὴν ἐπὶ [v] τὸ μῆκος τὸ τῆς χειρὸς ἐπὶ τὰ ἔσχατα τεῖνον, καθάπερ θέναρ· τοῦτο δὲ [w] ἐπ' ἄκρου σκληρότερον, κακῶς καὶ ἀμυδρῶς μιμούμενον πτέρνην. Κέχρηται δὲ τοῖς [x] ποσὶν ἐπ' ἄμφω, καὶ ὡς χερσὶ 7
καὶ ὡς ποσί, [y] καὶ συγκάμπτει ὥσπερ χεῖρας. [l]Ἔχει δὲ τὸν ἀγκῶνα καὶ τὸν μηρὸν [z] βραχεῖς ὡς [a] πρὸς τὸν βραχίονα καὶ τὴν κνήμην. [t]Ὀμφαλὸν δ' ἐξέχοντα μὲν οὐκ ἔχει, σκληρὸν 8
δὲ [b] τὸ κατὰ τὸν τόπον [c] τοῦ ὀμφαλοῦ. Τὰ δ' ἄνω τοῦ

[f] δὲ ὡσαύτως om. A[a].C[a]. [g] ὡς om. P. [h] ἐλέχθη τὸ πρότερον A[a]. [i] γε P.D[a]. [k] ὁ om. P.D[a]. [l] λεπτοὺς D[a]. [m] μακρὰς D[a], μακρὰν P. [n] ἄλλα om. A[a].C[a]. [o] ἔχει δ'] ἔτι δ' A[a].C[a]. [p] μικρῶν om. D[a]. μικρὰς, idque ante μαστῶν, P. [q] ἀμφοτέρας πρὸς ἀλλήλας C[a], ἀμφοτέρων πρὸς ἀλλήλας corr. A[a]. [r] ὁμοίως A[a], ὁμοίως τῷ C[a]. [s] ταῦτα πάντα D[a]. [t] μακρότερος P.D[a]. [v] τὸ secundum om. P.D[a], tertium om. D[a]. [w] ἀπ' A[a]. [x] ποσὶ καὶ ὡς χερσὶ P.D[a]. [y] καὶ οὐ κάμπτει P. [z] βραχέα A[a].C[a]. [a] πρὸς] περ P.C[a].D[a]. [b] τὸ] καὶ C[a], om. D[a]. [c] τοῦ ὀμφ.] τοῦτον τοῦ ὀμφ. A[a].C[a].

Digitized by Google

κάτω πολὺ μείζονα ἔχει, ὥσπερ τὰ τετράποδα· σχεδὸν γὰρ
9 [d] ὡς [e] πέντε πρὸς τρία ἐστί. Καὶ διά τε ταῦτα καὶ διὰ τὸ
τοὺς πόδας ἔχειν ὁμοίους χερσὶ καὶ [f] ὥσπερανεὶ συγκειμένους
ἐκ χειρὸς καὶ ποδός, ἐκ μὲν ποδὸς κατὰ τὸ τῆς πτέρνης
ἔσχατον, ἐκ [g] δὲ χειρὸς τἆλλα μέρη· [h] καὶ γὰρ οἱ δάκτυλοι
10 ἔχουσι τὸ καλούμενον θέναρ. Διατελεῖ δὲ τὸν πλείω χρόνον
τετράπουν [i] ὂν μᾶλλον ἢ ὀρθόν· καὶ οὔτ' ἰσχία ἔχει ὡς τε-
τράπουν [k] ὄν οὔτε κέρκον ὡς δίπουν, πλὴν μικρὰν τὸ ὅλον,
ὅσον σημείου χάριν. Ἔχει δὲ καὶ τὸ αἰδοῖον ἡ θήλεια
9 ὅμοιον [l] γυναικί, ὁ δ' ἄρρην κυνωδέστερον [m] ἢ ἄνθρωπος. Οἱ
δὲ κῆβοι, καθάπερ εἴρηται πρότερον, ἔχουσι κέρκον. Τὰ
δ' ἐντὸς διαιρεθέντα ὅμοια ἔχουσιν ἀνθρώπῳ πάντα τὰ τοι-
αῦτα.

Τὰ μὲν οὖν [n] τῶν εἰς [o] τὸ ἐκτὸς ζωοτοκούντων μόρια τοῦ-
10 τον ἔχει τὸν τρόπον. Τὰ δὲ τετράποδα μὲν [p] ᾠοτόκα δὲ
καὶ ἔναιμα (οὐδὲν δὲ ᾠοτοκεῖ χερσαῖον καὶ ἔναιμον μὴ τετρά-
πουν ὂν ἢ ἄπουν) κεφαλὴν μὲν ἔχει καὶ αὐχένα καὶ νῶτον καὶ
τὰ πρανῆ καὶ [q] τὰ ὕπτια τοῦ σώματος, ἔτι δὲ σκέλη πρόσθια
καὶ ὀπίσθια καὶ τὸ ἀνάλογον τῷ στήθει, ὥσπερ τὰ ζωοτόκα
τῶν τετραπόδων, καὶ κέρκον τὰ μὲν πλεῖστα μείζω, ὀλίγα
2 δ' ἐλάττω. Πάντα δὲ πολυδάκτυλα καὶ πολυσχιδῆ ἐστὶ τὰ
τοιαῦτα. Πρὸς δὲ τούτοις [r] τὰ αἰσθητήρια καὶ γλῶτταν
πάντα, πλὴν ὁ ἐν Αἰγύπτῳ κροκόδειλος. Οὗτος δὲ [s] παρα-
πλησίως τῶν ἰχθύων τισίν· ὅλως μὲν γὰρ οἱ ἰχθύες ἀκανθώδη
καὶ οὐκ ἀπολελυμένην ἔχουσι τὴν γλῶτταν, ἔνιοι δὲ πάμπαν
λεῖον καὶ ἀδιάρθρωτον τὸν τόπον μὴ [t] ἐγκλίναντι σφόδρα τὸ
3 χεῖλος. Ὦτα δ' οὐκ ἔχουσιν ἀλλὰ τὸν πόρον τῆς ἀκοῆς
μόνον πάντα τὰ τοιαῦτα· οὐδὲ μαστούς, οὐδ' αἰδοῖον, οὐδ'
[v] ὄρχεις ἔξω φανεροὺς ἀλλ' ἐντός, οὐδὲ [w] τρίχας, ἀλλὰ πάντ'

[d] ὡς] ὥσπερ Da, om. Aa.Ca. [e] πέντε] πάντα pr. Ca, om. Aa.
[f] ὥσπερεὶ corr. Da. [g] χειρὸς δὲ P.Da. [h] καὶ γὰρ οἱ] οἱ γὰρ P.Da.
[i] ὂν om. P.Da. [k] ὂν om. P. [l] γυναικός P. [m] ἢ ὁ ἄνθρωπος Aa.Ca,
ἢ ἀνθρώπου P.Da. [n] τῶν post ἐκτὸς Aa.Ca. [o] τὸ] τὰ P. [p] ζωοτόκα
pr. Aa. [q] τὰ om. P.Da. [r] τὰ] καὶ τὰ Aa. [s] παραπλήσιος P.Da.
[t] ἐκλίναντι P. [v] ἔξω ὄρχεις P. [w] τρίχα Da.

Digitized by Google

ἐστὶ φολιδωτά. [x]Ἔτι δὲ καρχαρόδοντα [y]πάντα. Οἱ δὲ 4
κροκόδειλοι οἱ ποτάμιοι ἔχουσιν [z]ὀφθαλμοὺς μὲν ὑός, ὀδόντας δὲ μεγάλους καὶ [a]χαυλιόδοντας καὶ ὄνυχας ἰσχυροὺς καὶ δέρμα ἄρρηκτον φολιδωτόν· βλέπουσι δ' ἐν μὲν τῷ ὕδατι φαύλως, ἔξω δ' ὀξύτατον. Τὴν μὲν οὖν ἡμέραν ἐν [b]τῇ γῇ [c]τὸ πλεῖστον διατρίβει, τὴν δὲ νύκτα ἐν τῷ ὕδατι· ἀλεεινότερον γάρ ἐστι τῆς αἰθρίας.

[r]Ὁ δὲ χαμαιλέων ὅλον μὲν τοῦ σώματος ἔχει τὸ σχῆμα 11
σαυροειδές, τὰ δὲ πλευρὰ κάτω καθήκει συνάπτοντα πρὸς τὸ ὑπογάστριον, καθάπερ τοῖς ἰχθύσι, καὶ ἡ ῥάχις ἐπανέστηκεν ὁμοίως τῇ τῶν ἰχθύων. Τὸ δὲ πρόσωπον ὁμοιότατον τῷ 2
τοῦ χοιροπιθήκου. Κέρκον δ' ἔχει [d]μακρὰν σφόδρα, εἰς λεπτὸν καθήκουσαν καὶ [e]συνελιττομένην ἐπὶ πολύ, καθάπερ ἱμάντα. Μετεωρότερος δ' ἐστὶ τῇ ἀπὸ τῆς γῆς ἀποστάσει 3
τῶν [f]σαύρων, τὰς δὲ καμπὰς τῶν σκελῶν καθάπερ οἱ σαῦροι [g]ἔχει. Τῶν δὲ ποδῶν ἕκαστος αὐτοῦ [h]διχῇ διήρηται εἰς μέρη θέσιν ὁμοίαν πρὸς αὐτὰ ἔχοντα [i]οἵανπερ ὁ μέγας ἡμῶν δάκτυλος πρὸς τὸ λοιπὸν τῆς χειρὸς ἀντίθεσιν ἔχει. [t]Ἐπὶ 4
βραχὺ δὲ καὶ τούτων τῶν μερῶν ἕκαστον διήρηται εἴς τινας δακτύλους, τῶν [j]μὲν ἔμπροσθεν ποδῶν τὰ μὲν πρὸς [k]αὐτὸν [l]τρίχα, τὰ δ' ἐκτὸς δίχα, τῶν δ' ὀπισθίων τὰ μὲν πρὸς [m]αὐτὸν [n]δίχα, τὰ δ' ἐκτὸς τρίχα. [u]Ἔχει δὲ καὶ ὀνύχια ἐπὶ τούτων ὅμοια τοῖς τῶν γαμψωνύχων. Τραχὺ δ' ἔχει [o]ὅλον 5
τὸ σῶμα, καθάπερ ὁ κροκόδειλος. [v]Ὀφθαλμοὺς [p]δ' ἔχει ἐν κοίλῳ τε κειμένους καὶ μεγάλους σφόδρα [q]καὶ στρογγύλους καὶ δέρματι ὁμοίῳ [r]τῷ λοιπῷ σώματι περιεχομένους. Κατὰ μέσους δ' αὐτοὺς διαλέλειπται μικρὰ τῇ ὄψει χώρα, δι' ἧς ὁρᾷ· οὐδέποτε δὲ τῷ δέρματι ἐπικαλύπτει τοῦτο. Στρέφει 6

[x] ἔστι P.C[a].D[a]. [y] πάντα om. P. [z] μὲν ὀφθαλμοὺς P.D[a]. [a] χαυλιώδοντας C[a]. [b] τῇ om. A[a].C[a]. [c] τὸ πλεῖστον ante ἐν P. [d] μικρὰν A[a].C[a]. [e] συνειλιττομένην P. [f] σαυρῶν C[a].D[a]. [g] ἔχουσι A[a].C[a]. [h] δίχα C[a].D[a]. [i] οἱόνπερ C[a].D[a]. [j] μὲν γὰρ πρόσθε C[a]. [k] αὐτῷ P.C[a].D[a]. [l] τριχῇ τὰ δ' ἐκτὸς διχᾶ P. [m] αὐτῷ P.C[a].D[a]. [n] διχᾶ τὰ δ' ἐκτὸς τριχᾶ P. [o] τὸ ὅλον P. [p] δ'] τε P. [q] καὶ post σφόδρα om. P.D[a]. [r] τοῦ λοιποῦ σώματος A[a], τῷ τοῦ λοιποῦ σώματος C[a].

Digitized by Google

δὲ τὸν ὀφθαλμὸν κύκλῳ καὶ τὴν ὄψιν ἐπὶ πάντας τοὺς τόπους μεταβάλλει, καὶ οὕτως ὁρᾷ ὃ βούλεται. Τῆς δὲ [s]χροιᾶς ἡ μεταβολὴ ἐμφυσωμένῳ αὐτῷ γίγνεται· [t]ἔχει δὲ καὶ [v]μέλαιναν ταύτην, οὐ πόρρω τῆς τῶν κροκοδείλων, καὶ ὠχρὰν καθάπερ οἱ σαῦροι, μέλανι ὥσπερ τὰ παρδάλια [w]διαπεποι-
7 κιλμένην. Γίνεται δὲ καθ' ἅπαν τὸ σῶμα [x]αὐτοῦ ἡ τοιαύτη μεταβολή· καὶ γὰρ οἱ ὀφθαλμοὶ συμμεταβάλλουσιν ὁμοίως τῷ λοιπῷ σώματι καὶ ἡ κέρκος. Ἡ δὲ [y]κίνησις αὐτοῦ νωθὴς [z]ἰσχυρῶς [a]ἐστί, καθάπερ ἡ τῶν χελωνῶν. Καὶ ἀποθνήσκων [b]τε ὠχρὸς γίνεται, καὶ τελευτήσαντος αὐτοῦ ἡ χροιὰ τοιαύτη
8 ἐστίν. Τὰ δὲ περὶ τὸν στόμαχον καὶ τὴν ἀρτηρίαν ὁμοίως ἔχει τοῖς σαύροις κείμενα. Σάρκα δ' οὐδαμοῦ ἔχει [c]πλὴν πρὸς τῇ κεφαλῇ καὶ ταῖς [d]σιαγόσιν ὀλίγα σαρκία, καὶ περὶ
9 ἄκραν τὴν τῆς κέρκου πρόσφυσιν. Καὶ αἷμα [e]δ' ἔχει περί [f]τε τὴν καρδίαν μόνον [g]καὶ τὰ ὄμματα καὶ τὸν ἄνω τῆς καρδίας τόπον, καὶ ὅσα ἀπὸ τούτων φλέβια ἀποτείνει· ἔστι δὲ καὶ ἐν τούτοις βραχὺ παντελῶς. Κεῖται δὲ καὶ ὁ ἐγκέφαλος ἀνώτερον μὲν [h]ὀλίγῳ τῶν ὀφθαλμῶν, συνεχὴς δὲ τούτοις.
10 Περιαιρεθέντος δὲ τοῦ ἔξωθεν δέρματος τῶν ὀφθαλμῶν περιέχει [i]τι διαλάμπον διὰ τούτων, οἷον κρίκος χαλκοῦς λεπτός. [k]Καθ' ἅπαν δὲ αὐτοῦ τὸ σῶμα σχεδὸν διατείνουσιν ὑμένες
11 πολλοὶ καὶ ἰσχυροὶ καὶ πολὺ [l]ὑπερβάλλοντες τῶν περὶ τὰ λοιπὰ ὑπαρχόντων. [l]Ἐνεργεῖ δὲ καὶ τῷ πνεύματι ἀνατετμημένος ὅλος ἐπὶ πολὺν χρόνον, [m]βραχείας ἰσχυρῶς ἔτι κινήσεως ἐν αὐτῷ περὶ τὴν καρδίαν οὔσης, καὶ συνάγει [n]διαφερόντως μὲν τὰ περὶ τὰ πλευρά, οὐ μὴν ἀλλὰ καὶ τὰ λοιπὰ μέρη τοῦ σώματος. Σπλῆνα δ' οὐδαμοῦ ἔχει φανερόν. Φωλεύει δὲ καθάπερ οἱ σαῦροι.

[s] χρόας P.D[a]. [t] ἴσχει A[a].C[a]. [v] μέλαινα A[a]. [w] διαπεποικιλμένα D[a]. [x] αὐτῶν A[a]. [y] κίνησις αὐτοῦ] κίνηαυ P. [z] ἰσχυρα pr. A[a]. [a] ἐστί om. P. [b] τε] δὲ A[a]. [c] πλὴν] εἰ μὴ P.D[a]. [d] σιαγόσιν. ἄσαρκα δὲ παντελῶς ἐστὶ καὶ ταῖς σιαγόσιν ὀλίγα D[a]. [e] δ' om. A[a].C[a]. [f] τε om. D[a]. [g] καὶ περὶ τὰ P. [h] ὀλίγον P.D[a]. [i] διαλάμπον τι (διλάμποντι P.) αὐτῶν οἷον P.D[a]. [k] καθ'] καὶ A[a]. [l] ὑπερβάντες C[a]. [m] βραχείας δὲ ἰσχυρῶς A[a]. [n] μὲν διαφερόντως P.D[a].

Digitized by Google

Ὁμοίως δ' ἔνια μόρια καὶ οἱ ὄρνιθες τοῖς εἰρημένοις ἔχουσι 12
ζῴοις· καὶ γὰρ κεφαλὴν καὶ αὐχένα πάντ' ἔχει καὶ νῶτον καὶ
τὰ ὕπτια [o]τοῦ σώματος καὶ τὸ ἀνάλογον τῷ στήθει· σκέλη
δὲ δύο καθάπερ ἄνθρωπος μάλιστα τῶν ζῴων· πλὴν κάμπτει
εἰς [p]τοὔπισθεν ὁμοίως τοῖς τετράποσιν, ὥσπερ εἴρηται πρό-
τερον. Χεῖρας δ' οὐδὲ πόδας προσθίους ἔχει, ἀλλὰ πτέρυ- 2
γας ἴδιον πρὸς τὰ ἄλλα ζῷα. Ἔτι δὲ τὸ ἰσχίον ὅμοιον
μηρῷ [q]μακρὸν καὶ προσπεφυκὸς [r]μέχρι ὑπὸ μέσην τὴν γα-
στέρα, ὥστε δοκεῖν διαιρούμενον μηρὸν εἶναι, τὸν [s]δὲ μηρὸν
μεταξὺ τῆς κνήμης, ἕτερόν τι μέρος. Μεγίστους δὲ τοὺς 3
μηροὺς ἔχει τὰ γαμψώνυχα τῶν ὀρνίθων, καὶ τὸ στῆθος
ἰσχυρότερον τῶν ἄλλων. Πολυώνυχοι δ' [t]εἰσὶ πάντες οἱ
ὄρνιθες, ἔτι δὲ πολυσχιδεῖς τρόπον τινὰ πάντες· τῶν μὲν
γὰρ πλείστων διῄρηνται οἱ δάκτυλοι, τὰ δὲ πλωτὰ στεγανό-
ποδά [u]ἐστι, διηρθρωμένους δ' [v]ἔχει καὶ χωριστοὺς δακτύ-
λους. Εἰσὶ δ' [w]ὅσοι αὐτῶν μετεωρίζονται πάντες τετρα- 4
δάκτυλοι· τρεῖς μὲν γὰρ εἰς τὸ [x]ἔμπροσθεν ἕνα δ' εἰς τὸ
ὄπισθεν κείμενον [y]ἔχουσιν οἱ [z]πλεῖστοι ἀντὶ πτέρνης· ὀλίγοι
δέ τινες δύο μὲν ἔμπροσθεν δύο δ' ὄπισθεν, οἷον ἡ καλουμένη
ἴυγξ. Αὕτη δ' ἐστὶ μικρῷ μὲν [a]μείζων σπίζης, τὸ δ' εἶδος 5
ποικίλον, [b]ἴδια δ' ἔχει τά [c]τε περὶ τοὺς δακτύλους καὶ τὴν
γλῶτταν [d]ὁμοίαν τοῖς ὄφεσιν· ἔχει γὰρ ἐπὶ μῆκος ἔκτασιν
[e]καὶ ἐπὶ τέτταρας δακτύλους, καὶ πάλιν συστέλλεται εἰς
ἑαυτήν. Ἔτι δὲ περιστρέφει τὸν τράχηλον εἰς τοὐπίσω
τοῦ λοιποῦ σώματος ἠρεμοῦντος, καθάπερ οἱ ὄφεις. Ὄνυχας 6
δ' ἔχει μεγάλους μὲν [f]ὁμοίως [g]μέντοι πεφυκότας τοῖς τῶν
[h]κολοιῶν· τῇ δὲ φωνῇ τρίζει. Στόμα δ' οἱ ὄρνιθες ἔχουσι
[i]μὲν ἴδιον δέ· οὔτε γὰρ χεῖλη οὔτ' ὀδόντας [k]ἔχουσιν, ἀλλὰ

o τοῦ] καὶ τοῦ A[a]. p τοὔμπροσθεν P.D[a]. q μακρῷ C[a]. r μέχρις C[a].
s δὲ om. A[a]. t πάντες εἰσὶ P.D[a]. u ἔστι om. P. v ἔχει om. P.
w αὐτῶν ὅσοι P.D[a]. x πρόσθεν P.D[a]. y ἔχουσιν om. P.D[a]. z πλεῖ-
στοι δ' ἀντὶ A[a]. a μεῖζον A[a]. b ἰδία P.C[a].D[a]. c τε om. P.D[a].
d ὁμοίως P.D[a]. e καὶ ante ἐπὶ om. P.D[a]. f ὁμοίους A[a].C[a]. g μέν-
τοι] δὲ P.D[a]. h κοιλιῶν A[a]. i μὲν et δέ om. P.D[a]. k ἔχουσιν
om. P.

Digitized by Google

ῥύγχος, [1] οὔτ' ὦτα [m] οὔτε μυκτῆρας, ἀλλὰ τοὺς πόρους [n] τούτων τῶν αἰσθήσεων, τῶν μὲν μυκτήρων ἐν τῷ ῥύγχει, τῆς δ' [7] ἀκοῆς ἐν τῇ κεφαλῇ. [o] Ὀφθαλμοὺς δὲ πάντες καθάπερ καὶ τἆλλα ζῷα δύο, [o] ἄνευ βλεφαρίδων. Μύουσι δ' οἱ βαρεῖς τῷ κάτω βλεφάρῳ, [p] σκαρδαμύττουσι δ' ἐκ τοῦ κανθοῦ δέρματι ἐπιόντι πάντες, οἱ δὲ γλαυκώδεις τῶν ὀρνίθων καὶ τῷ [8] ἄνω βλεφάρῳ. Τὸ δ' αὐτὸ τοῦτο ποιοῦσι καὶ τὰ φολιδωτά, οἷον [q] οἱ σαῦροι καὶ τἆλλα τὰ ὁμοιογενῆ τούτοις τῶν ζῴων· μύουσι γὰρ τῇ κάτω βλεφαρίδι πάντες, οὐ μέντοι σκαρδαμύττουσί γε ὥσπερ οἱ ὄρνιθες. [u] Ἔτι δ' οὔτε φολίδας οὔτε τρίχας ἔχουσιν, ἀλλὰ πτερά· τὰ δὲ πτερὰ [r] ἔχει καυλὸν [9] [s] ἅπαντα. Καὶ οὐρὰν μὲν οὐκ ἔχουσιν, ὀρροπύγιον [t] δέ, οἱ μὲν μακροσκελεῖς καὶ στεγανόποδες βραχύ, οἱ δ' ἐναντίοι μέγα. Καὶ οὗτοι μὲν πρὸς τῇ γαστρὶ τοὺς πόδας [v] ἔχοντες πέτονται, οἱ δὲ [w] μικρορροπύγιοι ἐκτεταμένους. Καὶ γλῶτταν ἅπαντες, ταύτην δ' ἀνομοίαν· οἱ μὲν γὰρ μακρὰν οἱ δὲ [10] πλατεῖαν. Μάλιστα δὲ τῶν ζῴων μετὰ τὸν ἄνθρωπον γράμματα φθέγγεται ἔνια τῶν ὀρνίθων [x] γένη· τοιαῦτα δ' ἐστὶ τὰ [y] πλατύγλωττα αὐτῶν μάλιστα. Τὴν δ' ἐπιγλωττίδα ἐπὶ τῆς ἀρτηρίας οὐθὲν τῶν ᾠοτοκούντων ἔχει, ἀλλὰ συνάγει καὶ [z] διοίγει τὸν πόρον ὥστε μηθὲν [z] καθεῖναι τῶν ἐχόντων [11] βάρος ἐπὶ τὸν [a] πλεύμονα. Γένη δ' ἔνια τῶν ὀρνίθων ἔχει καὶ πλῆκτρα· γαμψώνυχον δ' ἅμα καὶ πλῆκτρον ἔχον οὐθέν. [u] Ἔστι δὲ τὰ μὲν γαμψώνυχα τῶν πτητικῶν, τὰ δὲ πληκτροφόρα τῶν βαρέων. [u] Ἔτι δ' ἔνια τῶν ὀρνέων λόφον ἔχουσι, τὰ μὲν αὐτῶν τῶν πτερῶν ἐπανεστηκότα, ὁ δ' ἀλεκτρυὼν μόνος ἴδιον· [b] οὔτε γὰρ σάρξ ἐστιν οὔτε [c] πόρρω σαρκὸς [d] τὴν φύσιν.

[1] οὐδ' $A^a.C^a$. [m] οὔτε] καὶ D^a. [n] τούτων om. $A^a.C^a$. [o] ἄνευ δὲ βλ. C^a. [p] καρδαμύττουσι A^a. [q] οἱ om. $A^a.C^a$. [r] ἔχει καὶ καυλὸν A^a, καυλὸν ἔχει $P.D^a$. [s] πάντα D^a. [t] δὲ καὶ οἱ P. [v] ἔχουσιν ὅταν πέτωνται $A^a.C^a$. [w] μικρουροπύγιοι corr. C^a, μικροουρροπύγιοι A^a, μικρὸν ὀρροπύγιον P. [x] γένη om. $A^a.C^a$. [y] πλατύγλωσσα $P.D^a$. [z] διάγει et κατιέναι $A^a.C^a$. [a] πνεύμονα $A^a.C^a$. [b] οὔτε γὰρ] ὃ οὔτε $P.D^a$. [c] πόρος pr. A^a. [d] τὴν φύσιν om. pr. A^a. post φύσιν C^a. ἀριστοτέλους περὶ ζώων ἱστορίας γ.

Digitized by Google

Τῶν δ' ἐνύδρων ζῴων τὸ τῶν ἰχθύων γένος ἓν ἀπὸ τῶν 13
ἄλλων ἀφώρισται, πολλὰς περιέχον ἰδέας. Κεφαλὴν μὲν
γὰρ ἔχει καὶ τὰ πρανῆ καὶ τὰ ὕπτια, ἐν ᾧ τόπῳ ἡ γαστὴρ
καὶ τὰ σπλάγχνα· καὶ ὀπίσθιον οὐραῖον συνεχὲς ἔχει καὶ
ἄσχιστον· τοῦτο δ' οὐ πᾶσιν ὅμοιον. Αὐχένα δ' οὐδεὶς ἔχει 2
ἰχθύς, οὐδὲ κῶλον οὐθέν, [e] οὐδ' ὄρχεις ὅλως, οὔτ' ἐντὸς οὔτ'
ἐκτός, [f] οὐδὲ μαστούς. Τοῦτο μὲν οὖν ὅλως οὐδ' ἄλλο οὐθὲν
τῶν μὴ ζῳοτοκούντων, οὐδὲ τὰ ζῳοτοκοῦντα πάντα, ἀλλ' ὅσα
εὐθὺς ἐν αὑτοῖς ζῳοτοκεῖ [g] καὶ μὴ ᾠοτοκεῖ πρῶτον. Καὶ γὰρ
ὁ δελφὶς ζῳοτοκεῖ, διὸ ἔχει μαστοὺς δύο, οὐκ ἄνω δ' ἀλλὰ
πλησίον τῶν ἄρθρων. Ἔχει δ' οὐχ ὥσπερ τὰ τετράποδα 3
ἐπιφανεῖς θηλάς, ἀλλ' οἷον ῥύακας δύο, ἑκατέρωθεν ἐκ τῶν
πλαγίων ἕνα, ἐξ [h] ὧν τὸ γάλα ῥεῖ· καὶ θηλάζεται ὑπὸ τῶν
τέκνων παρακολουθούντων· καὶ τοῦτο [i] ὤπται ἤδη ὑπό τινων
φανερῶς. Οἱ δ' ἰχθύες, ὥσπερ εἴρηται, οὔτε μαστοὺς ἔχουσιν
οὔτε αἰδοίων πόρον ἐκτὸς οὐθένα φανερόν. Ἴδιον δ' ἔχουσι τό 4
τε τῶν βραγχίων, ἢ τὸ ὕδωρ ἀφιᾶσι δεξάμενοι κατὰ τὸ στόμα,
καὶ τὰ πτερύγια, οἱ μὲν πλεῖστοι [k] τέτταρα, οἱ δὲ προμήκεις
δύο, οἷον ἐγχέλυς, [l] ὄντα πρὸς τὰ βράγχια. [m] Ὁμοίως δὲ καὶ
κεστρεῖς, [n] οἷον ἐν Σιφαῖς [o] οἱ ἐν τῇ λίμνῃ, δύο, καὶ ἡ καλου-
μένη ταινία ὡσαύτως. Ἕνια δὲ τῶν προμήκων οὐδὲ πτερύγια 5
ἔχει, οἷον [p] σμύραινα, οὐδὲ τὰ βράγχια διηρθρωμένα ὁμοίως
τοῖς ἄλλοις ἰχθύσιν. Αὐτῶν δὲ τῶν ἐχόντων [q] βράγχια τὰ
μὲν [r] ἔχει [s] ἐπικαλύμματα τοῖς βραγχίοις, τὰ δὲ σελάχη
πάντα ἀκάλυπτα. Καὶ τὰ μὲν ἔχοντα καλύμματα πάντα ἐκ 6
πλαγίου ἔχει τὰ βράγχια, τῶν δὲ σελαχῶν τὰ [t] μὲν πλατέα
κάτω ἐν τοῖς ὑπτίοις, οἷον νάρκη καὶ βάτος, τὰ δὲ [v] προμήκη
ἐν τοῖς πλαγίοις, [w] οἷον πάντα τὰ [x] γαλεώδη. [y] Ὁ δὲ [y] βά- 7
τραχος ἐκ πλαγίου μὲν ἔχει, καλυπτόμενα δ' [z] οὐκ ἀκανθώδει

[e] οὐδ'] οὔτε P.D[a]. [f] οὐδὲ] οὔτε P. [g] καὶ μὴ] μὴ δὲ C[a]. [h] ὧν] οὗ P. [i] ἤδη ὤπται P.D[a]. [k] τέσσαρα P.D[a]. [l] ὄντα om. A[a].C[a]. [m] δὲ om. P.D[a]. [n] οἷον] οἱ P. et pr. A[a]. [o] οἱ] οἷον pr. A[a]. [p] σμύραιναι A[a]. [q] βράγχια] τὰ βράγχια C[a].D[a]. [r] ἔχει—τὰ μὲν om. P. [s] ἐπικάλυμμα A[a].C[a]. [t] μὲν om. A[a]. [v] προμήκη διαφόρως ἔχει ἐν A[a].C[a]. [w] οἷον om. P. [x] ἀλεώδη P. [y] βάτος margo D[a]. [z] οὐκ om. P.

Digitized by Google

καλύμματι ὥσπερ οἱ [a]μὴ σελαχώδεις, ἀλλὰ δερματώδει. Ἔτι δὲ τῶν ἐχόντων βράγχια τῶν μὲν ἁπλᾶ ἐστὶ τὰ βράγχια, τῶν δὲ διπλᾶ· [b]τὸ δ' ἔσχατον πρὸς τὸ σῶμα [c]πάντων ἁπλοῦν. Καὶ πάλιν τὰ μὲν ὀλίγα βράγχια ἔχει, 8 τὰ δὲ πλῆθος βραγχίων· ἴσα δ' ἐφ' ἑκάτερα [d]πάντες. Ἔχει δ' ὁ ἐλάχιστα ἔχων ἓν ἐφ' ἑκάτερα βράγχιον, διπλοῦν δὲ τοῦτο, [e]οἷον κάπρος· οἱ δὲ δύο ἐφ' ἑκάτερα, τὸ μὲν ἁπλοῦν τὸ δὲ διπλοῦν, οἷον γόγγρος καὶ σκάρος· οἱ δὲ τέτταρα ἐφ' ἑκάτερα ἁπλᾶ, οἷον [f]ἔλλοψ, [g]συναγρίς, σμύραινα, ἐγχέλυς· οἱ δὲ τέτταρα μὲν δίστοιχα δὲ πλὴν τοῦ ἐσχάτου, οἷον 9 κίχλη καὶ πέρκη καὶ γλάνις καὶ κυπρῖνος. Ἔχουσι δὲ καὶ οἱ [h]γαλεώδεις διπλᾶ πάντες, καὶ πέντ' ἐφ' ἑκάτερα· ὁ δὲ ξιφίας ὀκτὼ διπλᾶ. Περὶ μὲν οὖν [i]πλήθους βραγχίων [k]ἐν 10 τοῖς ἰχθύσι τοῦτον ἔχει τὸν τρόπον. Ἔτι δὲ πρὸς τἆλλα ζῷα οἱ ἰχθύες διαφέρουσι πρὸς τῇ διαφορᾷ τῇ περὶ τὰ βράγχια· οὔτε γὰρ ὥσπερ τῶν πεζῶν ὅσα ζωοτόκα ἔχει τρίχας, [l]οὔθ' ὥσπερ ἔνια τῶν ᾠοτοκούντων τετραπόδων [m]φολίδας, [n]οὔθ' ὡς τὸ τῶν ὀρνέων γένος πτερωτόν, ἀλλ' οἱ μὲν πλεῖστοι αὐτῶν [o]λεπιδωτοί εἰσιν, ὀλίγοι δέ τινες τραχεῖς, 11 ἐλάχιστον δ' ἐστὶ πλῆθος αὐτῶν τὸ λεῖον. Τῶν μὲν οὖν σελαχῶν τὰ μὲν τραχέα ἐστὶ τὰ δὲ λεῖα, [p]γόγγροι δὲ καὶ [q]ἐγχέλυες καὶ [r]θύννοι τῶν λείων. Καρχαρόδοντες δὲ πάντες οἱ ἰχθύες [s]ἔξω τοῦ σκάρου· καὶ πάντες ἔχουσιν ὀξεῖς τοὺς ὀδόντας καὶ πολυστοίχους, καὶ ἔνιοι ἐν τῇ γλώττῃ. Καὶ γλῶτταν σκληρὰν καὶ ἀκανθώδη ἔχουσι, καὶ προσπεφυκυῖαν 12 οὕτως ὥστ' ἐνίοτε μὴ δοκεῖν ἔχειν. Τὸ δὲ στόμα [t]οἱ μὲν ἀνερρωγός, ὥσπερ ἔνια τῶν [v]ζωοτόκων καὶ τετραπόδων. Τῶν δ' αἰσθητηρίων τῶν μὲν ἄλλων οὐθὲν ἔχουσι φανερὸν

[a] μὴ om. Ca.Da. [b] τὸ δ'] τῶν δ' Ca. [c] ἁπλοῦν πάντων. καὶ τὰ P.Da. [d] πάντες—ἑκάτερα om. Ca. et pr. Aa. [e] οἷον ὁ κάπρος P.Ca.Da. [f] ἕλωψ P. [g] σύναγρις P.Da. [h] γαλιώδεις P. [i] πλῆθος P. [k] ἐν om. P.Da. [l] οὔθ'] οὐδ' P. [m] φολίδα Aa.Ca. [n] οὐδ' P.Da. [o] εἰσὶ λεπιδωτοί Aa. [p] γόγγρος Aa. [q] ἐγχελυς Aa, ἔγχελυς Ca. [r] θύννος Aa. [s] ἐκτὸς σκάρου P.Da. [t] οἱ μὲν om. P.Da. [v] ζωοτοκούντων Aa.Ca.

Digitized by Google

οὔτ' αὐτὸ οὔτε τοὺς πόρους, οὔτ' ἀκοῆς οὔτ' ὀσφρήσεως· ὀφθαλμοὺς δὲ πάντες ἔχουσιν ἄνευ βλεφάρων, οὐ σκληρόφθαλμοι [w] ὄντες. [u]Ἔναιμον μὲν οὖν [x] ἐστὶν ἅπαν τὸ τῶν 13
ἰχθύων γένος, εἰσὶ δ' αὐτῶν οἱ μὲν ᾠοτόκοι οἱ δὲ ζωοτόκοι, οἱ μὲν [y] λεπιδωτοὶ πάντες ᾠοτόκοι, τὰ δὲ σελάχη πάντα ζωοτόκα πλὴν [z] βατράχου.

Λοιπὸν δὲ τῶν ἐναίμων ζῴων τὸ τῶν ὄφεων γένος. [u]Ἔστι 14
δὲ κοινὸν ἀμφοῖν· τὸ μὲν γὰρ πλεῖστον αὐτῶν χερσαῖόν ἐστιν, ὀλίγον δὲ τὸ τῶν ἐνύδρων ἐν τοῖς [a] ποτίμοις ὕδασι διατελεῖ. Εἰσὶ δὲ [b] καὶ θαλάττιοι ὄφεις, παραπλήσιοι τὴν μορφὴν τοῖς χερσαίοις τἆλλα· [c] πλὴν τὴν κεφαλὴν ἔχουσι γογγροειδεστέραν. Γένη δὲ πολλὰ τῶν θαλαττίων ὄφεών 2
ἐστι, καὶ [d] χρόαν ἔχουσι παντοδαπήν· οὐ γίγνονται δ' οὗτοι ἐν τοῖς σφόδρα βαθέσιν. [u]Ἀποδες δ' εἰσὶν οἱ ὄφεις ὥσπερ τὸ τῶν ἰχθύων γένος. Εἰσὶ δὲ καὶ σκολόπενδραι [e] θαλάττιαι, παραπλήσιαι [f] τὸ εἶδος ταῖς χερσαίαις, τὸ δὲ μέγεθος μικρῷ ἐλάττους· γίγνονται δὲ περὶ τοὺς πετρώδεις τόπους. Τὴν 3
δὲ χροιὰν εἰσιν ἐρυθρότεραι καὶ πολύποδες μᾶλλον καὶ λεπτοσκελέστεραι τῶν χερσαίων. Οὐ γίγνονται δ' [g] οὐδ' αὐταί, ὥσπερ οὐδ' οἱ ὄφεις, ἐν τοῖς βαθέσι σφόδρα. [u]Εστι δ' 4
ἰχθύδιόν [h] τι τῶν πετραίων, ὃ καλοῦσί τινες ἐχενηΐδα, καὶ χρῶνταί τινες αὐτῷ πρὸς δίκας καὶ φίλτρα· ἔστι δὲ ἄβρωτον· τοῦτο δ' ἔνιοί φασιν ἔχειν πόδας οὐκ ἔχον, ἀλλὰ φαίνεται διὰ τὸ τὰς πτέρυγας [i] ὁμοίας ἔχειν ποσίν.

Τὰ μὲν οὖν ἔξω μόρια, καὶ [k] πόσα καὶ ποῖα τῶν ἐναίμων ζῴων, καὶ τίνας ἔχει πρὸς ἄλληλα διαφοράς, εἴρηται. Τὰ 15
δ' ἐντὸς [l] πῶς ἔχει, λεκτέον ἐν τοῖς ἐναίμοις ζῴοις πρῶτον· [m] τούτῳ γὰρ διαφέρει τὰ μέγιστα γένη πρὸς τὰ λοιπὰ τῶν ἄλλων ζῴων, [n] τῷ τὰ [o] μὲν ἔναιμα τὰ δ' ἄναιμα εἶναι. [u]Εστι 2

[w] ὄντες. βλέφαρα δὲ οὐκ ἔχουσιν. ἔναιμον P.D[a]. [x] ἅπαν ἐστὶν P. [y] λεπιδωτοὶ εἰσι πάντες A[a].C[a]. [z] βατράχων P.D[a]. [a] ποταμίοις P.D[a]. [b] καὶ οἱ θαλάττιοι A[a]. [c] πλὴν τῆς κεφαλῆς· ἔχουσι γὰρ αὐτὴν γογγροειδεστέραν P. [d] χροιὰν D[a]. [e] θαλάσσιαι A[a]. [f] τῷ εἴδει P.D[a]. [g] οὐδ' post δ' om. A[a].C[a]. [h] τι πετραῖον P.D[a]. [i] ἔχειν ὁμοίας P. [k] ποῖα καὶ πόσα P.D[a]. [l] ὡς P.D[a]. [m] τοῦτο P.A[a]. [n] τὸ P. [o] μὲν λοιπὰ ἔναιμα A[a].C[a].

Digitized by Google

δὲ ταῦτα ἄνθρωπός τε καὶ τὰ ζῳοτόκα τῶν τετραπόδων, [p]ἔτι δὲ καὶ τὰ ᾠοτόκα τῶν τετραπόδων καὶ ὄρνις καὶ ἰχθὺς καὶ κῆτος, καὶ εἴ τι ἄλλο ἀνώνυμόν ἐστι διὰ τὸ μὴ εἶναι γένος ἀλλ' ἁπλοῦν τὸ εἶδος [q]ἐπὶ τῶν καθ' [r]ἕκαστον, οἷον
3 ὄφις καὶ κροκόδειλος. [v]Ὅσα μὲν οὖν ἐστὶ τετράποδα καὶ ζῳοτόκα, [s]στόμαχον [t]μὲν καὶ ἀρτηρίαν πάντ' ἔχει, καὶ κείμενα τὸν αὐτὸν τρόπον ὥσπερ ἐν τοῖς ἀνθρώποις· ὁμοίως δὲ καὶ ὅσα [v]ᾠοτοκεῖ τῶν τετραπόδων, καὶ [w]ἐν τοῖς ὄρνισιν·
4 ἀλλὰ τοῖς εἴδεσι τῶν μορίων τούτων [x]διαφέρουσιν. [v]Ὅλως δὲ πάντα ὅσα τὸν ἀέρα [y]δεχόμενα ἀναπνεῖ καὶ ἐκπνεῖ, πάντ' ἔχει πνεύμονα καὶ ἀρτηρίαν καὶ στόμαχον, καὶ τὴν θέσιν τοῦ στομάχου καὶ τῆς ἀρτηρίας ὁμοίως, ἀλλ' οὐχ ὅμοια, τὸν δὲ
5 [z]πλεύμονα οὔθ' ὅμοιον [a]οὔτε τῇ θέσει ὁμοίως ἔχοντα. [u]Ἔτι δὲ καρδίαν [b]ἅπαντ' ἔχει [c]ὅσα αἷμα ἔχει, καὶ τὸ διάζωμα, [d]ὃ καλοῦνται φρένες· ἀλλ' ἐν τοῖς μικροῖς διὰ λεπτότητα καὶ [e]σμικρότητα οὐ φαίνεται ὁμοίως, πλὴν ἐν τῇ [f]καρδίᾳ. [u]Ἴδιον δ' ἐστὶν ἐπὶ τῶν βοῶν· ἔστι γάρ τι γένος βοῶν, ἀλλ' οὐ
6 πάντες, ὃ ἔχει ἐν τῇ καρδίᾳ ὀστοῦν. [g][u]Ἔχει δὲ καὶ ἡ τῶν ἵππων καρδία ὀστοῦν. [h]Πλεύμονα δ' οὐ [i]πάντα, οἷον [k]ἰχθὺς οὐκ ἔχει, οὐδ' [l]εἴ τι ἄλλο τῶν [m]ζῴων ἔχει βράγχια. Καὶ ἦπαρ [n]ἅπαντ' ἔχει ὅσαπερ αἷμα. Σπλῆνα δὲ τὰ
7 πλεῖστα ἔχει ὅσαπερ καὶ αἷμα. Τὰ δὲ πολλὰ τῶν μὴ [o]ζῳοτόκων ἀλλ' [p]ᾠοτόκων μικρὸν ἔχει τὸν σπλῆνα οὕτως ὥστε λανθάνειν ὀλίγου τὴν αἴσθησιν, [q]ἔν τε τοῖς ὄρνισι τοῖς πλείστοις, οἷον [r]ἐν [s]περιστερᾷ καὶ ἰκτίνῳ καὶ ἱέρακι καὶ
8 γλαυκί· ὁ δ' αἰγοκέφαλος [t]ὅλως οὐκ ἔχει. Καὶ ἐπὶ τῶν ᾠο-

p ἔτι δὲ καὶ τὰ ᾠοτόκα τῶν τετραπόδων om. D^a. q ἐπὶ] περὶ pr. C^a. r ἕκαστα P.D^a. s στόμα P. t μὲν] μὲν ἔχουσι, omisso mox ἔχει, P.D^a. v ζωοτοκεῖ A^a.C^a. w ἐν om. C^a. et pr. A^a. x διαφέρει A^a. y δεχόμενα om. D^a. z πνεύμονα A^a.C^a. a οὐδὲ P. b ἔχει πάντα P.D^a. c ὅσα αἷμα ἔχει om. A^a. d καλεῖται P.D^a. e μικρότητα C^a. f καρδίᾳ ἴδιόν τι ἐστὶν Schneiderus. g ἔχει—ὀστοῦν] hæc post sect. 7. γλαυκί ponit P. h πνεύμονα A^a.C^a. i πάντα ἔχει οἷον A^a.C^a. k ἰχθύες (οἱ ἰχθύες D^a.) οὐκ ἔχουσιν P.D^a. l εἰ om. A^a.C^a. m ζώων ὃ ἔχει corr. A^a. n πάντα P.D^a. o ζωοτοκούντων D^a. p ᾠοτοκούντων P.D^a. q ἔν τε om. A^a.C^a. r ἐν om. A^a.C^a. s περιστεραῖς P.D^a. t ὅλως om. P.D^a.

Digitized by Google

τόκων [v]δὲ καὶ τετραπόδων τὸν αὐτὸν τρόπον ἔχει· μικρὸν [w]γὰρ πάμπαν ἔχουσι καὶ ταῦτα, οἷον χελώνη, [x]ἐμύς, φρύνη, [y]σαῦρος, [z]κροκόδειλος, βάτραχος. Χολὴν δὲ τῶν ζῴων τὰ μὲν ἔχει τὰ δ' οὐκ ἔχει ἐπὶ τῷ ἤπατι. Τῶν μὲν ζωοτόκων 9
καὶ τετραπόδων ἔλαφος οὐκ ἔχει οὐδὲ πρόξ, [a]ἔτι δὲ ἵππος, ὀρεύς, ὄνος, φώκη καὶ τῶν [b]ὑῶν ἔνιοι. Τῶν δ' ἐλάφων [c]αἱ [d]Ἀχαΐναι [e]καλούμεναι δοκοῦσιν [f]ἔχειν ἐν τῇ κέρκῳ χολήν· ἔστι δ' ὃ [g]λέγουσι τὸ μὲν χρῶμα ὅμοιον [h]χολῇ, οὐ μέντοι [i]ὅλον ὑγρὸν οὕτως, ἀλλ' ὅμοιον τῷ τοῦ σπληνὸς τὰ ἐκτός. Σκώληκας [k]μέντοι πάντες ἔχουσιν ἐν τῇ κεφαλῇ ζῶντας· ἐγ- 10
γίνονται δὲ ὑποκάτω τοῦ ὑπογλωττίου ἐν τῷ κοίλῳ καὶ περὶ τὸν σφόνδυλον, ᾗ ἡ κεφαλὴ προσπέφυκε, τὸ μέγεθος οὐκ ἐλάττους ὄντες τῶν μεγίστων εὐλῶν· ἐγγίνονται δ' ἀθρόοι καὶ συνεχεῖς, τὸν ἀριθμὸν δ' εἰσὶ μάλιστα περὶ εἴκοσι. Χολὴν μὲν [l]οὖν οὐκ ἔχουσιν οἱ ἔλαφοι, ὥσπερ εἴρηται· τὸ δ' 11
ἕντερον αὐτῶν ἐστὶ πικρὸν οὕτως ὥστε μηδὲ τοὺς κύνας ἐθέλειν ἐσθίειν, [m]ἂν μὴ σφόδρα πίων ᾖ ὁ ἔλαφος. [n]Ἔχει δὲ καὶ ὁ ἐλέφας τὸ ἧπαρ ἄχολον μέν, [o]τεμνομένου μέντοι περὶ τὸν τόπον οὗ τοῖς ἔχουσιν ἐπιφύεται ἡ [p]χολή, ῥεῖ ὑγρότης χολώδης [p]ἢ πλείων ἢ ἐλάττων. Τῶν δὲ δεχομένων [q]τὴν θά- 12
λατταν καὶ ἐχόντων πλεύμονα δελφὶς οὐκ ἔχει χολήν. Οἱ δ' ὄρνιθες καὶ [q]οἱ ἰχθύες πάντες [r]ἔχουσι, καὶ τὰ ᾠοτόκα καὶ τετράποδα, καὶ ὡς ἐπίπαν εἰπεῖν [s]ἢ πλείω ἢ ἐλάττω· ἀλλ' οἱ μὲν πρὸς τῷ ἤπατι τῶν ἰχθύων, οἷον οἵ τε γαλεώδεις καὶ γλάνις καὶ ῥίνη καὶ [t]λειόβατος καὶ νάρκη καὶ τῶν μακρῶν ἐγχέλυς καὶ βελόνη καὶ ζύγαινα. [u]Ἔχει δὲ καὶ ὁ καλλι- 13
ώνυμος ἐπὶ τῷ ἤπατι, ὅσπερ ἔχει μεγίστην τῶν ἰχθύων ὡς

[v] δὲ om. P. [w] γὰρ om. C[a]. [x] ἐμὺς interpretes veteres: codices μῦς. [y] σαῦρα A[a]. σαῦρος ante φρύνη D[a]. [z] καὶ κροκόδειλος καὶ βατράχος P.D[a]. [a] ἔτι δὲ] ἑπτὰ δὲ τάδε P.D[a]. [b] μυῶν P. et γρ. A[a], μυιῶν D[a]. [c] οἱ P. [d] ἀχαειναὶ P.D[a]. [e] καλούμενοι P. [f] ἐν τῇ κέρκῳ ἔχειν P.D[a]. [g] λέγω A[a]. et fortasse C[a]. [h] χολῆς P. [i] ὅλον om. A[a].C[a]. [k] μὲν C[a]. [l] οὖν om. A[a].C[a]. [m] ἐὰν P.D[a]. [n] τεμνόμενον C[a]. [o] χολὴ καὶ ῥεῖ P. [p] ἢ ante πλείων om. P.D[a]. [q] τὴν et mox οἱ post καὶ om. A[a].C[a]. [r] ἔχουσι χολὴν καὶ τὰ ᾠοτόκα καὶ τὰ τετράποδα P.D[a]. [s] ἢ ante πλείω om. P.D[a]. [t] λιόβατος A[a].

Digitized by Google

κατὰ μέγεθος. Οἱ δὲ πρὸς τοῖς ἐντέροις ἔχουσιν, ἀποτεταμένην ἀπὸ τοῦ ἤπατος [v]πόροις ἐνίοις πάνυ λεπτοῖς. [t]Ἡ μὲν οὖν [w]ἀμία παρὰ τὸ ἔντερον παρατεταμένην ἰσομήκη ἔχει, πολλάκις δὲ καὶ ἐπαναδίπλωμα· οἱ δ' ἄλλοι πρὸς τοῖς [x]ἐντέροις, οἱ [y]μὲν πορρώτερον οἱ δ' ἐγγύτερον, οἷον βάτραχος, [z]ἔλλοψ, συναγρίς, σμύραινα, [a]ξιφίας. Πολλάκις δὲ καὶ τὸ αὐτὸ γένος ἐπ' ἀμφότερα φαίνεται ἔχον, οἷον [b]γόγγροι οἱ μὲν πρὸς τῷ ἤπατι, οἱ δὲ κάτω ἀπηρτημένην. [u]Ὁμοίως δ' ἔχει τοῦτο καὶ ἐπὶ τῶν ὀρνίθων· ἔνιοι γὰρ πρὸς τῇ κοιλίᾳ ἔχουσιν, οἱ δὲ πρὸς τοῖς ἐντέροις τὴν χολήν, οἷον περιστερά, κόραξ, ὄρτυξ, χελιδών, στρουθός. [v]Ἔνιοι δ' ἅμα πρὸς τῷ ἤπατι [c]ἔχουσι καὶ πρὸς τῇ κοιλίᾳ, οἷον αἰγοκέφαλος, οἱ δ' ἅμα πρὸς τῷ ἤπατι καὶ τοῖς [d]ἐντέροις, οἷον ἱέραξ καὶ ἰκτῖνος.

16 Νεφροὺς [e]δὲ καὶ κύστιν τὰ μὲν ζωοτόκα τῶν τετραπόδων πάντ' ἔχει· ὅσα δὲ ᾠοτοκεῖ, τῶν μὲν ἄλλων οὐθὲν ἔχει, οἷον οὔτ' ὄρνις οὔτ' ἰχθύς, τῶν [f]δὲ τετραπόδων [g]μόνη χελώνη ἡ θαλαττία μέγεθος κατὰ λόγον τῶν ἄλλων μορίων. [h]Ὁμοίους δ' ἔχει τοὺς νεφροὺς ἡ θαλαττία χελώνη τοῖς βοείοις· ἔστι δ' ὁ τοῦ βοὸς οἷον ἐκ πολλῶν μικρῶν εἷς συγκείμενος. [w]Ἔχει δὲ καὶ ὁ βόνασος [i]τὰ ἐντὸς ἅπαντα ὅμοια βοΐ.

17 Τῇ δὲ θέσει, ὅσα ἔχει [k]ταῦτα τὰ μόρια, ὁμοίως κείμενα ἔχει, τήν τε καρδίαν περὶ τὸ μέσον, πλὴν ἐν ἀνθρώπῳ· οὗτος δ' ἐν τῷ ἀριστερῷ μᾶλλον μέρει, καθάπερ ἐλέχθη πρότερον. [x]Ἔχει δὲ καὶ τὸ ὀξὺ ἡ καρδία πάντων εἰς τὸ πρόσθεν· πλὴν ἐπὶ τῶν ἰχθύων οὐκ ἂν δόξειεν· οὐ γὰρ πρὸς τὸ στῆθος ἔχει τὸ ὀξύ, ἀλλὰ πρὸς τὴν κεφαλὴν [l]καὶ τὸ στόμα. [y]Ἀνήρτηται δ' [m]αὐτῶν τὸ ἄκρον [n]ᾗ συνάπτει τὰ βράγχια ἀλλήλοις τὰ δεξιὰ καὶ [o]τὰ ἀριστερά. Εἰσὶ δὲ [p]καὶ ἄλλοι πόροι

[v] πόροις λεπτοῖς πάνυ, omisso ἐνίοις, P.D[a]. [w] ἅμια P, ἅμυνα D[a]. [x] ἐντέροις τὴν χολὴν οἱ A[a]. [y] μέντοι C[a]. [z] ἕλωψ P, ἔλοψ D[a]. [a] ξιφίας χελιδὼν στρουθός. πολλάκις P.D[a]. [b] γόγγρος P.D[a]. [c] καὶ τῇ κοιλίᾳ ἔχουσιν P.D[a]. [d] ἐντέροις τὴν χολὴν οἷον A[a].C[a]. [e] δὲ om. pr. A[a]. [f] δὲ om. pr. A[a]. [g] μόνον P.D[a]. [h] ὁμοίως A[a]. [i] πάντα τὰ ἐντὸς P.D[a]. [k] τὰ μόρια ταῦτα D[a]. [l] καὶ πρὸς τὸ A[a].C[a]. [m] αὐτῷ P.D[a], αὐτῆς interpretes veteres. [n] ᾗ] εἰς ὃ P.D[a]. [o] τὰ post καὶ om. A[a].C[a]. [p] καὶ om. A[a].

Digitized by Google

τεταμένοι ἐξ αὐτῆς εἰς ἕκαστον τῶν βραγχίων, μείζους μὲν τοῖς μείζοσιν, ἐλάττους δὲ τοῖς ἐλάττοσιν· ὁ δ' ἐπ' ἄκρας τῆς καρδίας τοῖς μεγάλοις αὐτῶν σφόδρα παχὺς αὐλός ἐστι καὶ λευκός. Στόμαχον δ' ὀλίγοι ἔχουσι τῶν ἰχθύων, οἷον 3
γόγγρος καὶ ἐγχέλυς, καὶ οὗτοι μικρόν. Καὶ τὸ ἧπαρ τοῖς ἔχουσι τοῖς μὲν ἀσχιδὲς ἔχουσιν ἐν τοῖς δεξιοῖς [q] ἐστὶν ὅλον, τοῖς δὲ ἐσχισμένον ἀπ' ἀρχῆς τὸ μεῖζον ἐν τοῖς δεξιοῖς. [4] Ἐνίοις γὰρ ἑκάτερον τὸ μόριον ἀπήρτηται καὶ οὐ συμπέ- 4
φυκεν ἡ ἀρχή, οἷον τῶν τε ἰχθύων τοῖς γαλεώδεσι, καὶ δασυπόδων τι [r] γένος ἐστὶ καὶ ἄλλοθι καὶ [s] περὶ τὴν λίμνην τὴν [t] Βόλβην ἐν τῇ καλουμένῃ [v] Συκίνῃ, οὓς ἄν τις [w] δόξειε δύο ἥπατα ἔχειν διὰ τὸ πόρρω τοὺς πόρους συνάπτειν, ὥσπερ καὶ ἐπὶ τοῦ τῶν ὀρνίθων πλεύμονος. Καὶ ὁ σπλὴν δ' ἐστὶ 5
πᾶσιν ἐν τοῖς ἀριστεροῖς κατὰ φύσιν, καὶ οἱ νεφροὶ τοῖς ἔχουσι κείμενοι τὸν [x] αὐτὸν τρόπον· ἤδη δὲ διανοιχθέν τι τῶν τετραπόδων ὤφθη ἔχον τὸν σπλῆνα μὲν ἐν [y] τοῖς δεξιοῖς, τὸ δ' ἧπαρ ἐν τοῖς ἀριστεροῖς· ἀλλὰ τὰ τοιαῦτα ὡς τέρατα κρίνεται. Τείνει δ' ἡ μὲν ἀρτηρία πᾶσιν εἰς τὸν πλεύμονα 6
(ὃν δὲ τρόπον, ὕστερον ἐροῦμεν), ὁ δὲ στόμαχος εἰς τὴν κοιλίαν διὰ τοῦ διαζώματος, ὅσα ἔχει στόμαχον· οἱ γὰρ ἰχθύες, ὥσπερ εἴρηται [z] πρότερον, οἱ πλεῖστοι οὐκ ἔχουσιν, ἀλλ' [a] εὐθὺς πρὸς τὸ στόμα συνάπτει ἡ κοιλία, διὸ πολλάκις ἐνίοις τῶν μεγάλων διώκουσι τοὺς ἐλάττους [b] προπίπτει ἡ κοιλία εἰς τὸ στόμα. [7] Ἔχει δὲ κοιλίαν [c] πάντα τὰ εἰρημένα, καὶ 7
κειμένην ὁμοίως (κεῖται γὰρ ὑπὸ τὸ διάζωμα εὐθύς), καὶ τὸ [d] ἔντερον ἐχόμενον καὶ τελευτῶν πρὸς τὴν ἔξοδον τῆς τροφῆς καὶ τὸν καλούμενον ἀρχόν. [8] Ἀνομοίας δ' ἔχουσι τὰς κοι- 8
λίας. Πρῶτον μὲν γὰρ τῶν τετραπόδων καὶ ζωοτόκων ὅσα μή ἐστιν ἀμφώδοντα τῶν κερατοφόρων, τέτταρας ἔχει τοὺς τοιούτους πόρους· ἃ δὴ καὶ λέγεται [e] μηρυκάζειν. Διήκει

[q] ἐστὶν ante ἐν A[a].C[a]. [r] γένος δ ἐστι P.A[a].D[a]. [s] παρὰ P.D[a]. [t] βολβὴν A[a], βάρβην P. [v] συκινῇ A[a]. [w] δόξῃ A[a]. [x] αὐτὸν ἔχουσι τρόπον P. [y] τοῖς om. A[a]. [z] πρότερον om. P. [a] εὐθὺ P. [b] προσπίπτει P.C[a]. [c] πάντα μὲν τὰ A[a].C[a]. [d] ἕτερον pr. A[a]. [e] μηρυκιάζειν P.

Digitized by Google

γὰρ ὁ μὲν στόμαχος ἀπὸ τοῦ στόματος ἀρξάμενος ἐπὶ [f]τὰ κάτω [g]παρὰ τὸν πλεύμονα, ἀπὸ τοῦ διαζώματος [h]ἐπὶ τὴν κοιλίαν τὴν μεγάλην· αὕτη δ' ἐστὶ τὰ ἔσω τραχεῖα καὶ διει-
9 λημμένη. Συνήρτηται δ' αὐτῇ πλησίον τῆς τοῦ στομάχου [i]προσβολῆς ὁ καλούμενος κεκρύφαλος ἀπὸ τῆς ὄψεως· ἔστι γὰρ τὰ μὲν ἔξωθεν ὅμοιος τῇ κοιλίᾳ, τὰ δ' ἐντὸς ὅμοιος τοῖς πλεκτοῖς κεκρυφάλοις· μεγέθει δὲ πολὺ ἐλάττων ἐστὶν ὁ
10 κεκρύφαλος τῆς κοιλίας. Τούτου δ' ἔχεται ὁ ἐχῖνος, τὰ ἐντὸς ὢν τραχὺς καὶ πλακώδης, τὸ δὲ μέγεθος παραπλήσιος [k]τῷ κεκρυφάλῳ. Μετὰ δὲ τοῦτον τὸ καλούμενον ἤνυστρόν ἐστι, τῷ μὲν μεγέθει τοῦ ἐχίνου μεῖζον, τὸ δὲ σχῆμα προμηκέστερον· ἔχει δ' ἐντὸς πλάκας πολλὰς καὶ μεγάλας καὶ
11 λείας. [l]Ἀπὸ δὲ [l]τούτου τὸ ἔντερον ἤδη. Τὰ μὲν οὖν κερατοφόρα καὶ μὴ ἀμφώδοντα τοιαύτην ἔχει τὴν κοιλίαν, διαφέρει δὲ πρὸς ἄλληλα τοῖς σχήμασι καὶ [m]τοῖς μεγέθεσι [n]τούτων καὶ τῷ τὸν στόμαχον εἰς μέσην ἢ πλαγίαν τείνειν τὴν κοιλίαν. Τὰ δ' ἀμφώδοντα μίαν ἔχει κοιλίαν, οἷον ἄν-
12 θρωπος, [o]ὗς, κύων, ἄρκτος, λέων, λύκος. [p]Ἔχει δὲ καὶ ὁ θὼς πάντα τὰ ἐντὸς ὅμοια λύκῳ. Πάντα μὲν οὖν ἔχει [p]μίαν κοιλίαν, καὶ μετὰ ταῦτα τὸ ἔντερον· ἀλλὰ τὰ μὲν ἔχει μείζω τὴν κοιλίαν, ὥσπερ ὗς καὶ ἄρκτος (καὶ ἥ γε τῆς ὑὸς ὀλίγας ἔχει λείας πλάκας), τὰ δὲ πολὺ ἐλάττω καὶ οὐ [q]πολλῷ [r]μεί-
13 ζω τοῦ ἐντέρου, καθάπερ [s]κύων καὶ λέων καὶ ἄνθρωπος. Καὶ τῶν ἄλλων [t]δὲ τὰ εἴδη διέστηκε πρὸς τὰς τούτων κοιλίας· τὰ μὲν γὰρ νὴ ὁμοίαν ἔχει τὰ δὲ κυνί, καὶ τὰ μείζω καὶ τὰ ἐλάττω τῶν ζῴων ὡσαύτως. Διαφορὰ δὲ καὶ ἐν τούτοις κατὰ τὰ μεγέθη καὶ τὰ σχήματα καὶ πάχη καὶ λεπτότητας ὑπάρχει [v]τὰς τῆς κοιλίας, καὶ κατὰ τοῦ στομάχου τῇ θέσει
14 τὴν σύντρησιν. Διαφέρει δὲ καὶ ἡ τῶν ἐντέρων φύσις ἑκατέροις τῶν εἰρημένων ζῴων, τοῖς τε μὴ ἀμφώδουσι καὶ τοῖς

[f] τὸ P.D[a]. [g] περὶ D[a]. [h] εἰς P.D[a]. [i] προβολῆς A[a]. [k] τῷ om. P.D[a]. [l] τούτων A[a].C[a]. [m] τοῖς om. P.D[a]. [n] τούτῳ P.D[a], τούτῳ τε A[a].C[a]. [o] κύων ὗς P.D[a]. [p] μίαν om. C[a]. [q] πολλῷ] πολὺ D[a]. [r] μείζον A[a]. [s] λέων καὶ κύων A[a].C[a]. [t] δὲ om. A[a]. [v] τὰς om. P.D[a].

Digitized by Google

ἀμφώδουσι, [w]τῷ μεγέθει καὶ πάχει καὶ ταῖς ἐπαναδιπλώσεσιν. Πάντα δὲ μείζω τὰ τῶν μὴ ἀμφωδόντων ἐστίν· καὶ 15
γὰρ αὐτὰ πάντα μείζω· μικρὰ μὲν γὰρ ὀλίγα, πάμπαν δὲ μικρὸν οὐθέν ἐστι κερατοφόρον. [u]Ἔχουσι δ' ἔνια καὶ ἀποφυάδας τῶν ἐντέρων, εὐθυέντερον [x]δ' οὐθέν ἐστι μὴ ἀμφώδουν. [t]Ὁ δ' ἐλέφας ἔντερον ἔχει συμφύσεις ἔχον, ὥστε φαί- 16
νεσθαι τέτταρας κοιλίας ἔχειν. [t]Ἐν τούτῳ καὶ ἡ τροφὴ ἐγγίνεται, χωρὶς δ' οὐκ ἔχει ἀγγεῖον. Καὶ τὰ [y]σπλάγχνα ἔχει παραπλήσια τοῖς ὑείοις, πλὴν τὸ μὲν ἧπαρ τετραπλάσιον τοῦ βοείου καὶ τἆλλα, τὸν δὲ σπλῆνα ἐλάττω [z]ἢ κατὰ λόγον. Τὸν αὐτὸν δὲ τρόπον [a]ἔχει τὰ περὶ τὴν κοιλίαν 17
καὶ τὴν τῶν ἐντέρων φύσιν καὶ τοῖς τετράποσι μὲν τῶν [b]ζώων ᾠοτόκοις δέ, οἷον χελώνῃ χερσαίᾳ καὶ χελώνῃ θαλαττίᾳ καὶ σαύρᾳ καὶ τοῖς κροκοδείλοις ἀμφοῖν καὶ πᾶσιν [c]ὁμοίως τοῖς τοιούτοις· ἁπλῆν τε γὰρ ἔχουσι καὶ μίαν τὴν κοιλίαν, καὶ τὰ μὲν ὁμοίαν τῇ ὑείᾳ, τὰ δὲ τῇ τοῦ κυνός. Τὸ δὲ τῶν 18
ὄφεων γένος ὅμοιόν ἐστι καὶ ἔχει [d]παραπλήσια σχεδὸν πάντα τῶν πεζῶν καὶ ᾠοτόκων τοῖς σαύροις, εἴ τις μῆκος [e]αὐτοῖς ἀποδοὺς ἀφέλοι τοὺς πόδας. Φολιδωτόν [f]τε γάρ ἐστι, καὶ τὰ πρανῆ καὶ τὰ ὕπτια παραπλήσια τούτοις ἔχει· πλὴν ὄρχεις οὐκ ἔχει, ἀλλ' ὥσπερ ἰχθὺς δύο πόρους εἰς ἓν συνάπτοντας καὶ τὴν ὑστέραν μακρὰν καὶ δικρόαν. Τὰ δ' ἄλλα 19
τὰ ἐντὸς τὰ αὐτὰ τοῖς σαύροις, πλὴν ἅπαντα διὰ τὴν στενότητα καὶ τὸ μῆκος στενὰ καὶ μακρὰ τὰ σπλάγχνα, ὥστε [g]καὶ [h]λανθάνειν διὰ τὴν [i]ὁμοιότητα τῶν σχημάτων· τήν τε γὰρ ἀρτηρίαν ἔχει σφόδρα μακράν, ἔτι δὲ μακρότερον τὸν στόμαχον. [t]Ἀρχὴ δὲ τῆς ἀρτηρίας πρὸς αὐτῷ 20
ἐστὶ τῷ στόματι, ὥστε δοκεῖν ὑπὸ ταύτην εἶναι τὴν γλῶτταν. [k]Προέχειν [l]δὲ δοκεῖ τῆς γλώττης ἡ ἀρτηρία διὰ τὸ συσπᾶσθαι τὴν γλῶτταν καὶ μὴ μένειν ὥσπερ τοῖς ἄλλοις.

[w] τῷ τε μεγέθει P.D[a]. [x] δ' ante οὐθέν om. pr. A[a]. [y] σπλάγχνα δ' ἔχει P.D[a]. [z] ἢ om. P.D[a]. [a] ἔχει καὶ τὰ A[a]. [b] ζῴων] ζωοτόκων D[a]. [c] ὅλως C[a]. [d] παραπλησίαν P, παραπλήσιον D[a]. [e] ἀποδοὺς αὐτοῖς A[a].C[a]. [f] τε om. C[a]. [g] καὶ post ὥστε om. P.D[a]. [h] λανθάνει A[a]. [i] ἀνομοιότητα P.D[a]. [k] προσέχειν pr. A[a]. [l] δὲ] τε D[a].

Digitized by Google

Ἔστι δ' ἡ γλῶττα λεπτὴ καὶ μακρὰ καὶ μέλαινα, καὶ
21 [m]ἐξέρχεται μέχρι πόρρω. Ἴδιον δὲ παρὰ τὰς τῶν ἄλλων
[n]γλώττας ἔχουσι καὶ [o]οἱ ὄφεις καὶ οἱ σαῦροι τὸ δικρόαν
αὐτῶν εἶναι τὴν γλῶτταν ἄκραν, πολὺ δὲ μάλιστα οἱ ὄφεις·
τὰ γὰρ ἄκρα αὐτῶν ἐστὶ λεπτὰ ὥσπερ τρίχες. Ἔχει δὲ
22 καὶ ἡ φώκη ἐσχισμένην τὴν γλῶτταν. Τὴν δὲ κοιλίαν [p]ὁ
ὄφις ἔχει οἷον ἔντερον εὐρυχωρέστερον, ὁμοίαν τῇ τοῦ κυνός·
εἶτα τὸ ἔντερον [q]μακρὸν καὶ λεπτὸν καὶ μέχρι [r]τοῦ τέλους
ἕν. Ἐπὶ δὲ [s]τοῦ φάρυγγος ἡ καρδία, [t]μικρὰ [v]δὲ καὶ νε-
φροειδής· διὸ δόξειεν ἂν ἐνίοτε οὐ πρὸς τὸ στῆθος ἔχειν τὸ
ὀξύ. Εἶθ' ὁ πλεύμων ἁπλοῦς, ἰνώδει πόρῳ διηρθρωμένος καὶ
23 μακρὸς σφόδρα καὶ πολὺ ἀπηρτημένος τῆς καρδίας. Καὶ
τὸ ἧπαρ μακρὸν καὶ ἁπλοῦν, σπλὴν δὲ [w]μικρὸν καὶ στρογ-
γύλον, ὥσπερ καὶ οἱ σαῦροι. Χολὴν δ' ἔχει ὁμοίως τοῖς
ἰχθύσιν· οἱ μὲν γὰρ ὕδροι [x]ἐπὶ τῷ ἥπατι ἔχουσιν, οἱ δ' ἄλ-
λοι πρὸς τοῖς ἐντέροις ὡς ἐπὶ τὸ πολύ. Καρχαρόδοντες δὲ
πάντες εἰσίν. Πλευρὰς δ' ἔχουσιν [y]ἴσας ταῖς ἐν τῷ μηνὶ
24 ἡμέραις· τριάκοντα γὰρ ἔχουσιν. Λέγουσι δέ τινες συμ-
βαίνειν περὶ τοὺς ὄφεις τὸ αὐτὸ ὅπερ καὶ περὶ τοὺς νεοττοὺς
[z]τοὺς τῶν χελιδόνων· ἐὰν γάρ τις ἐκκεντήσῃ τὰ ὄμματα τῶν
ὄφεων, φασὶ φύεσθαι πάλιν. Καὶ [a]αἱ κέρκοι δὲ ἀποτεμνό-
25 μεναι τῶν τε σαύρων καὶ τῶν ὄφεων φύονται. Ὡσαύτως δὲ
καὶ τοῖς ἰχθύσιν ἔχει τὰ περὶ τὰ ἔντερα καὶ τὴν κοιλίαν·
μίαν γὰρ καὶ ἁπλῆν ἔχουσι, [b]διαφέρουσαν τοῖς σχήμασιν.
Ἔνιοι γὰρ πάμπαν [c]ἐντεροειδῆ ἔχουσιν, οἷον ὃν καλοῦσι
σκάρον, ὃς δὴ καὶ [d]δοκεῖ μόνος ἰχθὺς [e]μηρυκάζειν. Καὶ τὸ
τοῦ ἐντέρου δὲ μέγεθος ἁπλοῦν, καὶ [f]ἀναδίπλωσιν ἔχει, [g]ὃ
26 ἀναλύεται εἰς ἕν. Ἴδιον [h]δὲ [i]τῶν ἰχθύων ἐστὶ καὶ τῶν

[m] ἐξέλκεται P.D[a]. [n] γλώσσας C[a], γλῶσσας A[a]. [o] οἱ ante ὄφεις om. A[a].C[a]. [p] ὁ om. P. [q] μακρὸν καὶ om. A[a].C[a]. [r] τοῦ om. C[a]. [s] τῇ φάρυγγι P.D[a]. [t] μικρὰ] μικρὰ μακρὰ P.D[a], μικρὰ καὶ μακρὰ A[a].C[a]. [v] δὲ om. A[a].C[a]. [w] μικρὸν] μακρὸν P.D[a]. [x] πρὸς A[a].C[a]. [y] ἴσας om. P. [z] τοὺς ante τῶν om. A[a].C[a].D[a]. [a] αἱ om. D[a]. [b] διαφορὰν A[a].C[a]. [c] ἑτεροειδῆ A[a].C[a].D[a]. [d] μόνος ἰχθὺς δοκεῖ A[a]. [e] μηρυκάζειν P. [f] ἀναδίπλωσιν ἔχει ὃ om. D[a]. [g] ὃ] καὶ P. [h] δὲ om. P. [i] ἐστὶ τῶν ὀρνίθων καὶ τῶν ἰχθύων P.D[a].

Digitized by Google

ὀρνίθων τῶν πλείστων τὸ ἔχειν ἀποφυάδας· ἀλλ' οἱ μὲν ὄρνιθες κάτωθεν καὶ ὀλίγας, οἱ δ' [k] ἰχθύες ἄνωθεν περὶ τὴν κοιλίαν, καὶ ἔνιοι πολλάς, οἷον [l] κωβιός, γαλεός, πέρκη, σκορπίος, [m] κίθαρος, τρίγλη, [n] σπάρος· ὁ δὲ κεστρεὺς ἐπὶ μὲν θάτερα τῆς κοιλίας πολλάς, ἐπὶ [o] δὲ θάτερα μίαν. [v]Ενιοι 27
δ' ἔχουσι μὲν ὀλίγας δέ, οἷον [p] ἥπατος, γλαῦκος· ἔχει δὲ καὶ ὁ [q] χρύσοφρυς ὀλίγας. Διαφέρουσι δὲ καὶ αὐτοὶ αὑτῶν, οἷον χρύσοφρυς [r] ὁ μὲν πλείους ἔχει ὁ δ' ἐλάττους. Εἰσὶ δὲ καὶ οἳ ὅλως οὐκ ἔχουσιν, οἷον οἱ πλεῖστοι τῶν σελαχωδῶν· τῶν δ' ἄλλων οἱ μὲν ὀλίγας, οἱ δὲ καὶ πάνυ πολλάς. Πάν- 28
τες δὲ παρ' αὐτὴν ἔχουσι τὴν κοιλίαν τὰς ἀποφυάδας οἱ ἰχθύες. Οἱ δ' ὄρνιθες ἔχουσι καὶ πρὸς ἀλλήλους καὶ πρὸς τἆλλα ζῷα περὶ τὰ ἐντὸς μέρη διαφοράν. Οἱ μὲν γὰρ ἔχουσι πρὸ τῆς κοιλίας πρόλοβον, οἷον ἀλεκτρυών, [s] φάττα, περιστερά, πέρδιξ· ἔστι δ' [t] ὁ πρόλοβος δέρμα κοῖλον καὶ μέγα, ἐν ᾧ ἡ τροφὴ πρώτη εἰσιοῦσα ἄπεπτός ἐστιν. [v]Εστι 29
δ' αὐτόθι μὲν ἀπὸ τοῦ στομάχου [v] στενώτερος, ἔπειτα εὐρύτερος, ᾗ δὲ καθήκει [w] πάλιν πρὸς τὴν κοιλίαν, λεπτότερος. Τὴν δὲ κοιλίαν σαρκώδη καὶ [x] στιφρὰν οἱ πλεῖστοι ἔχουσι, καὶ [y] ἔσωθεν δέρμα [z] ἰσχυρὸν ἀφαιρούμενον ἀπὸ τοῦ σαρκώδους. Οἱ δὲ πρόλοβον μὲν οὐκ ἔχουσιν, ἀλλ' ἀντὶ τούτου 30
τὸν στόμαχον εὐρὺν καὶ πλατύν, ᾗ δι' ὅλου ᾗ [a] τὸ πρὸς τὴν κοιλίαν [b] τεῖνον, οἷον κολοιὸς καὶ κόραξ καὶ κορώνη. [v]Εχει δὲ καὶ ὁ ὄρτυξ τοῦ στομάχου τὸ πλατὺ κάτω, καὶ ὁ αἰγοκέφαλος μικρὸν [c] εὐρύτερον τὸ κάτω καὶ ἡ γλαύξ. Νῆττα δὲ 31
καὶ χὴν καὶ [d] λάρος καὶ [e] καταρράκτης καὶ [f] ὠτὶς τὸν στόμαχον εὐρὺν καὶ πλατὺν ὅλον, καὶ ἄλλοι δὲ πολλοὶ τῶν ὀρνίθων ὁμοίως. [v]Ενιοι δὲ [g] τῆς κοιλίας αὐτῆς τι ἔχουσιν ὅμοιον

[k] ἰχθύες πλείους ἄνωθεν P.D[a]. [l] κωβιὸς καὶ γαλεὸς A[a]. [m] κιθαρίς A[a], κιθαρές C[a]. [n] σκάρος A[a]. [o] θάτερα δὲ P.C[a].D[a]. [p] ἥπατος καὶ γλαῦκος D[a]. [q] χρυσόφρυς C[a]. [r] ἔχει ὁ μὲν πλείους A[a].C[a]. [s] φάσσα D[a]. [t] ὁ om. C[a]. [v] στενοτέρα A[a]. [w] πάλιν om. D[a]. [x] στρυφνὰν A[a].C[a]. [y] ἔσωθεν ἐν δέρμα P.D[a]. [z] ἰσχυρὸν καὶ ἀφαιρούμενον A[a].C[a]. [a] τὸ om. D[a]. [b] τείνοντα A[a].C[a]. [c] εὐρύτερος P. [d] γλάρος A[a]. [e] καταράκτης P. [f] ὄτις P.D[a]. [g] τὴν κοιλίαν αὐτὴν ἔχουσιν ὁμοίαν P.D[a]. et corr. A[a].

Digitized by Google

προλόβῳ, οἷον ἡ [h] κεγχρηΐς. [v]Ἔστι δὲ ἃ οὐκ ἔχει οὔτε τὸν στόμαχον οὔτε τὸν πρόλοβον εὐρύν, ἀλλὰ τὴν κοιλίαν μακράν, ὅσα μικρὰ τῶν ὀρνίθων, οἷον χελιδὼν καὶ στρουθός.
32 [t]Ὀλίγοι δ' οὔτε [i] τὸν πρόλοβον ἔχουσιν οὔτε τὸν στόμαχον εὐρύν, ἀλλὰ σφόδρα μακρόν, ὅσοι τὸν αὐχένα μακρὸν ἔχουσιν, οἷον πορφυρίων· σχεδὸν δ' οὗτοι καὶ τὸ περίττωμα
33 ὑγρότερον τῶν ἄλλων προΐενται πάντες. [t]Ὁ δ' ὄρτυξ ἰδίως [k] ἔχει ταῦτα πρὸς τοὺς ἄλλους· ἔχει γὰρ καὶ πρόλοβον καὶ πρὸ τῆς γαστρὸς τὸν στόμαχον εὐρὺν καὶ πλάτος ἔχοντα· διέχει [l] δ' ὁ πρόλοβος τοῦ πρὸ τῆς γαστρὸς στομάχου συχνὸν ὡς κατὰ μέγεθος. [v]Ἔχουσι δὲ καὶ λεπτὸν τὸ ἔντερον
34 οἱ πλεῖστοι καὶ ἁπλοῦν ἀναλυόμενον. Τὰς δ' [m] ἀποφυάδας ἔχουσιν οἱ ὄρνιθες, καθάπερ εἴρηται, ὀλίγας, καὶ οὐκ ἄνωθεν ὥσπερ οἱ ἰχθύες, ἀλλὰ κάτωθεν κατὰ τὴν τοῦ ἐντέρου τελευτήν. [v]Ἔχουσι δ' οὐ πάντες ἀλλ' [n] οἱ πλεῖστοι, οἷον ἀλεκτρυών, πέρδιξ, νῆττα, νυκτικόραξ, [o]λόκαλος, ἀσκάλαφος, χήν, [p] κύκνος, [q] ὠτίς, γλαύξ. [v]Ἔχουσι δὲ καὶ τῶν μικρῶν [r] τινές, ἀλλὰ [s] μικρὰ πάμπαν, οἷον στρουθός.

[t] Γ.

Περὶ μὲν οὖν τῶν ἄλλων μορίων τῶν ἐντὸς εἴρηται, καὶ πόσα καὶ ποῖ' ἄττα, καὶ τίνας ἔχει πρὸς ἄλληλα διαφορὰς· λοιπὸν δὲ περὶ τῶν εἰς τὴν γένεσιν συντελούντων μορίων εἰπεῖν. [v]Ταῦτα γὰρ τοῖς μὲν θήλεσι πᾶσιν ἐντός ἐστι, τὰ
2 δὲ τῶν ἀρρένων [w] διαφορὰς ἔχει πλείους. Τὰ μὲν γὰρ ὅλως τῶν ἐναίμων ζῴων οὐκ ἔχει ὄρχεις, τὰ δ' ἔχει μὲν ἐντὸς δ' ἔχει, καὶ τῶν ἐντὸς ἐχόντων τὰ μὲν πρὸς τῇ ὀσφύϊ ἔχει [x] περὶ τὸν τῶν νεφρῶν τόπον, τὰ δὲ πρὸς τῇ γαστρί, τὰ δ'
3 ἐκτός. Καὶ τὸ αἰδοῖον τούτων τοῖς μὲν συνήρτηται πρὸς

[h] κεγχρὶς P.C[a].D[a]. [i] τὸν ante πρόλοβον om. C[a]. [k] ταῦτα ἔχει πρὸς ὅλους A[a]. [l] δ'] γὰρ C[a]. [m] ἀποφυάδας ἀπολελυμένας ἔχουσιν C[a], ἀποφυάδας ἀπολεμμένας ἔχουσιν A[a]. [n] οἱ om. D[a]. [o] λόκαλος om. A[a]. [p] κύκνος] κυκλάμινος A[a].C[a]. [q] ὅτις P.D[a]. [r] τινὲς] ἔνιοι C[a]. [s] σμικρὰ P.D[a]. [t] Γ.] δ[x] C[a]. [v] ταῦτα] πάντα C[a]. [w] πολλὰς ἔχει διαφορὰς P.D[a]. [x] περὶ] πρὸς D[a].

Digitized by Google

τὴν γαστέρα, τοῖς δ' ἀφεῖται καθάπερ καὶ οἱ ὄρχεις· πρὸς δὲ τὴν γαστέρα συνήρτηται ἄλλως [y]τοῖς τ' ἐμπροσθουρητικοῖς καὶ τοῖς ὀπισθουρητικοῖς. Τῶν μὲν οὖν ἰχθύων οὐθεὶς ὄρχεις ἔχει, οὐδ' εἴ τι ἄλλο ἔχει βράγχια, οὐδὲ τὸ τῶν ὄφεων γένος ἅπαν, οὐδ' ὅλως ἄπουν οὐδέν, ὅσα μὴ [z]ζῳοτοκεῖ ἐν αὐτοῖς. Οἱ δ' ὄρνιθες [a]ἔχουσι μὲν ὄρχεις, ἔχουσι δ' ἐντὸς 4 πρὸς τῇ ὀσφύϊ. Καὶ τῶν τετραπόδων ὅσα ᾠοτοκεῖ, τὸν αὐτὸν ἔχει τρόπον, οἷον [b]σαύρα καὶ χελώνη καὶ κροκόδειλος, καὶ τῶν ζῳοτόκων ἐχῖνος. Τὰ δὲ τῶν ἐντὸς ἐχόντων πρὸς τῇ γαστρὶ ἔχει, οἷον τῶν ἀπόδων [c]μὲν δελφίς, τῶν δὲ τετραπόδων καὶ ζῳοτόκων ἐλέφας· τὰ δ' ἄλλα φανεροὺς ἔχει. Ἡ δ' ἐξάρ- 5 τησις ἡ πρὸς τὴν κοιλίαν καὶ τὸν τόπον τὸν συνεχῆ τίνα διαφορὰν ἔχει, πρότερον εἴρηται· τοῖς μὲν γὰρ [d]ἐκ τοῦ ὄπισθεν συνεχεῖς καὶ οὐκ ἀπηρτημένοι εἰσίν, οἷον τῷ γένει [e]τῷ τῶν ὑῶν, τοῖς δ' ἀπηρτημένοι, καθάπερ τοῖς ἀνθρώποις. Οἱ μὲν οὖν ἰχθύες ὄρχεις μὲν οὐκ ἔχουσιν, [f]ὥσπερ εἴρηται 6 πρότερον, οὐδ' οἱ ὄφεις· πόρους δὲ δύο ἔχουσιν ἀπὸ τοῦ ὑποζώματος ἠρτημένους ἐφ' ἑκάτερα τῆς ῥάχεως, συνάπτοντας εἰς [g]ἕνα πόρον [h]ἄνωθεν [i]τῆς τοῦ περιττώματος ἐξόδου· [k]τὸ δ' ἄνωθεν [l]λέγομεν τὸ πρὸς τὴν ἄκανθαν. Οὗτοι δὲ 7 γίνονται περὶ τὴν ὥραν τῆς ὀχείας [m]θοροῦ πλήρεις, καὶ θλιβομένων ἐξέρχεται τὸ σπέρμα λευκόν. Αὐτοὶ δὲ πρὸς αὐτοὺς ἣν ἔχουσι διαφοράν, ἔκ τε τῶν ἀνατομῶν [n]δεῖ θεωρεῖν καὶ ὕστερον λεχθήσεται ἐν τοῖς περὶ [o]ἕκαστον [p]αὐτῶν [q]ἰδίοις ἀκριβέστερον. [r]Ὅσα δ' ᾠοτοκεῖ ἢ δίποδα ὄντα ἢ 8 τετράποδα, πάντ' ἔχει ὄρχεις πρὸς τῇ ὀσφύϊ κάτωθεν τοῦ διαζώματος, [r]τὰ μὲν λευκοτέρους τὰ δ' ὠχροτέρους, λεπτοῖς πάμπαν φλεβίοις περιεχομένους. Καὶ ἀφ' ἑκατέρου τείνει

[y] τοῖς ἔμπροσθεν οὐρητικοῖς P.D[a]. [z] ἐν αὐτοῖς (ἐν ἑαυτοῖς D[a].) ζωοτοκεῖ P.D[a]. [a] μὲν ἔχουσι P. [b] σαῦρα P.A[a].C[a]. [c] μὲν om. P. [d] πρὸς τοὔπισθεν P.D[a]. [e] τῷ ante τῶν om. A[a]. [f] καθάπερ A[a]. [g] ἐν C[a]. [h] ἄνωθεν ante πόρον ponit C[a], om. P. [i] τῆς] ἄχρι τῆς A[a].C[a]. τῆς τοῦ περιττώματος ἐξόδου post ἄκανθαν P. [k] τὰ—τὰ A[a].C[a]. [l] λεγόμενον P. [m] θόρου D[a]. et pr. A[a]. [n] θεωρεῖν δεῖ A[a].C[a]. [o] ἑκάστου A[a]. [p] αὐτῶν om. P.D[a]. [q] ἰδίως P. [r] τοὺς μὲν λευκοτέρους τοὺς D[a].

Digitized by Google

πόρος συνάπτων εἰς [s] ἕνα, καθάπερ [t] καὶ τοῖς ἰχθύσιν, ὑπερ
9 τῆς τοῦ περιττώματος ἐξόδου. Τοῦτο δ' ἐστὶν αἰδοῖον, ὃ
τοῖς μὲν μικροῖς ἄδηλον, ἐν δὲ τοῖς μείζοσιν, οἷον [v] ἐν χηνὶ
καὶ τοῖς τηλικούτοις, φανερώτερον γίνεται, ὅταν [w] ἡ ὀχεία
πρόσφατος [x] ᾖ. Οἱ δὲ πόροι καὶ τοῖς ἰχθύσι καὶ τούτοις
προσπεφύκασι πρὸς τῇ ὀσφύϊ ὑποκάτω τῆς κοιλίας καὶ τῶν
ἐντέρων, μεταξὺ τῆς μεγάλης φλεβός, ἀφ' ἧς τείνουσι πόροι
10 εἰς ἑκάτερον τῶν ὄρχεων. [v] Ὥσπερ δὲ τοῖς ἰχθύσι περὶ μὲν
[y] τὴν ὥραν τῆς ὀχείας [z] θορός τε φαίνεται ἐνὼν καὶ οἱ πόροι
σφόδρα δῆλοι, ὅταν δὲ παρέλθῃ ἡ ὥρα, ἄδηλοι καὶ οἱ πόροι
ἐνίοτε, οὕτω καὶ τῶν ὀρνίθων οἱ ὄρχεις· πρὶν μὲν ὀχεύειν, οἱ
μὲν μικροὺς οἱ δὲ πάμπαν ἀδήλους ἔχουσιν, ὅταν δὲ ὀχεύωσι,
11 σφόδρα μεγάλους [a] ἴσχουσιν. [t] Ἐπιδηλότατα δὲ [b] τοῦτο
συμβαίνει ταῖς φάτταις καὶ τοῖς πέρδιξιν, ὥστ' [c] ἔνιοι οἴον-
ται οὐδ' ἔχειν τοῦ χειμῶνος ὄρχεις αὐτά. Τῶν δ' ἐν τῷ
ἔμπροσθεν ἐχόντων τοὺς ὄρχεις οἱ μὲν ἐντὸς ἔχουσι πρὸς τῇ
γαστρί, καθάπερ δελφίς, οἱ δ' ἐκτὸς ἐν τῷ φανερῷ πρὸς τῷ
12 τέλει τῆς γαστρός. Τούτοις δὲ τὰ μὲν ἄλλα [d] ἔχει τὸν
αὐτὸν τρόπον, διαφέρουσι δὲ ὅτι οἱ μὲν [e] αὐτῶν ἔχουσι καθ'
αὑτοὺς τοὺς ὄρχεις, οἱ δ' ἐν τῇ καλουμένῃ [f] ὀσχέᾳ, ὅσοι ἔξω-
θεν. Αὐτοὶ δ' οἱ ὄρχεις ἐν [g] πᾶσι τοῖς πεζοῖς καὶ ζωοτόκοις
13 τόνδ' ἔχουσι τὸν τρόπον. Τείνουσιν ἐκ τῆς ἀορτῆς πόροι
φλεβικοὶ μέχρι τῆς κεφαλῆς ἑκατέρου τοῦ ὄρχεως, καὶ [h] ἄλ-
λοι ἀπὸ τῶν νεφρῶν δύο· εἰσὶ δ' οὗτοι μὲν αἱματώδεις, οἱ δ'
14 ἐκ τῆς ἀορτῆς ἄναιμοι. [t] Ἀπὸ δὲ τῆς κεφαλῆς πρὸς αὐτῷ
τῷ ὄρχει πόρος ἐστὶ πυκνότερος ἐκείνου καὶ νευρωδέστερος,
ὃς ἀνακάμπτει πάλιν ἐν ἑκατέρῳ τῷ ὄρχει πρὸς τὴν κεφαλὴν
τοῦ ὄρχεως· ἀπὸ δὲ τῆς κεφαλῆς [i] ἑκάτεροι πάλιν εἰς ταὐτὸ
15 συνάπτουσιν εἰς τὸ πρόσθεν ἐπὶ τὸ αἰδοῖον. Οἱ δ' ἐπανα-
κάμπτοντες πόροι καὶ προσκαθήμενοι τοῖς ὄρχεσιν [k] ὑμένι

[s] ἕν Aa.Ca. [t] καὶ om. P.Da. [v] ἐν post οἷον om. pr. Ca. [w] ἡ om. Ca. [x] ᾖ post ὅταν P.Da. [y] τὴν om. Aa. [z] θόρος Da. [a] ἔχουσιν Aa.Ca. [b] συμβαίνει τοῦτο P. [c] οἴονται ἐνίοτε P.Da. [d] τὸν αὐτὸν ἔχει Aa. [e] αὐτῶν] αὐτοὺς Aa.Ca. [f] ὀχεία P. [g] ἅπασι P.Da. [h] ἄλλοι δ' ἀπὸ P.Da. [i] ἑκατέρας Aa.Ca. [k] ὑμένι] οἱ μὲν P.Da.

Digitized by Google

περιειλημμένοι εἰσὶ τῷ αὐτῷ, ὥστε δοκεῖν ἕνα εἶναι πόρον, ἐὰν μὴ διέλῃ τὸν ὑμένα τις. [b]Ὁ μὲν οὖν προσκαθήμενος πόρος ἔτι αἱματώδες ἔχει τὸ ὑγρόν, ἧττον μέντοι τῶν ἄνω τῶν ἐκ τῆς ἀορτῆς· ἐν δὲ τοῖς ἐπανακάμπτουσιν εἰς τὸν καυλὸν τὸν ἐν τῷ αἰδοίῳ λευκή ἐστιν ἡ ὑγρότης. Φέρει δὲ 16
καὶ ἀπὸ τῆς κύστεως πόρος, καὶ συνάπτει ἄνωθεν [l]εἰς τὸν καυλόν· περὶ [m]τοῦτον δὲ οἷον κέλυφός ἐστι τὸ καλούμενον αἰδοῖον. Θεωρείσθω δὲ τὰ εἰρημένα ταῦτα [n]ἐκ τῆς ὑπογραφῆς [o]τῆσδε. Τῶν πόρων [p]ἀρχὴ [q]τῶν ἀπὸ τῆς ἀρτηρίας, 17
ἐφ' οἷς [r]Α· κεφαλαὶ τῶν ὄρχεων καὶ οἱ καθήκοντες πόροι, ἐφ' οἷς Κ· οἱ ἀπὸ τούτων πρὸς τῷ ὄρχει [s]προσκαθήμενοι, ἐφ' οἷς τὰ ΩΩ· οἱ δ' ἀνακάμπτοντες, ἐν οἷς ἡ ὑγρότης ἡ λευκή, ἐφ' οἷς [t]τὰ ΒΒ· αἰδοῖον Δ, [v]κύστις Ε, ὄρχεις δ' [w]ἐφ' οἷς τὰ ΨΨ. [x]Ἀποτεμνομένων δ' ἢ ἀφαιρουμένων τῶν 18
ὄρχεων αὐτῶν ἀνασπῶνται οἱ πόροι ἄνω. Διαφθείρουσι δ' οἱ μὲν [y]ἔτι νέων ὄντων τρίψει, οἱ δὲ [z]καὶ ὕστερον [a]ἐκτέμνοντες· συνέβη δ' [a]ἤδη ταῦρον ἐκτμηθέντα καὶ εὐθὺς ἐπιβάντα ὀχεῦσαι καὶ γεννῆσαι. Τὰ μὲν οὖν περὶ τοὺς ὄρχεις 19
[b]τοῖς ζῴοις τοῦτον ἔχει τὸν τρόπον. Αἱ δ' ὑστέραι τῶν ἐχόντων ὑστέρας ζῴων οὔτε τὸν αὐτὸν τρόπον ἔχουσιν οὔθ' ὅμοιαι πάντων εἰσίν, ἀλλὰ διαφέρουσι καὶ τῶν ζωοτοκούντων πρὸς ἄλληλα καὶ τῶν ᾠοτοκούντων. Δίκροαι μὲν [c]οὖν εἰσὶν 20
[d]ἁπάντων τῶν πρὸς τοῖς ἄρθροις ἐχόντων τὰς ὑστέρας, καὶ τὸ μὲν αὐτῶν ἐν τοῖς δεξιοῖς μέρεσι, τὸ δ' ἕτερον ἐν τοῖς ἀριστεροῖς ἐστίν· [e]ἡ δ' ἀρχὴ μία καὶ τὸ στόμα ἕν, οἷον καυλὸς σαρκώδης σφόδρα καὶ χονδρώδης τοῖς πλείστοις καὶ μεγίστοις. Καλεῖται δὲ τούτων [f]τὰ μὲν ὑστέρα καὶ [g]δελ- 21
φύς (ὅθεν καὶ ἀδελφοὺς προσαγορεύουσι), μήτρα δ' ὁ καυ-

[l] εἰς] πρὸς Aa.Ca. [m] τοῦτο P.Da. [n] ἐκ] καὶ ἐκ Da. [o] τῆς δὲ τῶν πόρων ἀρχῆς Ca. [p] ἡ ἀρχὴ Aa. [q] τῶν om. Aa.Ca. [r] Α κεφαλαὶ] ἡ κεφαλὴ P, ἡ κεφαλὴ a Da. [s] καθήμενοι pr. Aa. [t] τὰ om. P.Da. [v] κύστεις Aa. [w] ἐφ' Schneiderus: codices ἐν. [x] νέων ἔτι P.Da. [y] καὶ om. P.Da. [z] ἐκτέμνονται Aa.Ca. [a] ἤδη om. P.Da. [b] τῶν ζώων P.Da. [c] οὖν om. Aa. [d] πάντων P.Da. [e] ἡ δ'] καὶ τούτων Aa. [f] τὸ Ca. [g] δελφὶς Aa.Ca.

Digitized by Google

22 λὸς καὶ τὸ στόμα τῆς ὑστέρας. [v]Οσα μὲν οὖν ἐστὶ ζῳοτόκα καὶ δίποδα [h] ἢ τετράποδα, τούτων μὲν ἡ ὑστέρα πάντων ἐστὶ κάτω τοῦ ὑποζώματος, οἷον ἀνθρώπῳ καὶ κυνὶ [i] καὶ ὑΐ καὶ ἵππῳ καὶ βοΐ· καὶ τοῖς κερατοφόροις ὁμοίως ταῦτά [k] γ' ἔχει πᾶσιν. [t]Επ' [l] ἄκρων δὲ αἱ ὑστέραι τῶν καλουμένων κερα-
23 τίων [m] εἰλιγμὸν ἔχουσιν αἱ τῶν πλείστων. Τῶν δ' ᾠοτοκούντων εἰς τοὐμφανὲς οὐχ ὁμοίως ἁπάντων ἔχουσιν, ἀλλ' αἱ μὲν τῶν ὀρνίθων πρὸς τῷ ὑποζώματι, αἱ δὲ τῶν ἰχθύων κάτω, καθάπερ [n] αἱ τῶν ζῳοτοκούντων διπόδων καὶ τετραπόδων, πλὴν λεπταὶ καὶ ὑμενώδεις καὶ [o] μακραί, ὥστ' ἐν τοῖς σφόδρα μικροῖς τῶν ἰχθύων δοκεῖν ἑκατέραν φὸν [p] εἶναι ἕν, ὡς δύο ἐχόντων φὰ τῶν ἰχθύων τούτων, ὅσων λέγεται [q] τὸ φὸν εἶναι ψαθυρόν· ἔστι γὰρ οὐχ ἓν ἀλλὰ πολλά, διόπερ διαχεῖται
24 εἰς πολλά. [r]Η δὲ τῶν ὀρνίθων ὑστέρα κάτωθεν μὲν ἔχει τὸν καυλὸν σαρκώδη καὶ [r] στιφρόν, [s] τὸ δὲ πρὸς τῷ ὑποζώματι ὑμενῶδες καὶ λεπτὸν πάμπαν, ὥστε δόξαι ἂν ἔξω τῆς ὑστέρας εἶναι τὰ φά. [t]Εν μὲν οὖν τοῖς μείζοσι τῶν ὀρνίθων δῆλος [t] ὁ ὑμήν ἐστι μᾶλλον, καὶ φυσώμενος διὰ τοῦ καυλοῦ αἴρεται καὶ [v] κολποῦται· ἐν δὲ τοῖς μικροῖς ἀδηλότερα [w] πάντα
25 ταῦτα. Τὸν αὐτὸν δὲ τρόπον ἔχει ἡ ὑστέρα καὶ ἐν τοῖς τετράποσι μὲν τῶν ζῴων [x] ᾠοτόκοις δέ, οἷον χελώνῃ καὶ σαύρᾳ καὶ βατράχοις καὶ τοῖς ἄλλοις τοῖς τοιούτοις· ὁ μὲν γὰρ [y] καυλὸς κάτωθεν εἷς καὶ σαρκωδέστερος, ἡ δὲ [z] σχίσις
26 καὶ τὰ φὰ ἄνω πρὸς τῷ ὑποζώματι. [v]Οσα δὲ τῶν ἀπόδων εἰς τὸ φανερὸν μὲν ζῳοτοκεῖ ἐν [a] αὑτοῖς δ' ᾠοτοκεῖ, οἷον οἵ τε γαλεοὶ καὶ τἆλλα τὰ καλούμενα σελάχη (καλεῖται δὲ σέλαχος ὃ [b] ἂν ἄπουν ὂν καὶ βράγχια ἔχον ζῳοτόκον ᾖ), τούτων [c] δὴ δικρόα μὲν ἡ ὑστέρα, ὁμοίως [c] δὲ καὶ πρὸς τὸ ὑπό-

[h] ἢ] καὶ Aª. [i] καὶ ὑΐ om. Dª. [k] γ' om. P.Dª. [l] ἄκρον Aª. [m] εἰλιγμὸν Cª, εἴλιγμα δ' P, εἴλιγμα δ' Dª. [n] αἱ post καθάπερ om. P.Dª. [o] μακραί] μικραί pr. Aª. [p] εἶναι om. P. [q] τὸ ᾠὸν εἶναι om. P. [r] στριφνόν Cª, στεριφόν Aª. [s] τὰ δὲ πρὸς τῷ ὑποζώματι ὑμενώδη καὶ λεπτὰ Aª.Cª. [t] ἐστιν ὁ ὑμὴν Aª.Cª. [v] κολφοῦται Cª, κολποῦται ὁ ὑμήν P.Dª. [w] πάντα om. P.Dª, post ταῦτα ponit A. [x] ᾠοτόκων Aª. [y] σαῦρος P. [z] σχέσις Aª. [a] δ' αὑτοῖς P.Dª. [b] ἂν] ἄν τι P.Dª. [c] δὴ et mox δὲ om. P.Dª.

Digitized by Google

ζωμα τείνει, καθάπερ [d] καὶ τῶν ὀρνίθων. [v]Ἔτι δὲ διὰ μέσου 27
τῶν δικρόων κάτωθεν ἀρξαμένη μέχρι πρὸς τὸ ὑπόζωμα τείνει, καὶ τὰ ᾠὰ ἐνταῦθα γίνεται καὶ ἄνω ἐπ' ἀρχῇ τοῦ ὑποζώματος· [e] εἶτα [f] προελθόντα εἰς τὴν εὐρυχωρίαν ζῷα γίνεται ἐκ τῶν ᾠῶν. Αὐτῶν δὲ τούτων πρὸς ἄλληλά τε καὶ πρὸς τοὺς ἄλλους ἰχθῦς ἡ διαφορὰ τῶν ὑστερῶν ἀκριβέστερον ἂν θεωρηθείη τοῖς σχήμασιν ἐκ τῶν ἀνατομῶν. [v]Ἔχει δὲ καὶ 28
τὸ τῶν ὄφεων γένος πρός τε ταῦτα καὶ πρὸς ἄλληλα [g] διαφοράν. Τὰ μὲν γὰρ ἄλλα γένη τῶν ὄφεων [h] ᾠοτοκεῖ, ἔχις δὲ ζωοτοκεῖ μόνον, [i] ᾠοτοκήσας ἐν αὐτῷ πρῶτον· διὸ παραπλησίως ἔχει τὰ περὶ τὴν ὑστέραν τοῖς σελάχεσιν. [v]Ἡ δὲ 29
τῶν ὄφεων ὑστέρα μακρά, καθάπερ τὸ σῶμα, τείνει κάτωθεν ἀρξαμένη ἀφ' ἑνὸς πόρου συνεχής, ἔνθεν καὶ ἔνθεν τῆς ἀκάνθης, οἷον πόρος ἑκάτερος ὤν, μέχρι πρὸς τὸ ὑπόζωμα, ἐν ᾗ τὰ ᾠὰ κατὰ [k] στοῖχον ἐγγίνεται, καὶ ἐκτίκτει οὐ καθ' [l] ἓν ἀλλὰ συνεχές. [v]Ἔχει δὲ τὴν ὑστέραν, ὅσα μὲν ζωοτοκεῖ καὶ 30
ἐν αὐτοῖς καὶ εἰς τοὐμφανές, [m] ἄνωθεν [n] τῆς κοιλίας, ὅσα δ' ᾠοτοκεῖ, πάντα κάτωθεν πρὸς τῇ ὀσφύϊ. [v]Ὅσα δ' εἰς τὸ φανερὸν μὲν ζωοτοκεῖ ἐν αὐτοῖς δ' ᾠοτοκεῖ, [o] ἐπαμφοτερίζει· τὸ μὲν γὰρ [p] κάτωθεν πρὸς τὴν ὀσφὺν αὐτῆς μέρος ἐστίν, [q] ἐν ᾧ τὰ ᾠά, τὸ δὲ περὶ τὴν ἔξοδον ἐπάνω τῶν ἐντέρων. [v]Ἔτι 31
δὲ διαφορὰ [r] καὶ [s] ἥδε πρὸς [t] ἀλλήλας ἐστὶ τῶν ὑστερῶν. Τὰ μὲν [v] γὰρ κερατοφόρα καὶ [w] μὴ ἀμφώδοντα ἔχει κοτυληδόνας ἐν τῇ ὑστέρᾳ, ὅταν ἔχῃ τὸ ἔμβρυον, καὶ τῶν ἀμφωδόντων οἷον δασύπους καὶ μῦς καὶ νυκτερίς· τὰ δ' ἄλλα [x] τὰ ἀμφώδοντα καὶ ζωοτόκα καὶ ὑπόποδα πάντα λείαν ἔχει τὴν ὑστέραν, καὶ ἡ τῶν ἐμβρύων ἐξάρτησις ἐξ αὐτῆς ἐστὶ τῆς ὑστέρας, ἀλλ' οὐκ ἐκ κοτυληδόνος.

[d] καὶ ante τῶν om. C[a]. [e] post εἶτα pr. A[a]. iterum ἐπ' ἀρχῇ τοῦ ὑποζώματος. [f] προσελθόντα P. [g] διαφέροντα A[a].C[a]. [h] ὠοτοκεῖ πάντα, ὁ δὲ ἔχις A[a].C[a]. [i] ὠοτοκῆσαν P.A[a].C[a]. [k] στοιχεῖον C[a]. [l] ἕνα C[a]. [m] ἄνωθεν] ἄδηλον pr. A[a]. [n] τῆς κεφαλῆς κοιλίας P. [o] ἐπαμφοτερίζεται P. [p] κάτωθεν καὶ πρὸς P.D[a]. [q] ἐν ᾗ περιττὰ ᾠά, τὰ δὲ P.D[a]. [r] καὶ om. P.D[a]. [s] ἥδε P. ἥδε ante ἐστι D[a]. [t] ἄλληλα A[a]. [v] γὰρ om. C[a]. [w] μὴ om. pr. A[a]. [x] τὰ post ἄλλα om. P.D[a].

Digitized by Google

Τὰ μὲν οὖν ἀνομοιομερῆ ἐν τοῖς ζῴοις μέρη τοῦτον ἔχει
2 τὸν τρόπον, καὶ τὰ [y]ἐκτὸς καὶ τὰ ἐντός. Τῶν δ' ὁμοιομερῶν κοινότατον μέν ἐστι τὸ αἷμα πᾶσι τοῖς ἐναίμοις ζῴοις καὶ τὸ μόριον ἐν ᾧ πέφυκεν ἐγγίνεσθαι (τοῦτο [z]δὲ καλεῖται φλέψ), ἔπειτα δὲ τὸ ἀνάλογον τούτοις, ἰχὼρ καὶ ἶνες, [a]καὶ ὃ μάλιστα δή ἐστι τὸ σῶμα τῶν ζῴων, ἡ σὰρξ καὶ [b]τὸ [c]τούτῳ ἀνάλογον ἐν ἑκάστῳ μόριον, ἔτι ὀστοῦν καὶ τὸ [d]ἀνάλογον τούτῳ, οἷον ἄκανθα [e]καὶ χόνδρος· ἔτι δὲ δέρμα, ὑμήν, νεῦρα, [f]τρίχες, ὄνυχες, καὶ τὰ ὁμολογούμενα τούτοις· πρὸς δὲ τούτοις πι-
μελή, στέαρ καὶ τὰ περιττώματα· ταῦτα δ' ἐστὶ κόπρος,
2 [g]φλέγμα, χολὴ ξανθὴ καὶ μέλαινα. [1]Ἐπεὶ [h]δ' ἀρχῇ ἔοικεν ἡ τοῦ αἵματος φύσις καὶ ἡ τῶν φλεβῶν, πρῶτον περὶ τούτων λεκτέον, ἄλλως τε ἐπειδὴ καὶ τῶν [i]πρότερον εἰρηκότων τινὲς [k]οὐ καλῶς λέγουσιν. Αἴτιον δὲ τῆς ἀγνοίας τὸ δυσθεώρη-
3 τον αὐτῶν. [1]Ἐν μὲν γὰρ τοῖς τεθνεῶσι τῶν ζῴων ἄδηλος ἡ φύσις τῶν κυριωτάτων φλεβῶν διὰ τὸ συμπίπτειν εὐθὺς ἐξιόντος τοῦ αἵματος μάλιστα ταύτας (ἐκ τούτων γὰρ ἐκχεῖται ἀθρόον ὥσπερ ἐξ ἀγγείου· καθ' αὑτὸ γὰρ οὐδὲν ἔχει αἷμα, πλὴν ὀλίγον ἐν τῇ καρδίᾳ, ἀλλὰ πᾶν ἐστὶν ἐν ταῖς φλεψίν), ἐν δὲ [l]τοῖς ζῶσιν ἀδύνατόν [m]ἐστι θεάσασθαι πῶς ἔχουσιν·
4 ἐντὸς γὰρ ἡ φύσις αὐτῶν. [n]Ὥσθ' οἱ μὲν ἐν τεθνεῶσι καὶ διῃρημένοις τοῖς ζῴοις θεωροῦντες τὰς μεγίστας ἀρχὰς οὐκ ἐθεώρουν, οἱ δ' ἐν τοῖς λελεπτυσμένοις σφόδρα ἀνθρώποις ἐκ τῶν [n]τότε ἔξωθεν φαινομένων τὰς ἀρχὰς τῶν φλεβῶν διώρισαν, [o]Συέννεσις μὲν ὁ Κύπριος ἰατρὸς τόνδε τὸν [p]τρόπον.
5 Αἱ φλέβες αἱ παχεῖαι ὧδε πεφύκασιν, ἐκ τοῦ [q]ὀμφαλοῦ παρὰ τὴν [r]ὀσφὺν διὰ τοῦ νώτου [s]παρὰ τὸν πλεύμονα ὑπὸ τοὺς μαστούς, ἡ μὲν ἐκ τοῦ δεξιοῦ εἰς τὰ ἀριστερά, ἡ δ' ἐκ τοῦ ἀριστεροῦ [t]εἰς τὸ

[y] ἐντὸς καὶ τὰ ἐκτός P.D[a]. [z] δὲ om. pr. A[a]. [a] καὶ ante ὃ om. C[a]. [b] τὸ post καὶ om. P. [c] τούτων P.C[a].D[a]. [d] τούτῳ ἀνάλογον A[a]. [e] καὶ om. P. [f] ὄνυχες τρίχες C[a].D[a]. [g] φλέγμα καὶ χολὴ A[a]. [h] δ'] δὴ P. [i] προτέρῳ A[a]. [k] οὐκ ἀληθῶς P. [l] τοῖς ζῶσιν] ζῶντι P. [m] ἐστι] εἶναι P.A[a].C[a]. [n] τότε om. D[a]. [o] συέννεσις A[a], συένησις P. [p] τρόπον λέγει. αἱ A[a].C[a]. [q] ὀφθαλμοῦ P.D[a]. [r] ὀφρὺν P.C[a].D[a]. et pr. A[a]. [s] περὶ P.D[a]. [t] εἰς τὸ δεξιόν—ἀριστεροῦ om. P.

Digitized by Google

δεξιόν, ἡ [v]μὲν ἐκ τοῦ ἀριστεροῦ διὰ τοῦ ἤπατος εἰς [w]τὸν νεφρὸν καὶ εἰς τὸν ὄρχιν, ἡ δ' ἐκ τοῦ δεξιοῦ εἰς τὸν σπλῆνα καὶ νεφρὸν καὶ ὄρχιν, ἐντεῦθεν δὲ εἰς τὸ αἰδοῖον. Διογένης δὲ ὁ [1]Ἀπολλωνιάτης 6
τάδε λέγει. Αἱ [x]δὲ φλέβες ἐν τῷ ἀνθρώπῳ, ὧδ' ἔχουσιν. [y]Εἰσὶ δύο μέγισται· αὗται τείνουσι διὰ τῆς κοιλίας παρὰ τὴν νωτιαίαν ἄκανθαν, ἡ μὲν ἐπὶ [z]δεξιὰ ἡ δ' ἐπ' [z]ἀριστερά, εἰς τὰ [a]σκέλη ἑκατέρα [b]τὰ παρ' ἑαυτῇ, καὶ ἄνω εἰς τὴν κεφαλὴν [c]παρὰ τὰς κλεῖδας διὰ τῶν σφαγῶν. [2]Ἀπὸ δὲ τούτων καθ' ἅπαν τὸ [d]σῶμα φλέβες [e]διατείνουσιν, ἀπὸ 7
μὲν τῆς δεξιᾶς [f]εἰς τὰ δεξιά, ἀπὸ δὲ τῆς ἀριστερᾶς [g]εἰς τὰ ἀριστερά, μέγισται μὲν δύο εἰς τὴν καρδίαν περὶ αὐτὴν τὴν νωτιαίαν ἄκανθαν, ἕτεραι δ' ὀλίγον [h]ἀνωτέρω διὰ τῶν [i]στηθῶν ὑπὸ τὴν μασχάλην εἰς ἑκατέραν τὴν χεῖρα τὴν παρ' ἑαυτῇ· καὶ καλεῖται ἡ μὲν σπληνῖτις, ἡ δὲ ἡπατῖτις. Σχίζεται δ' αὐτῶν [k]ἄκρα ἑκατέρα, ἡ μὲν ἐπὶ 8
τὸν μέγαν δάκτυλον, ἡ δ' ἐπὶ τὸν ταρσόν· [l]ἀπὸ δὲ τούτων λεπταὶ καὶ πολύοζοι ἐπὶ τὴν [m]ἄλλην χεῖρα καὶ δακτύλους. [n]Ἕτεραι δὲ λεπτότεραι ἀπὸ τῶν πρώτων φλεβῶν [n]τείνουσιν, ἀπὸ μὲν τῆς δεξιᾶς εἰς τὸ ἧπαρ, ἀπὸ δὲ τῆς ἀριστερᾶς εἰς τὸν σπλῆνα [o]καὶ τοὺς νεφρούς. Αἱ δὲ εἰς τὰ σκέλη τείνουσαι σχίζονται κατὰ τὴν πρόσ- 9
φυσιν, καὶ διὰ παντὸς τοῦ μηροῦ τείνουσιν. [3]Ἡ δὲ μεγίστη αὐτῶν ὄπισθεν τείνει τοῦ μηροῦ, καὶ [p]ἐκφαίνεται παχεῖα· [q]ἑτέρα δὲ [r]εἴσω τοῦ μηροῦ, [s]μικρὸν ἧττον παχεῖα ἐκείνης. [4]Ἔπειτα παρὰ τὸ γόνυ 10
τείνουσιν εἰς τὴν κνήμην [t]τε καὶ τὸν πόδα, καθάπερ [v]καὶ εἰς τὰς χεῖρας· καὶ ἐπὶ τὸν ταρσὸν τοῦ ποδὸς [w]καθήκουσι, καὶ ἐντεῦθεν ἐπὶ τοὺς δακτύλους [x]διατείνουσιν. Σχίζονται [y]δὲ [z]καὶ ἐπὶ τὴν κοιλίαν [a]καὶ τὸ πλευρὸν πολλαὶ ἀπ' αὐτῶν καὶ λεπταὶ φλέβες. Αἱ δ' εἰς τὴν κεφαλὴν τείνουσαι διὰ τῶν σφαγῶν φαίνονται ἐν τῷ 11
αὐχένι μεγάλαι· ἀφ' ἑκατέρας δ' αὐτῶν, ᾗ τελευτᾷ, σχίζονται εἰς τὴν κεφαλὴν πολλαί, αἱ μὲν ἐκ τῶν δεξιῶν εἰς τὰ ἀριστερά, [b]αἱ δ'

[v] μὲν οὖν ἐκ Ca. [w] τὸ νεφρὸν Aa. [x] δὲ om. Aa.Ca. [y] εἰσὶ δὲ δύο αἱ Ca, εἰσὶν αἱ δύο P.Da. [z] δεξιᾷ et ἀριστερᾷ P. [a] σκέλη θ' ἑκάτερα Ca. [b] τὰ om. P.Ca. et corr. Aa. [c] περὶ Da. [d] σῶμα αἱ φλέβες P.Da. [e] διατείνουσαι P. [f] εἰς] ἐπὶ P.Aa. [g] εἰς] ἐπὶ Aa. [h] ἄνωθεν Aa. [i] στηθίων P. [k] ἑκατέρα ἄκρα P.Da. [l] ἀπὸ δὲ] καὶ ἀπὸ P.Da. [m] ὅλην P.Da. [n] τείνουσαι P. [o] καὶ εἰς τοὺς Aa.Ca. [p] ἐμφαίνεται Aa. [q] ἑτέρα—ἧττον παχεῖα om. Ca. [r] ἔσω P.Da. [s] παχεῖα μικρὸν ἧττον Aa. [t] γε Ca. [v] καὶ εἰς] αἱ εἰς Ca, om. καὶ Aa. [w] καθήκουσαι Aa. [x] διατείνουσαι P. [y] δὲ—sect. 11. σχίζονται om. P. [z] καὶ om. Aa. [a] καὶ ἐπὶ τὸ Aa. [b] αἱ δ' ἐκ] ἐκ δὲ Aa.

Digitized by Google

ἐκ τῶν ἀριστερῶν εἰς τὰ δεξιά· τελευτῶσι δὲ παρὰ τὸ οὖς ἑκάτεραι.
12 Ἔστι δ' ἑτέρα φλὲψ ἐν τῷ τραχήλῳ παρὰ τὴν μεγάλην ἑκατέρωθεν, ἐλάττων ἐκείνης ὀλίγον, εἰς ἣν αἱ πλεῖσται ἐκ τῆς κεφαλῆς [d] συνέχουσιν [c] αὐτῆς· καὶ αὗται τείνουσι διὰ τῶν σφαγῶν εἴσω, καὶ ἀπ' αὐτῶν ἑκατέρας ὑπὸ [f] τὴν ὠμοπλάτην τείνουσι καὶ εἰς τὰς χεῖρας.
13 Καὶ φαίνονται [g] παρά τε τὴν σπληνῖτιν καὶ τὴν ἡπατῖτιν ἕτεραι [h] ὀλίγον ἐλάττους, ἃς [i] ἀποσχῶσιν, [k] ὅταν τι ὑπὸ τὸ δέρμα λυπῇ· [l] ἂν [m] δέ τι περὶ τὴν κοιλίαν, τὴν ἡπατῖτιν καὶ [n] τὴν σπληνῖτιν. Τείνουσι δὲ καὶ [o] ὑπὸ τοὺς μαστοὺς ἀπὸ τούτων [p] ἕτεραι. Ἕτεραι δ' εἰσὶν [q] αἱ ἀπὸ ἑκατέρας τείνουσαι [r] διὰ τοῦ νωτιαίου μυελοῦ εἰς
14 τοὺς ὄρχεις, λεπταί. Ἕτεραι δ' ὑπὸ τὸ δέρμα καὶ διὰ τῆς σαρκὸς τείνουσιν εἰς τοὺς νεφρούς, καὶ τελευτῶσιν εἰς τοὺς ὄρχεις τοῖς
15 ἀνδράσι, ταῖς δὲ γυναιξὶν εἰς τὰς ὑστέρας. Αἱ δὲ φλέβες αἱ μὲν πρῶται ἐκ τῆς κοιλίας εὐρύτεραί εἰσιν, [s] ἔπειτα λεπτότεραι γίγνονται, ἕως ἂν [t] μεταβάλωσιν ἐκ τῶν δεξιῶν εἰς [v] τὰ ἀριστερὰ καὶ ἐκ τούτων εἰς τὰ δεξιά· αὗται δὲ [w] σπερματίτιδες καλοῦνται. Τὸ δ' αἷμα τὸ μὲν παχύτατον ὑπὸ τῶν [x] σαρκῶν [y] ἐγγίνεται· ὑπερβάλλον δὲ εἰς τοὺς τόπους τούτους λεπτὸν καὶ θερμὸν καὶ ἀφρῶδες γίνεται.

3 [z] Συέννεσις μὲν οὖν καὶ Διογένης οὕτως εἰρήκασιν, [a] Πόλυβος δὲ ὧδε. Τὰ δὲ τῶν φλεβῶν τέτταρα [b] ζεύγη ἐστίν, ἓν μὲν ἀπὸ τοῦ [c] ἐξόπισθεν τῆς κεφαλῆς διὰ τοῦ αὐχένος ἔξωθεν [d] παρὰ τὴν ῥάχιν ἔνθεν καὶ ἔνθεν μέχρι τῶν ἰσχίων εἰς τὰ σκέλη, ἔπειτα διὰ τῶν [e] κνημῶν εἰς τὸ ἔξω τῶν σφυρῶν καὶ [f] εἰς τοὺς πόδας· διὸ [g] καὶ τὰς φλεβοτομίας ποιοῦνται τῶν περὶ τὸν νῶτον ἀλγημάτων καὶ [h] ἰσχίου
2 ἀπὸ τῶν ἰγνύων καὶ [i] τῶν ἔξωθεν σφυρῶν. Ἕτεραι δὲ φλέβες ἐκ τῆς κεφαλῆς [k] παρὰ τὰ ὦτα διὰ τοῦ αὐχένος, [l] αἳ καλοῦνται [m] σφαγί-

[d] συντείνουσιν P.D[a]. [e] αὐταῖς A[a].C[a]. [f] τὸν P.D[a], τῷ A[a], qui ὠμοπλάτη. [g] περὶ D[a]. [h] ὀλίγαι D[a], ὀλίγον πολλάκις C[a]. [i] ἀποσπῶσιν P, ἀποσχίζουσιν αἱ ὑπερέχουσαι C[a], ὑποσχίζουσιν αἱ ὑπερέχουσαι A[a]. [k] ὅταν ὑποδράμῃ λύπη A[a].C[a]. [l] ἂν] αἱ A[a].C[a], ἐὰν P. [m] δ' ἔτι καὶ περὶ A[a], δέ τι καὶ περὶ C[a]. [n] τὴν om. P.C[a].D[a]. [o] ὑπὸ] εἰς P.D[a]. [p] ἑκάτεραι C[a]. [q] αἱ—τείνουσι A[a]. [r] διὰ] ἃ δὴ P. [s] ἔπειτα ἔτι λεπτότεραι A[a].C[a]. [t] μεταβάλλωσιν P.D[a]. [v] τἀριστερὰ C[a]. [w] σπερματίδες A[a]. [x] σαρκωδῶν P.C[a].D[a]. [y] ἐκπίνεται P.D[a]. [z] συένεσις A[a]. [a] πολύβιος A[a]. [b] γένη D[a]. [c] ἐξόπισθε C[a]. [d] περὶ C[a].D[a]. [e] κνημῶν ἐκ τῶν σφυρῶν εἴς τ' ἔξω καὶ A[a].C[a]. [f] εἰς om. P.D[a]. [g] καὶ om. A[a].C[a]. [h] ἰσχίων P.A[a].C[a]. [i] σφυρῶν τῶν ἔξωθεν D[a], τῶν σφυρῶν ἔξωθεν A[a]. [k] περὶ D[a]. [l] αἳ] καὶ A[a].C[a]. [m] σφυσίτιδες pr. A[a].

Digitized by Google

τιδες, ἔνδοθεν [n] παρὰ τὴν ῥάχιν ἑκάτεραι [o] φέρουσαι [p] παρὰ τὰς [q] ψοιὰς εἰς τοὺς ὄρχεις καὶ [r] εἰς τοὺς μηρούς, [s] καὶ διὰ τῶν ἰγνύων [t] τοῦ ἔνδοθεν μορίου καὶ διὰ τῶν κνημῶν ἐπὶ τὰ σφυρὰ τὰ εἴσω καὶ τοὺς πόδας· διὸ καὶ τὰς φλεβοτομίας ποιοῦνται τῶν περὶ τὰς [v] ψοιὰς καὶ τοὺς ὄρχεις ἀλγημάτων ἀπὸ τῶν ἰγνύων καὶ τῶν σφυρῶν. Τὸ 3
δὲ τρίτον ζεῦγος ἐκ τῶν κροτάφων διὰ τοῦ αὐχένος ὑπὸ [w] τὰς [x] ὠμοπλάτας εἰς τὸν πλεύμονα ἀφικνοῦνται, αἱ μὲν ἐκ τῶν δεξιῶν εἰς τὰ ἀριστερὰ ὑπὸ τὸν μαστὸν καὶ εἰς τὸν σπλῆνά τε καὶ εἰς τὸν νεφρόν, αἱ δ' ἀπὸ τῶν ἀριστερῶν εἰς τὸν δεξιὸν ἐκ τοῦ πνεύμονος [y] ὑπὸ τὸν μαστὸν καὶ ἦπαρ [z] καὶ εἰς τὸν νεφρόν· ἄμφω δὲ τελευτῶσιν εἰς τὸν [a] ὄρχιν. Αἱ δὲ τέταρται ἀπὸ τοῦ ἔμπροσθεν τῆς κεφαλῆς καὶ τῶν 4
ὀφθαλμῶν ὑπὸ τὸν αὐχένα καὶ τὰς [b] κλεῖς· ἐντεῦθεν δὲ [c] τείνουσι διὰ τῶν βραχιόνων ἄνωθεν εἰς τὰς καμπάς, εἶτα διὰ τῶν [d] πήχεων ἐπὶ τοὺς καρποὺς καὶ τὰς συγκαμπάς, καὶ διὰ τῶν βραχιόνων τοῦ κάτωθεν μορίου [e] εἰς τὰς μασχάλας, καὶ ἐπὶ τῶν πλευρῶν ἄνωθεν, ἕως ἡ μὲν ἐπὶ τὸν σπλῆνα ἡ δ' ἐπὶ τὸ ἦπαρ ἀφίκηται· [f] εἶθ' ὑπὲρ τῆς γαστρὸς εἰς τὸ αἰδοῖον ἄμφω τελευτῶσιν.

Τὰ μὲν οὖν ὑπὸ τῶν ἄλλων εἰρημένα σχεδὸν ταῦτ' ἐστίν· 5
εἰσὶ δὲ καὶ τῶν [g] περὶ [h] φύσιν οἳ τοιαύτην μὲν [i] οὐκ [k] ἐπραγματεύθησαν ἀκριβολογίαν περὶ τὰς φλέβας, πάντες δ' ὁμοίως τὴν ἀρχὴν αὐτῶν ἐκ τῆς κεφαλῆς καὶ τοῦ ἐγκεφάλου ποιοῦσι, λέγοντες οὐ καλῶς. Χαλεπῆς δ' οὔσης, ὥσπερ 6
[l] εἴρηται, τῆς θεωρίας ἐν μόνοις τοῖς [m] ἀποπεπνιγμένοις τῶν ζῴων προλεπτυνθεῖσιν ἔστιν ἱκανῶς κατᾰμαθεῖν, εἴ τινι περὶ τῶν τοιούτων ἐπιμελές. Ἔχει δὲ τοῦτον τὸν τρόπον ἡ τῶν φλεβῶν φύσις. Δύο φλέβες εἰσὶν ἐν τῷ θώρακι κατὰ τὴν 7
[n] ῥάχιν ἐντός, ἔστι δὲ κειμένη αὐτῶν ἡ μὲν μείζων ἐν τοῖς [o] ἔμπροσθεν, ἡ δ' ἐλάττων ὄπισθεν ταύτης, καὶ ἡ μὲν μείζων ἐν τοῖς δεξιοῖς μᾶλλον, ἡ δ' ἐλάττων ἐν τοῖς ἀριστεροῖς, ἣν

n περὶ Aa.Ca. o φέρουσι P.Da. p περὶ Aa. q ψύας Aa, ψυὰς Ca. r εἰς om. Aa.Ca. s καὶ διὰ] ἤδη P. t ἔνδοθεν τοῦ P.Da. v ψυὰς καὶ ὄρχεις Aa.Ca. w τοὺς Aa. x ὠμοπλατίας P. y ὑπὸ] εἰς P.Da. z καὶ εἰς τὸν νεφρόν om. Aa.Ca. a ἀρχόν Aa.Ca. b κλεῖδας Aa.Ca. c τείνουσι om. P.Da. d πηχέων Ca, παχέων P. e εἰς] ὑπὸ Aa. f εἶθ'] αἱ δ' Aa.Ca. g παρὰ P. h φύσεως Aa. i οὐκέτ' P.Da. k ἐπραγματεύθημεν pr. Aa. l εἴρηται πρότερον τῆς Aa.Ca. m ἀποπνιγομένοις Da. n ῥάχιν μὲν ἐντὸς δὲ κείμεναι ταύτης ἡ P.Da. o πρόσθεν P.Da.

Digitized by Google

[p] καλοῦσί τινες ἀορτὴν ἐκ τοῦ τεθεᾶσθαι καὶ ἐν τοῖς τεθνεῶσι
8 τὸ νευρῶδες αὐτῆς μόριον. Αὗται δ' ἔχουσι τὰς ἀρχὰς ἀπὸ
τῆς καρδίας· διὰ μὲν γὰρ τῶν ἄλλων σπλάγχνων, ἢ τυγχά-
νουσι τείνουσαι, ὅλαι δι' αὐτῶν διέρχονται σῳζόμεναι καὶ
οὖσαι φλέβες, ἡ δὲ καρδία ὥσπερ μόριον αὐτῶν ἐστί, καὶ
μᾶλλον τῆς [q] ἐμπροσθίας καὶ μείζονος, [r] διὰ τὸ ἄνω μὲν καὶ
κάτω τὰς φλέβας εἶναι ταύτας, ἐν μέσῳ δ' αὐτῶν τὴν καρ-
9 δίαν. [s] Ἔχουσι δ' αἱ [t] καρδίαι πᾶσαι μὲν [u] κοιλίας ἐν αὑταῖς,
ἀλλ' αἱ μὲν τῶν σφόδρα μικρῶν ζῴων μόλις φανερὰν τὴν
μεγίστην ἔχουσι, τὰ δὲ μέσα τῷ μεγέθει τῶν ζῴων καὶ τὴν
10 ἑτέραν, τὰ δὲ μέγιστα [v] τὰς τρεῖς. [w] Ἔστι δὲ τῆς καρ-
δίας τὸ ὀξὺ ἐχούσης εἰς τὸ πρόσθεν, καθάπερ εἴρηται [x] πρό-
τερον, [y] ἡ μεγίστη μὲν κοιλία ἐν τοῖς δεξιοῖς καὶ ἀνωτάτω
[z] αὐτῆς, ἡ δ' ἐλαχίστη ἐν τοῖς ἀριστεροῖς, ἡ δὲ μέση μεγέθει
τούτων ἐν τῷ μέσῳ ἀμφοῖν· ἀμφότεραι [a] δὲ [b] πολλῷ ἐλάτ-
11 τους εἰσὶ τῆς μεγίστης. Συντέτρηνται μέντοι [c] πᾶσαι αὗ-
ται πρὸς τὸν πλεύμονα, ἀλλ' ἄδηλοι διὰ [d] σμικρότητα τῶν
πόρων πλὴν μιᾶς. [e] Ἡ μὲν οὖν μεγάλη φλὲψ ἐκ τῆς [f] μεγί-
στης ἤρτηται κοίλιας τῆς ἄνω καὶ ἐν τοῖς δεξιοῖς, εἶτα διὰ
τοῦ κοίλου τοῦ μέσου [g] τείνεται πάλιν φλέψ, ὡς οὔσης τῆς
12 κοιλίας μορίου τῆς φλεβὸς ἐν ᾧ λιμνάζει τὸ αἷμα. [h] Ἡ δὲ
ἀορτὴ ἀπὸ τῆς μέσης· πλὴν οὐχ οὕτως ἀλλὰ κατὰ στενω-
τέραν σύριγγα [i] πολλῷ κοινωνεῖ. Καὶ ἡ μὲν φλὲψ διὰ τῆς
13 καρδίας, εἰς δὲ τὴν ἀορτὴν ἀπὸ τῆς καρδίας τείνει. Καὶ
ἔστιν ἡ μὲν μεγάλη φλὲψ ὑμενώδης καὶ δερματώδης, ἡ δ'
ἀορτὴ στενωτέρα μὲν ταύτης, σφόδρα δὲ νευρώδης· καὶ ἀπο-
τεινομένη πόρρω [k] πρός τε τὴν κεφαλὴν καὶ πρὸς τὰ κάτω
14 μόρια στενή τε γίνεται καὶ νευρώδης πάμπαν. Τείνει δὲ
πρῶτον [l] μὲν ἄνω ἀπὸ τῆς καρδίας τῆς μεγάλης [m] φλεβὸς

[p] τινὲς καλοῦσιν P. [q] προσθίας Ca. [r] διὰ τὸ] ὥστε P.Da. [s] πᾶσαι μὲν καρδίαι P.Da. [t] κοιλίαν P.Aa.Ca.Da. [v] τὰς] πάσας τὰς P.Da. [w] ἔτι Aa.Ca. [x] πρότερον om. P. [y] ἡ om. Aa.Ca. [z] ταύτης P.Da. [a] δὲ] δὲ αἱ δύο P.Da. [b] πολλῷ] πολλαὶ P. [c] αὗται πᾶσαι Da. [d] μικρότητα Ca. [e] μεγίστης] μεγάλης Aa. [f] γίνεται P.Ca.Da. [g] πολλῶν Aa. [h] πρὸς om. Aa. [i] μὲν om. Aa.Ca. [k] φλεβὸς—μεγάλη om. P.

Digitized by Google

μόριον πρὸς τὸν πλεύμονα καὶ τὴν σύναψιν τῆς ἀορτῆς, ἄσχιστος καὶ μεγάλη οὖσα φλέψ. Σχίζεται δ' [l]ἀπ' αὐτῆς μόρια δύο, τὸ μὲν ἐπὶ τὸν πλεύμονα, τὸ δ' ἐπὶ τὴν ῥάχιν καὶ τὸν ὕστατον τοῦ τραχήλου σφόνδυλον. [t]Ἡ μὲν οὖν ἐπὶ τὸν 15
πλεύμονα τείνουσα φλὲψ εἰς διμερῆ ὄντ' αὐτὸν διχῇ σχίζεται πρῶτον, εἶτα παρ' ἑκάστην σύριγγα καὶ ἕκαστον τρῆμα τείνει, [m]μείζων μὲν [n]παρὰ τὰ μείζω, ἐλάττων δὲ [n]παρὰ τὰ ἐλάττω, οὕτως ὥστε μηδὲν εἶναι μόριον λαβεῖν ἐν ᾧ οὐ [o]τρῆμά τ' ἔνεστι καὶ φλέβιον· τὰ γὰρ τελευταῖα τῷ μεγέθει ἄδηλα διὰ [p]τὴν μικρότητά ἐστιν, [q]ἀλλὰ πᾶς ὁ πλεύμων φαίνεται μεστὸς [r]ὧν αἵματος. [t]Ἐπάνω δ' οἱ ἀπὸ τῆς φλε- 16
βός εἰσι πόροι τῶν ἀπὸ τῆς ἀρτηρίας συρίγγων τεινουσῶν. [t]Ἡ δ' ἐπὶ τὸν σφόνδυλον τοῦ τραχήλου τείνουσα φλὲψ καὶ τὴν ῥάχιν πάλιν παρὰ τὴν ῥάχιν τείνει· ἣν καὶ [v]Ὅμηρος ἐν τοῖς ἔπεσιν εἴρηκε ποιήσας

ἀπὸ δὲ φλέβα πᾶσαν ἔκερσεν,
[s]ἣ τ' ἀνὰ νῶτα θέουσα [t]διαμπερὲς αὐχέν' [v]ἱκάνει.

[t]Ἀπὸ δὲ ταύτης τείνουσι παρά τε τὴν πλευρὰν [w]ἑκάστην 17
φλέβια καὶ πρὸς ἕκαστον [x]τὸν σφόνδυλον, κατὰ δὲ τὸν ὑπὲρ τῶν νεφρῶν σφόνδυλον σχίζεται διχῇ. Ταῦτα μὲν [y]οὖν τὰ μόρια [z]ἀπὸ τῆς μεγάλης φλεβὸς [a]τοῦτον ἔσχισται τὸν τρόπον· ὑπεράνω δὲ τούτων ἀπὸ τῆς ἐκ τῆς καρδίας τεταμένης πάλιν ἡ ὅλη σχίζεται εἰς δύο τόπους. Αἱ μὲν 18
γὰρ φέρουσιν εἰς τὰ πλάγια καὶ τὰς κλεῖδας, κἄπειτα διὰ τῶν μασχαλῶν τοῖς μὲν ἀνθρώποις εἰς τοὺς βραχίονας, τοῖς δὲ τετράποσιν εἰς τὰ πρόσθια σκέλη τείνουσι, τοῖς δὲ ὄρνισιν εἰς τὰς πτέρυγας, τοῖς δ' ἰχθύσιν εἰς τὰ πτερύγια τὰ πρανῆ. Αἱ δ' ἀρχαὶ τούτων τῶν φλεβῶν, ᾗ σχίζονται τὸ 19
πρῶτον, καλοῦνται [b]σφαγίτιδες· ᾗ δὲ σχίζονται εἰς τὸν

[l] ἀπὸ ταύτης P.D[a]. [m] μείζω A[a]. [n] περὶ τὰ pr. A[a], παρὰ τὴν corr., idque utrobique. [o] τρήματα ἔνεστι P.D[a]. [p] τὴν om. P.D[a]. [q] ἀλλ' ὁ ἅπας A[a].C[a]. [r] αἵματος ὧν P.D[a]. [s] ἣ τ' ἀνὰ] ἣ διὰ P.D[a]. [t] διαμπαρὲς P. [v] ἵκανεν P.D[a]. [w] ἑκάστη pr. A[a]. [x] τὸν post ἕκαστον om. P.D[a]. [y] οὖν om. P. [z] ἀπὸ om. P.D[a]. [a] ἔσχισται τοῦτον D[a]. [b] σφραγίτιδες P.

Digitized by Google

αὐχένα ἀπὸ τῆς μεγάλης φλεβός, [c] παρὰ τὴν ἀρτηρίαν τείνουσι [d] τὴν τοῦ [e] πλεύμονος· ὧν ἐπιλαμβανομένων ἐνίοτε ἔξωθεν ἄνευ πνιγμοῦ καταπίπτουσιν οἱ ἄνθρωποι μετ' ἀναισθησίας, τὰ βλέφαρα [f] συμβεβληκότες. Οὕτω δὲ τείνουσαι, καὶ μεταξὺ λαμβάνουσαι τὴν ἀρτηρίαν, φέρουσι [g] μέχρι τῶν ὤτων, ἢ συμβάλλουσιν αἱ γένυες τῆς κεφαλῆς. Πάλιν δ' ἐντεῦθεν εἰς τέτταρας σχίζονται φλέβας, ὧν μία μὲν ἐπανακάμψασα καταβαίνει διὰ τοῦ τραχήλου καὶ τοῦ ὤμου, καὶ συμβάλλει τῇ πρότερον ἀποσχίσει τῆς φλεβὸς κατὰ τὴν τοῦ βραχίονος καμπήν, τὸ δ' ἕτερον μόριον εἰς τὴν χεῖρα τελευτᾷ καὶ τοὺς δακτύλους· μία δ' ἑτέρα ἀφ' ἑκατέρου τοῦ τόπου τοῦ περὶ τὰ ὦτα ἐπὶ τὸν ἐγκέφαλον τείνει, καὶ σχίζεται εἰς πολλὰ καὶ λεπτὰ φλέβια εἰς τὴν καλουμένην μήνιγγα τὴν περὶ τὸν ἐγκέφαλον. Αὐτὸς δ' ὁ ἐγκέφαλος ἄναιμος πάντων ἐστί, καὶ οὔτε [h] μικρὸν οὔτε μέγα φλέβιον τελευτᾷ εἰς αὐτόν. Τῶν δὲ λοιπῶν τῶν ἀπὸ τῆς φλεβὸς ταύτης σχισθεισῶν φλεβῶν αἱ μὲν τὴν κεφαλὴν κύκλῳ περιλαμβάνουσιν, αἱ δ' εἰς τὰ αἰσθητήρια [i] ἀποτελευτῶσι καὶ τοὺς ὀδόντας λεπτοῖς πάμπαν φλεβίοις. Τὸν [k] δ' αὐτὸν τρόπον καὶ [l] τὰ τῆς ἐλάττονος φλεβός, καλουμένης δ' ἀορτῆς, ἔσχισται μέρη, συμπαρακολουθοῦντα τοῖς τῆς μεγάλης· πλὴν ἐλάττους οἱ πόροι καὶ τὰ φλέβια πολλῷ [m] ἐλάττω [n] ταῦτ' ἐστὶ τῶν τῆς μεγάλης φλεβός.

2 Τὰ μὲν οὖν ἄνωθεν τῆς καρδίας τοῦτον ἔχουσι τὸν τρόπον αἱ φλέβες· τὸ δ' [o] ὑποκάτω τῆς καρδίας [p] μέρος τῆς μεγάλης φλεβὸς τείνει μετέωρον διὰ τοῦ ὑποζώματος, συνέχεται δὲ καὶ πρὸς τὴν ἀορτὴν καὶ πρὸς τὴν ῥάχιν πόροις ὑμενώδεσι καὶ χαλαροῖς. Τείνει δ' ἀπ' αὐτῆς [q] μία μὲν διὰ τοῦ ἥπατος φλέψ, βραχεῖα μὲν πλατεῖα δέ, ἀφ' ἧς πολλαὶ καὶ λεπταὶ

[c] περὶ Aª. [d] τὴν τοῦ] τὰ τοῦ pr. Aª. [e] πνεύματος Cª. [f] συμβεβηκότες pr. Aª. [g] μέχρι] μεταξὺ P.Dª. [h] μέγα οὔτε μικρὸν φλεβίον ἐντελευτᾷ P.Dª. [i] ἀποτελευτᾷ pr. Aª. [k] αὐτὸν δὲ P.Cª.Dª. [l] τὰ om. Aª. [m] ἐλάττω om. P.Dª. [n] ταύτης Aª. [o] ὑποκάτω] εἰς τὸ κάτω P.Dª. [p] μέρος] μέγεθος P. [q] μὲν μία Aª.

Digitized by Google

εἰς τὸ ἧπαρ ἀποτείνουσαι ἀφανίζονται. Δύο δ' ἀπὸ τῆς 3
[r] διὰ τοῦ ἥπατος φλεβὸς ἀποσχίσεις εἰσίν, ὧν ἡ μὲν εἰς τὸ
ὑπόζωμα τελευτᾷ καὶ τὰς καλουμένας φρένας, ἡ δὲ πάλιν
ἐπανελθοῦσα διὰ τῆς μασχάλης εἰς τὸν βραχίονα τὸν δεξιὸν
[s] συμβάλλει ταῖς ἑτέραις φλεψὶ κατὰ τὴν ἐντὸς καμπήν·
διὸ [t] ἀποσχαζόντων τῶν ἰατρῶν ταύτην ἀπολύονται τινῶν
πόνων περὶ τὸ ἧπαρ. [u] Ἐκ δὲ τῶν ἀριστερῶν αὐτῆς μικρὰ 4
μὲν παχεῖα δὲ φλὲψ τείνει εἰς τὸν σπλῆνα, καὶ ἀφανίζεται
τὰ ἀπ' αὐτῆς φλέβια εἰς τοῦτον. [v] Ἕτερον δὲ μέρος ἀπὸ
τῶν ἀριστερῶν τῆς μεγάλης φλεβὸς ἀποσχισθὲν τὸν αὐτὸν
τρόπον ἀναβαίνει [v] εἰς τὸν ἀριστερὸν βραχίονα· πλὴν ἐκείνη
μὲν ἡ διὰ τοῦ ἥπατός ἐστιν, αὕτη δ' ἑτέρα τῆς εἰς τὸν
σπλῆνα τεινούσης. [w] Ἔτι δ' ἄλλαι ἀπὸ τῆς μεγάλης φλε- 5
βὸς ἀποσχίζονται, ἡ μὲν ἐπὶ τὸ [w] ἐπίπλοον, ἡ δ' ἐπὶ τὸ
καλούμενον [x] πάγκρεας. [y] Ἀπὸ δὲ ταύτης πολλαὶ φλέβες
διὰ τοῦ μεσεντερίου τείνουσιν. Πᾶσαι δ' αὗται εἰς μίαν
φλέβα [y] τελευτῶσι μεγάλην, [z] παρὰ πᾶν τὸ ἔντερον καὶ τὴν
κοιλίαν μέχρι τοῦ στομάχου τεταμένην. Καὶ περὶ ταῦτα 6
τὰ μόρια πολλαὶ ἀπ' αὐτῶν σχίζονται φλέβες. Μέχρι μὲν
οὖν τῶν νεφρῶν μία οὖσα ἑκατέρα τείνει, καὶ ἡ ἀορτὴ καὶ ἡ
μεγάλη φλέψ· ἐνταῦθα δὲ πρός τε τὴν [a] ῥάχιν μᾶλλον
[b] προσπεφύκασι, καὶ σχίζονται εἰς δύο [c] ὡσπερεὶ [d] λάβδα
[e] ἑκάτερα, καὶ γίνεται εἰς [f] τοὔπισθεν μᾶλλον ἡ μεγάλη
φλὲψ τῆς ἀορτῆς. Προσπέφυκε δ' ἡ ἀορτὴ μάλιστα τῇ 7
ῥάχει περὶ τὴν καρδίαν· ἡ δὲ πρόσφυσίς ἐστι φλεβίοις νευ-
ρώδεσι καὶ μικροῖς. [u] Ἔστι δ' ἡ ἀορτὴ ἀπὸ μὲν τῆς καρδίας
ἀγομένη εὖ μάλα κοίλη, προϊοῦσα δ' [g] ἐπιστενωτέρα καὶ
[h] νευρωδεστέρα. Τείνουσι δὲ [i] καὶ ἀπὸ τῆς ἀορτῆς εἰς τὸ 8
μεσεντέριον φλέβες ὥσπερ αἱ ἀπὸ τῆς μεγάλης φλεβός,

[r] διὰ om. A[a]. [s] συμβαίνει A[a]. [t] ἀποσχιζόντων C[a]. et pr. A[a].
[v] ἐπὶ A[a].C[a]. [w] ἔπιπλον C[a]. [x] πᾶν κρέας A[a], πανκρέας P. [y] τελευ-
τῶσι μεγάλαι P, μεγάλην τελευτῶσι A[a].C[a]. [z] παρ' ἅπαν C[a]. [a] ῥάχιν]
ἀρχὴν P.D[a]. [b] πεφύκασι C[a]. [c] ὥσπερ εἰς C[a].D[a]. [d] λάμβδα A[a].C[a].D[a].
[e] ἑκάτεραι P.C[a]. [f] τοὔπισθε D[a]. [g] ἐπιστενότερα P, ἐπὶ στενότερα D[a],
ἔτι στενο(vel ω)τέρα A[a].C[a]. [h] νευρωδέστερα P.D[a]. [i] καὶ om. A[a].

Digitized by Google

πλὴν πολλῷ λειπόμεναι τῷ μεγέθει· στεναὶ γάρ εἰσι καὶ ἰνώδεις· λεπτοῖς γὰρ καὶ [k]κοίλοις καὶ ἰνώδεσι τελευτῶσι φλεβίοις. Εἰς δὲ τὸ ἦπαρ καὶ τὸν σπλῆνα οὐδεμία τείνει
9 ἀπὸ τῆς ἀορτῆς φλέψ. Αἱ δὲ σχίσεις ἑκατέρας τῆς φλεβὸς τείνουσιν εἰς τὸ ἰσχίον ἑκάτερον, καὶ καθάπτουσιν εἰς τὸ ὀστοῦν ἀμφότεραι. Φέρουσι δὲ καὶ εἰς τοὺς νεφροὺς ἀπό τε τῆς μεγάλης φλεβὸς καὶ τῆς ἀορτῆς φλέβες· πλὴν οὐκ εἰς τὸ κοῖλον ἀλλ' εἰς τὸ σῶμα καταναλίσκονται τῶν νε-
10 φρῶν. [l]Ἀπὸ μὲν οὖν τῆς ἀορτῆς ἄλλοι δύο πόροι φέρουσιν εἰς τὴν κύστιν, ἰσχυροὶ καὶ συνεχεῖς, καὶ ἄλλοι ἐκ τοῦ κοίλου
11 τῶν νεφρῶν, [l]οὐδὲν κοινωνοῦντες τῇ μεγάλῃ φλεβί. [l]Ἐκ μέσου δὲ τῶν νεφρῶν ἑκατέρου φλὲψ κοίλη καὶ νευρώδης ἐξήρτηται, τείνουσα παρ' αὐτὴν τὴν ῥάχιν διὰ τῶν [m]φλεβῶν· εἶτα εἰς ἑκάτερον τὸ ἰσχίον ἀφανίζεται ἑκατέρα πρῶτον, ἔπειτα [n]δῆλαι γίγνονται πάλιν διατεταμέναι πρὸς τὸ
12 ἰσχίον. Καθάπτουσι [o]δὲ πρὸς τὴν κύστιν καὶ τὸ αἰδοῖον τὰ πέρατα αὐτῶν ἐν τοῖς ἄρρεσιν, ἐν δὲ τοῖς θήλεσι πρὸς τὰς ὑστέρας. Τείνει δ' ἀπὸ μὲν [p]τῆς μεγάλης φλεβὸς οὐδεμία εἰς τὰς ὑστέρας, ἀπὸ δὲ τῆς ἀορτῆς πολλαὶ καὶ
13 πυκναί. Τείνουσι δ' [q]ἀπὸ τῆς ἀορτῆς καὶ τῆς μεγάλης φλεβὸς [r]ἀπὸ τῶν σχιζομένων καὶ ἄλλαι, [s]αἱ μὲν ἐπὶ τοὺς βουβῶνας πρῶτον μεγάλαι καὶ κοῖλαι, ἔπειται διὰ τῶν σκελῶν τελευτῶσιν εἰς τοὺς πόδας [t]καὶ τοὺς δακτύλους· καὶ πάλιν ἕτεραι διὰ τῶν βουβώνων καὶ τῶν μηρῶν φέρουσιν ἐναλλάξ, ἡ μὲν [v]ἐκ τῶν ἀριστερῶν εἰς τὰ δεξιά, ἡ δ' [w]εἰς τὰ ἀριστερὰ ἐκ τῶν δεξιῶν· καὶ συνάπτουσι περὶ τὰς ἰγνύας ταῖς ἑτέραις φλεψίν.

14 [x]Ὃν μὲν οὖν τρόπον ἔχουσιν αἱ φλέβες καὶ πόθεν ἤρτηνται τὰς ἀρχάς, φανερὸν ἐκ τούτων. [y]Ἔχει δ' ἐν ἅπασι μὲν

[k] κοίλοις] ποικίλοις A^a.C^a. [l] οὐδὲ pr. A^a. [m] νευρῶν A^a. [n] γίγνονται δῆλαι P.D^a. [o] δὲ πάλιν πρὸς P.D^a. [p] τῆς φλεβὸς τῆς μεγάλης P.D^a. [q] ἀπό τε τῆς P.D^a. [r] ἀπὸ τῶν σχ.] ἀποσχιζομένων interpretes veteres. [s] αἱ om. P.D^a. [t] καὶ εἰς τοὺς A^a.C^a. [v] εἰς τὰ δεξιὰ ἐκ τῶν ἀριστερῶν C^a, ἐκ τῶν δεξιῶν εἰς τὰ ἀριστερά A^a. [w] ἐκ τῶν ἀριστερῶν εἰς τὰ δεξιά A^a.

Digitized by Google

οὕτω τοῖς ἐναίμοις ζῴοις τὰ περὶ τὰς ἀρχὰς καὶ τὰς μεγίστας φλέβας (x τὸ γὰρ ἄλλο πλῆθος τῶν φλεβῶν οὐχ ὡσαύτως ἔχει πᾶσιν· οὐδὲ γὰρ τὰ μέρη τὸν αὐτὸν τρόπον ἔχουσιν, οὐδὲ y ταῦτα πάντα ἔχουσιν), z οὐ a μὴν οὐδ' ὁμοίως ἐν b ἅπασίν ἐστι φανερόν, ἀλλὰ μάλιστα ἐν τοῖς c μάλιστα πολυαίμοις καὶ μεγίστοις. Ἐν γὰρ τοῖς μικροῖς καὶ μὴ πολυαίμοις 15
ἢ διὰ φύσιν ἢ διὰ d ποιότητα τοῦ σώματος οὐχ ὁμοίως ἔστι καταμαθεῖν· τῶν μὲν γὰρ οἱ πόροι συγκεχυμένοι καθάπερ ὀχετοί τινες ὑπὸ πολλῆς ἰλύος εἰσίν, e οἱ δ' ὀλίγας καὶ ταύτας ἴνας ἀντὶ φλεβῶν ἔχουσιν. f Ἡ δὲ μεγάλη φλὲψ ἐν πᾶσι μάλιστα διάδηλος, καὶ τοῖς μικροῖς.

Τὰ δὲ νεῦρα τοῖς ζῴοις ἔχει f τόνδε τὸν τρόπον. Ἡ μὲν 5
ἀρχὴ καὶ τούτων ἐστὶν g ἐκ τῆς καρδίας· καὶ γὰρ ἐν αὐτῇ h ἡ καρδία ἔχει νεῦρα ἐν τῇ μεγίστῃ κοιλίᾳ, καὶ ἡ καλουμένη ἀορτὴ νευρώδης ἐστὶ φλέψ, τὰ μὲν τελευταῖα καὶ παντελῶς αὐτῆς· i ἄκοιλα γάρ ἐστι, καὶ τάσιν ἔχει τοιαύτην οἵαν περ τὰ νεῦρα, k ᾗ τελευτᾷ πρὸς τὰς καμπὰς τῶν ὀστῶν. Οὐ μὴν 2
ἀλλ' οὐκ ἔστι συνεχὴς ἡ τῶν νεύρων φύσις ἀπὸ μιᾶς ἀρχῆς, ὥσπερ αἱ φλέβες. Αἱ μὲν γὰρ φλέβες, ὥσπερ ἐν τοῖς γρα- 3
φομένοις l κανάβοις, τὸ τοῦ σώματος ἔχουσι σχῆμα παντὸς οὕτως ὥστ' ἐν τοῖς σφόδρα m λελεπτυσμένοις πάντα τὸν ὄγκον φαίνεσθαι πλήρη φλεβίων (γίνεται γὰρ ὁ αὐτὸς τόπος λεπτῶν μὲν ὄντων φλέβια, παχυνθέντων δὲ σάρκες), τὰ δὲ νεῦρα διεσπασμένα περὶ τὰ ἄρθρα καὶ τὰς τῶν ὀστῶν ἐστὶ κάμψεις. Εἰ δ' ἦν συνεχὴς ἡ φύσις αὐτῶν, ἐν τοῖς λελεπτυ- 4
σμένοις ἂν καταφανὴς n ἐγίνετο ἡ συνέχεια πάντων. Μέγιστα δὲ μέρη τῶν νεύρων τό τε περὶ τὸ μόριον τὸ τῆς ἅλσεως κύριον (καλεῖται δὲ τοῦτο ἰγνύα), καὶ ἕτερον o νεῦρον

x τὸ μὲν γὰρ D^a. y τὰ αὐτὰ πάντα C^a, πάντα τὰ αὐτὰ P.D^a. z οὐ] οὐδὲ ταῦτα A^a, οὐδὲ P.D^a. a μὴν om. P.D^a. b πᾶσίν P.D^a. c μάλιστα post τοῖς om. D^a. d ποιότητα P. e δὲ οἱ P.D^a. f τόνδε] τοῦτον D^a. g ἐκ] ἀπὸ A^a.C^a. h ἡ καρδία νεῦρα ἔχει A^a, ἔχει νεῦρα ἡ καρδία P.D^a. i ἀκοιλία C^a. k ᾗ A^a. l καράβοις A^a.C^a. m λεπτυνομένοις A^a.C^a. n ἐγένετο P. o νεῦρον] νεῦρον ἐστι A^a, τὸ νεῦρον C^a.

Digitized by Google

διπτυχές, [p] ὁ τένων, καὶ τὰ πρὸς τὴν ἰσχὺν βοηθητικά, ἐπί-
5 τονός τε καὶ [q] ὠμιαία. Τὰ δ' ἀνώνυμα περὶ τὴν τῶν ὀστῶν
ἐστὶ κάμψιν· πάντα γὰρ τὰ ὀστᾶ, ὅσα [r] ἁπτόμενα πρὸς
ἄλληλα σύγκειντται, [s] συνδέδενται νεύροις, καὶ περὶ πάντα
ἐστὶ τὰ ὀστᾶ πλῆθος νεύρων. [t] Πλὴν ἐν τῇ κεφαλῇ οὐκ
ἔστιν οὐδέν, ἀλλ' αἱ ῥαφαὶ [v] αὐταὶ τῶν ὀστῶν συνέχουσιν
6 αὐτήν. [w] Ἔστι δ' ἡ τοῦ νεύρου φύσις σχιστὴ κατὰ μῆκος,
κατὰ δὲ πλάτος ἄσχιστος καὶ τάσιν ἔχουσα πολλήν. [x] Ὑγρό-
της δὲ περὶ ταῦτα μυξώδης γίνεται, λευκὴ καὶ κολλώδης, ᾗ
τρέφεται καὶ ἐξ ἧς γιγνόμενα φαίνεται. [y] Ἡ μὲν οὖν φλὲψ
δύναται πυροῦσθαι, νεῦρον δὲ πᾶν φθείρεται πυρωθέν· κἂν
7 διακοπῇ, οὐ συμφύεται πάλιν. Οὐ λαμβάνει δ' οὐδὲ νάρκη,
ὅπου μὴ νεῦρόν ἐστι τοῦ σώματος. Πλεῖστα δ' ἐστὶ νεῦρα
[z] περὶ τοὺς πόδας καὶ τὰς χεῖρας [a] καὶ πλευρὰς καὶ ὠμοπλά-
τας καὶ περὶ τὸν αὐχένα καὶ [b] τοὺς βραχίονας. [c] Ἔχει δὲ
νεῦρα πάντα ὅσα ἔχει αἷμα· ἀλλ' ἐν οἷς μή εἰσι καμπαὶ
ἀλλ' ἄποδα καὶ ἄχειρά [d] ἐστι, λεπτὰ καὶ ἄδηλα· διὸ τῶν
[e] ἰχθύων μάλιστά ἐστι δῆλα πρὸς τοῖς πτερυγίοις.

6 Αἱ δὲ ἶνές εἰσι μεταξὺ νεύρου καὶ φλεβός. [f] Ἔνιαι δ' αὐ-
τῶν ἔχουσιν ὑγρότητα τὴν τοῦ ἰχῶρος, καὶ διέχουσιν ἀπό τε
τῶν νεύρων πρὸς τὰς φλέβας καὶ ἀπ' ἐκείνων πρὸς τὰ νεῦρα.
Ἔστι δὲ καὶ ἄλλο γένος ἰνῶν, ὃ γίνεται μὲν ἐν αἵματι, οὐκ
ἐν ἅπαντος δὲ ζῴου αἵματι· ὧν ἐξαιρουμένων ἐκ τοῦ αἵματος
2 οὐ πήγνυται τὸ αἷμα, ἐὰν δὲ μὴ ἐξαιρεθῶσι, πήγνυται. [g] Ἐν
μὲν οὖν τῷ τῶν πλείστων [f] αἵματι ζῴων [g] ἔνεισιν, ἐν δὲ τῷ
τῆς ἐλάφου καὶ προκὸς καὶ βουβαλίδος καὶ ἄλλων τινῶν οὐκ
[g] ἔνεισιν ἶνες· διὸ καὶ οὐ πήγνυται αὐτῶν τὸ αἷμα ὁμοίως τοῖς
ἄλλοις, ἀλλὰ τὸ [h] μὲν τῶν ἐλάφων παραπλησίως τῷ τῶν

[p] ὁ τένων om. P.D[a]. [q] ὠμιδία C[a]. [r] ἅπτονται ἡ πρὸς P.D[a].
[s] συνδέδεται A[a]. [t] πλὴν ἐν] ἐν δὲ A[a].C[a]. [v] αὐταὶ] αὐτῶν P.C[a].D[a].
[w] κατὰ τὸ μ. κατὰ δὲ τὸ πλ. A[a].C[a]. [x] αὐτὰ A[a].C[a]. [y] πυρροῦσθαι A[a].
[z] περί τε τοὺς A[a]. [a] καὶ πλευρὰ A[a], om. P.D[a]. [b] τοὺς] περὶ τοὺς
A[a].C[a]. [c] ὅσαπερ ἔχει C[a]. [d] ἐστι καὶ λεπτὰ D[a]. [e] ἰχθύων καὶ
μάλιστά P.D[a]. [f] ζώων αἵματι D[a]. [g] εἰσὶν P.D[a]. [h] μὲν] μὲν
τὸ P.

Digitized by Google

δασυπόδων (ἔστι δ' ἀμφοτέρων αὐτῶν ἡ πῆξις οὐ [i]στιφρά, καθάπερ ἡ τῶν ἄλλων, ἀλλὰ πλαδῶσα, καθάπερ [k] ἡ τοῦ γάλακτος, ἄν τις εἰς αὐτὸ τὸ πῆγμα [l] μὴ [m] ἐμβάλῃ), τὸ δὲ τῆς βουβαλίδος πήγνυται μᾶλλον· παραπλησίως γὰρ συνίσταται ἢ μικρῷ ἧττον τοῦ τῶν προβάτων.

Περὶ μὲν οὖν φλεβὸς καὶ [n] νεύρου καὶ [o] ἰνὸς τοῦτον ἔχει τὸν τρόπον. Τὰ δ' ὀστᾶ τοῖς ζῴοις ἀφ' ἑνὸς πάντα [p] συνηρ- 7
τημένα ἐστὶ καὶ συνεχῆ ἀλλήλοις ὥσπερ αἱ φλέβες· αὐτὸ δὲ καθ' αὑτὸ οὐδέν ἐστιν ὀστοῦν. [1] Ἀρχὴ δὲ ἡ ῥάχις ἐστὶν ἐν πᾶσι τοῖς ἔχουσιν [q] ὀστᾶ. Σύγκειται δ' ἡ ῥάχις ἐκ σφονδύλων, τείνει δ' ἀπὸ τῆς κεφαλῆς μέχρι πρὸς τὰ ἰσχία. Οἱ 2
μὲν οὖν σφόνδυλοι πάντες τετρημένοι εἰσίν, ἄνω δὲ τὸ τῆς κεφαλῆς ὀστοῦν συνεχές ἐστι τοῖς ἐσχάτοις σφονδύλοις, ὃ καλεῖται κρανίον. Τούτου δὲ τὸ πριονωτὸν μέρος [r] ῥαφή. [v] Ἔστι δὲ οὐ πᾶσιν ὁμοίως ἔχον τοῦτο τοῖς ζῴοις· τὰ μὲν 3
γὰρ ἔχει μονόστεον τὸ κρανίον, [s] ὥσπερ κύων, τὰ δὲ [t] συγκείμενον, ὥσπερ ἄνθρωπος, καὶ τούτου τὸ μὲν θῆλυ κύκλῳ ἔχει τὴν ῥαφήν, τὸ δ' ἄρρεν τρεῖς ῥαφὰς ἄνωθεν συναπτούσας, τριγωνοειδεῖς· ἤδη δ' ὤφθη καὶ ἀνδρὸς κεφαλὴ οὐκ ἔχουσα ῥαφάς. Σύγκειται δ' ἡ κεφαλὴ οὐκ ἐκ τεττάρων 4
ὀστῶν, ἀλλ' [v] ἐξ ἕξ· ἔστι δὲ δύο [w] τούτων περὶ τὰ ὦτα, μικρὰ [x] πρὸς τὰ λοιπά. [1] Ἀπὸ [y] δὲ τῆς κεφαλῆς αἱ σιαγόνες τείνουσιν ὀστᾶ. Κινεῖται δὲ τοῖς μὲν ἄλλοις ζῴοις ἅπασιν ἡ κάτωθεν σιαγών· ὁ δὲ κροκόδειλος ὁ ποτάμιος μόνος τῶν [z] ζῴων κινεῖ τὴν σιαγόνα τὴν ἄνωθεν. [1] Ἐν δὲ ταῖς σιαγόσιν 5
[a] ἔνεστι τὸ τῶν ὀδόντων γένος, ὀστοῦν τῇ μὲν ἄτρητον τῇ δὲ τρητόν, καὶ ἀδύνατον γλύφεσθαι τῶν ὀστῶν μόνον. [1] Ἀπὸ δὲ τῆς ῥάχεως ἥ τε [b] περόνη ἐστὶ καὶ αἱ [c] κλεῖς καὶ αἱ πλευ-

[i] στρυφνὰ A[a], στρυφρὰ C[a]. [k] ἡ ante τοῦ om. C[a]. [l] μὴ] αἷμα P.D[a]. et corr. A[a]. [m] ἐμβάλῃ C[a].D[a]. [n] νεύρων A[a].C[a]. [o] ἰνῶν A[a]. [p] συνήρτηται καὶ συνεχῆ ἐστιν P.D[a]. [q] ὀστοῦν A[a]. [r] ῥαφίς P.D[a]. [s] ὥσπερ εἴρηται ἔχειν ὁ κύων D[a]. [t] συγκείμενα A[a]. [v] ἐξ] ἐν P. [w] τούτων om. A[a]. [x] πρὸς] περὶ P. πρὸς τὰ λοιπὰ om. A[a]. [y] τῆς κεφαλῆς δὲ D[a]. [z] ζώων οὐ κινεῖ P.D[a]. [a] ἐστὶ A[a].C[a]. [b] περωνίς A[a].C[a]. et rc. P, qui pr. περώνη. [c] κλεῖδες A[a].C[a].

Digitized by Google

6 ραί. Ἔστι δὲ καὶ τὸ στῆθος ἐπὶ πλευραῖς κείμενον· ἀλλ' αὗται μὲν συνάπτουσιν, αἱ δ' ἄλλαι ἀσύναπτοι· [d] οὐδὲν γὰρ ἔχει ζῷον ὀστοῦν περὶ τὴν κοιλίαν. [e] Ἔτι δὲ τά τ' ἐν τοῖς ὤμοις ὀστᾶ, καὶ αἱ καλούμεναι ὠμοπλάται, καὶ τὰ τῶν βραχιόνων ἐχόμενα, [f] καὶ τούτων [g] τὰ ἐν ταῖς χερσίν. Ὅσα δ' ἔχει σκέλη πρόσθια, καὶ ἐν τούτοις τὸν αὐτὸν ἔχει τρόπον.
7 Κάτω δ' ἡ περαίνει, μετὰ τὸ ἰσχίον ἡ κοτυληδών ἐστι καὶ τὰ τῶν σκελῶν ἤδη ὀστᾶ, τά τ' ἐν τοῖς μηροῖς καὶ κνήμαις, [h] οἳ καλοῦνται [i] κωλῆνες, ὧν [k] μέρος τὰ σφυρά, καὶ τούτων τὰ καλούμενα πλῆκτρα ἐν τοῖς ἔχουσι σφυρόν· καὶ τούτοις
8 συνεχῆ τὰ ἐν τοῖς ποσίν. Ὅσα μὲν οὖν τῶν ἐναίμων καὶ πεζῶν ζῳοτόκα ἐστίν, οὐ πολὺ διαφέρει τὰ ὀστᾶ, ἀλλὰ κατ' ἀναλογίαν [l] μόνον σκληρότητι καὶ μαλακότητι καὶ μεγέθει. Ἔτι δὲ τὰ μὲν ἔχει μυελὸν τὰ δ' οὐκ ἔχει τῶν ἐν τῷ αὐτῷ
9 ζῴῳ ὀστῶν. Ἔνια δὲ ζῷα οὐδ' [m] ἂν ἔχειν [n] δόξειεν ὅλως μυελὸν ἐν τοῖς ὀστοῖς, οἷον λέων, διὰ τὸ πάμπαν ἔχειν μικρὸν καὶ λεπτὸν καὶ ἐν ὀλίγοις· ἔχει [o] γὰρ ἐν τοῖς μηροῖς καὶ βραχίοσιν. Στερεὰ δὲ [p] πάντων μάλιστα ὁ λέων ἔχει τὰ ὀστᾶ· οὕτω γάρ ἐστι σκληρὰ ὥστε συντριβομένων ὥσπερ ἐκ λίθων ἐκλάμπειν πῦρ. Ἔχει [q] καὶ ὁ δελφὶς ὀστᾶ, ἀλλ' οὐκ
10 ἄκανθαν. Τὰ δὲ τῶν ἄλλων ζῴων τῶν ἐναίμων τὰ μὲν μικρὸν παραλλάττει, οἷον τὰ τῶν ὀρνίθων, τὰ δὲ τῷ ἀνάλογόν ἐστι [r] ταὐτά, οἷον ἐν τοῖς ἰχθύσι· τούτων γὰρ τὰ μὲν ζῳοτοκοῦντα χονδράκανθά ἐστιν, οἷον τὰ καλούμενα σελάχη, τὰ δ' ᾠοτοκοῦντα ἄκανθαν ἔχει, ἥ ἐστιν [s] ὥσπερ τοῖς τετράποσιν ἡ
11 ῥάχις. Ἴδιον δὲ [t] ἐν τοῖς ἰχθύσιν, ὅτι [v] ἐν ἐνίοις εἰσὶ κατὰ τὴν σάρκα κεχωρισμένα ἀκάνθια λεπτά. Ὁμοίως δὲ καὶ [v] ὁ ὄφις ἔχει τοῖς ἰχθύσιν· ἀκανθώδης γὰρ ἡ ῥάχις αὐτοῦ ἐστίν. Τὰ δὲ τῶν τετραπόδων μὲν ᾠοτοκούντων δὲ τῶν μὲν μειζό-

[d] οὐδὲ pr. A^a. [e] ἔστι $A^a.C^a$. [f] καὶ om. P. [g] τὰ] ὅσα A^a. [h] ὅσοι $A^a.C^a$. [i] κατῆνες P. [k] τὰ σφυρὰ μέρος A^a. [l] μόνων] μᾶλλον $A^a.C^a$. [m] ἔχειν ἂν P.$C^a.D^a$. [n] δόξειεν οὐδ' ὅλως P. [o] γὰρ καὶ ἐν C^a. [p] μάλιστα ὁ λέων πάντων ἔχει τὰ ὀστέα P.D^a. [q] καὶ] δὲ καὶ A^a. [r] ταῦτα P.D^a. [s] ὥσπερ ἐν τοῖς $A^a.C^a$. [t] ἐν—ὄφις ἔχει om. C^a. [v] ἐν et mox ὁ om. P.D^a.

Digitized by Google

νων ὀστωδέστερά ἐστι, τῶν δ' ἐλαττόνων [w] ἀκανθωδέστερα. Πάντα δὲ τὰ ζῷα ὅσα ἔναιμά ἐστιν, ἔχει ῥάχιν [x] ἢ ὀστώδη 12
ἢ ἀκανθώδη· τὰ δ' ἄλλα μόρια τῶν [y] ὀστῶν ἐνίοις μέν ἐστιν,
ἐνίοις δ' οὐκ ἔστιν, ἀλλ' ὡς ὑπάρχει τοῦ ἔχειν τὰ μόρια, οὕτω
καὶ τοῦ ἔχειν τὰ ἐν τούτοις ὀστᾶ. [v]Οσα γὰρ μὴ ἔχει σκέλη 13
καὶ βραχίονας, οὐδὲ κωλῆνας ἔχει, οὐδ' ὅσα ταὐτὰ μὲν ἔχει
μόρια, μὴ ὅμοια δέ· καὶ γὰρ ἐν τούτοις ἢ [z] τῷ μᾶλλον καὶ
ἧττον διαφέρει ἢ [z] τῷ ἀνάλογον.

Τὰ μὲν οὖν περὶ [a] τὴν τῶν ὀστῶν [a] φύσιν τοῦτον ἔχει τὸν
τρόπον τοῖς ζῴοις· ἔστι δὲ καὶ ὁ χόνδρος τῆς αὐτῆς φύσεως 8
τοῖς ὀστοῖς, ἀλλὰ [b] τῷ μᾶλλον διαφέρει καὶ ἧττον. Καὶ
ὥσπερ οὐδ' ὀστοῦν οὐδ' ὁ χόνδρος αὐξάνεται, ἂν ἀποκοπῇ.
Εἰσὶ δ' ἐν μὲν τοῖς χερσαίοις καὶ ζῳοτόκοις τῶν ἐναίμων 2
ἄτρητοι [c] οἱ χόνδροι, καὶ οὐ γίνεται ἐν αὐτοῖς [d] ὥσπερ ἐν
τοῖς ὀστοῖς μυελός· ἐν δὲ τοῖς [e] σελάχεσιν (ταῦτα γάρ ἐστι
χονδράκανθα) [f] ἔνεστιν αὐτῶν ἐν τοῖς πλατέσι τὸ κατὰ τὴν
ῥάχιν ἀνάλογον τοῖς ὀστοῖς [g] χονδρῶδες, ἐν οἷς ὑπάρχει
ὑγρότης μυελώδης. [h] Τῶν ζῳοτοκούντων δὲ πεζῶν περί [i] τε
τὰ ὦτα χόνδροι εἰσὶ καὶ [k] τοὺς μυκτῆρας καὶ περὶ ἔνια ἀκρω-
τήρια τῶν ὀστῶν.

[v]Ετι δ' ἐστὶν ἄλλα γένη μορίων, οὔτε τὴν αὐτὴν ἔχοντα 9
φύσιν τούτοις οὔτε πόρρω τούτων, οἷον ὄνυχές τε καὶ ὁπλαὶ
καὶ χηλαὶ καὶ κέρατα, καὶ [l] ἔτι παρὰ ταῦτα ῥύγχος, οἷον
ἔχουσιν [m] οἱ ὄρνιθες, ἐν οἷς ὑπάρχει ταῦτα τὰ μόρια τῶν
ζῴων. Ταῦτα μὲν γὰρ καὶ καμπτὰ καὶ σχιστά, ὀστοῦν δ'
οὐδὲν [n] καμπτὸν οὐδὲ σχιστόν, ἀλλὰ θραυστόν. Καὶ τὰ 2
χρώματα [o] τῶν κεράτων καὶ [p] τῶν ὀνύχων καὶ χηλῆς καὶ
ὁπλῆς κατὰ τὴν τοῦ δέρματος [q] καὶ τῶν τριχῶν ἀκολουθεῖ

[w] ἀκανθ. ἐστί. πάντα A^a. [x] ἢ om. C^a. [y] ὀστ. ἐν ἐνίοις μέν ἐστιν ἐν ἐνίοις $A^a.C^a$. [z] τὸ P. [a] τὴν et φύσιν om. P.D^a. [b] τὸ P. [c] οἱ] καὶ οἱ D^a. [d] ὥσπερ] οἷον $A^a.C^a$. [e] σελαχώδεσι $A^a.C^a$. [f] ἔνεστι δ' αὐτῶν $A^a.C^a$. [g] χονδρώδες] τοῖς χονδρώδεσιν $A^a.C^a$. [h] τῶν δὲ ζωοτόκων (—οὑντων C^a.) καὶ τῶν πεζῶν $A^a.C^a$. [i] τε om. D^a. [k] τῶν μυκτήρων pr. A^a. [l] παρὰ ταῦτα ἔτι A^a. [m] οἱ om. $A^a.C^a$. [n] σχιστὸν οὐδὲ καμπτόν P.D^a. [o] τῶν] καὶ τῶν P. [p] τῶν om. A^a. [q] καὶ τὴν τῶν $A^a.C^a$.

Digitized by Google

χρόαν. Τῶν [r] τε γὰρ [s] μελανοδερμάτων μέλανα τὰ κέρατα καὶ [t] αἱ χηλαὶ καὶ [t] αἱ ὁπλαί, ὅσα χηλὰς ἔχει, καὶ τῶν λευ-
3 κῶν [v] λευκά, μεταξὺ δὲ [w] τὰ τῶν ἀνὰ μέσον. [u] Ἔχει δὲ καὶ περὶ τοὺς ὄνυχας τὸν αὐτὸν τρόπον. Οἱ δὲ ὀδόντες κατὰ τὴν τῶν ὀστῶν εἰσὶ φύσιν. Διόπερ τῶν μελάνων ἀνθρώπων, ὥσπερ Αἰθιόπων καὶ τῶν τοιούτων, οἱ μὲν ὀδόντες λευκοὶ καὶ τὰ ὀστᾶ, οἱ δ' ὄνυχες μέλανες, ὥσ[x]περ καὶ τὸ πᾶν δέρμα.
4 Τῶν δὲ κεράτων τὰ μὲν πλεῖστα [y] κοίλά [z] ἐστιν ἀπὸ τῆς προσφύσεως περὶ τὸ ἐντὸς ἐκπεφυκὸς ἐκ τῆς κεφαλῆς ὀστοῦν, ἐπ' ἄκρου δ' ἔχει [a] τὸ στερεόν, καὶ ἔστιν ἁπλᾶ· τὰ δὲ τῶν
5 ἐλάφων μόνα δι' ὅλου στερεὰ καὶ [b] πολυσχιδῆ. Καὶ τῶν μὲν ἄλλων τῶν ἐχόντων κέρας [c] οὐδὲν ἀποβάλλει τὰ κέρατα, ἔλαφος δὲ [d] μόνον καθ' ἕκαστον ἔτος, ἐὰν μὴ ἐκτμηθῇ· περὶ δὲ τῶν [e] ἐκτετμημένων ἐν τοῖς ὕστερον λεχθήσεται. Τὰ δὲ κέρατα προσπέφυκε [f] μᾶλλον τῷ δέρματι ἢ τῷ ὀστῷ· διὸ [g] καὶ ἐν Φρυγίᾳ εἰσὶ βόες καὶ [h] ἄλλοθι [i] κινοῦσαι τὰ κέρατα
6 ὥσπερ τὰ ὦτα. Τῶν δ' ἐχόντων ὄνυχας (ἔχει δ' ὄνυχας ἅπαντα ὅσαπερ δακτύλους, δακτύλους δ' ὅσα πόδας, πλὴν ἐλέφας· οὗτος δὲ καὶ δακτύλους ἀσχίστους καὶ ἠρέμα διηρθρωμένους καὶ ὄνυχας ὅλως οὐκ ἔχει) τῶν δ' ἐχόντων τὰ μέν [k] ἐστιν [l] εὐθυώνυχα, ὥσπερ ἄνθρωπος, τὰ δὲ γαμψώνυχα, ὥσπερ καὶ τῶν πεζῶν λέων καὶ τῶν πτηνῶν [m] ἀετός.
10 Περὶ [n] δὲ τριχῶν καὶ τῶν ἀνάλογον [o] καὶ δέρματος τόνδ' ἔχει τὸν τρόπον. Τρίχας μὲν ἔχει τῶν ζῴων ὅσα πεζὰ καὶ ζῳοτόκα, φολίδας δ' ὅσα πεζὰ καὶ [p] ᾠοτόκα, λεπίδας δ' ἰχθύες [q] μόνοι, ὅσοι ᾠοτοκοῦσι τὸ [r] ψαθυρὸν ᾠόν· τῶν γὰρ μακρῶν γόγγρος [s] μὲν οὐ τοιοῦτον ἔχει ᾠόν, οὐδ' ἡ μύραινα,

[r] τε] μὲν P.D[a], om. C[a]. [s] μελάνων δερμάτων P.D[a]. [t] ai utrobique om. A[a].C[a]. [v] λευκὰ καὶ μεταξὺ A[a].C[a]. [w] τὰ om. P. [x] περ om. P.D[a]. [y] κοιλόν P. [z] ἐστι τὸ ἀπὸ P.D[a]. [a] τὰ στερεὰ A[a]. [b] πολυσχεδῆ A[a]. [c] οὐδὲ pr. A[a]. [d] μόνος A[a].C[a]. [e] ἐκτεμνομένων C[a]. [f] τῷ δέρματι μᾶλλον ἢ τὸ ὀστοῦν P.D[a]. [g] καὶ οἱ ἐν A[a]. [h] ἄλλοθεν pr. A[a]. [i] οἱ κινοῦσι A[a].C[a]. [k] εἰσι P.D[a]. [l] εὐθυόνυχα P.C[a].D[a]. [m] aletós D[a]. [n] τριχῶν δὲ P.D[a]. [o] καὶ τοῦ δέρματος ἔχει τόνδε A[a]. [p] ᾠοτόκα] ζωοτόκα pr. A[a]. [q] μόνον A[a].C[a]. [r] ψαθυρὸν P.D[a]. [s] μὲν om. A[a].C[a].

Digitized by Google

ἐγχέλυς δ' ὅλως οὐκ ἔχει. Τὰ δὲ [t]πάχη τῶν τριχῶν καὶ [v]αἱ 2
λεπτότητες καὶ τὰ μεγέθη διαφέρουσι κατὰ τοὺς τόπους, ἐν
οἷς ἂν ὦσι τῶν μερῶν, καὶ ὁποῖον [w]ἂν ᾖ τὸ δέρμα· ὡς γὰρ
ἐπὶ τὸ πολὺ ἐν τοῖς παχυτέροις δέρμασι σκληρότεραι αἱ
τρίχες καὶ [x]παχύτεραι, πλείους δὲ καὶ μακρότεραι ἐν τοῖς
κοιλοτέροις καὶ ὑγροτέροις, ἄνπερ ὁ τόπος [y]ᾖ τοιοῦτος οἷος
ἔχειν τρίχας. [z]Ὁμοίως δὲ καὶ περὶ τῶν λεπιδωτῶν ἔχει καὶ 3
[a]τῶν φολιδωτῶν. [b]Ὅσα μὲν οὖν μαλακὰς ἔχει τὰς τρίχας,
[c]εὐβοσίᾳ [d]χρώμενα [e]σκληροτέρας ἴσχει, ὅσα δὲ σκληράς,
μαλακωτέρας καὶ ἐλάττους. Διαφέρουσι δὲ καὶ κατὰ τοὺς 4
τόπους τοὺς [f]θερμοτέρους καὶ ψυχροτέρους, οἷον αἱ τῶν
ἀνθρώπων τρίχες ἐν μὲν τοῖς θερμοῖς σκληραί, ἐν δὲ τοῖς
ψυχροῖς μαλακαί. [g]Εἰσὶ δ' [h]αὖ αἱ μὲν εὐθεῖαι μαλακαί, αἱ
δὲ [i]κεκαμμέναι σκληραί. [k]Ἡ δὲ φύσις [l]τῆς τριχός ἐστι 11
σχιστή. [m]Τῷ μᾶλλον δὲ καὶ ἧττον διαφέρουσι πρὸς [n]ἀλ-
λήλας. [o]Ἔνιαι δὲ [p]τῇ σκληρότητι μεταβαίνουσαι κατὰ μι-
κρὸν οὐκέτι θριξὶν ἐοίκασιν ἀλλ' ἀκάνθαις, οἷον [q]αἱ τῶν
ἐχίνων τῶν χερσαίων, παραπλησίως τοῖς ὄνυξιν· καὶ γὰρ τὸ
τῶν ὀνύχων γένος [r]ἐν ἐνίοις τῶν ζῴων οὐδὲν διαφέρει [s]διὰ
τὴν σκληρότητα τῶν ὀστῶν. Δέρμα δὲ πάντων [t]λεπτό- 2
τατον ἄνθρωπος ἔχει κατὰ λόγον τοῦ μεγέθους. [u]Ἔνεστι
δ' ἐν τοῖς δέρμασι πᾶσι γλισχρότης μυξώδης, ἐν μὲν τοῖς
ἐλάττων ἐν δὲ τοῖς πλείων, οἷον ἐν τοῖς τῶν βοῶν, ἐξ ἧς
ποιοῦσι τὴν κόλλαν· ἐνιαχοῦ δὲ καὶ ἐξ ἰχθύων ποιοῦσι κόλ-
λαν. [v]Ἀναίσθητον δὲ τὸ δέρμα τεμνόμενόν ἐστι καθ' αὑτό· 3
μάλιστα δὲ τοιοῦτον τὸ ἐν τῇ κεφαλῇ, διὰ τὸ [w]τὸ μεταξὺ
ἀσαρκότατον εἶναι πρὸς τὸ ὀστοῦν. [x]Ὅπου δ' ἂν ᾖ καθ'

[t] παχέα P. [v] αἱ om. P[a]. [w] ἄν τ' ᾖ C[a]. [x] παχύτεραι καὶ πλείους δὲ P.D[a]. [y] ᾖ τοιοῦτος] οὗτος A[a]. [z] τῶν post καὶ om. A[a]. [a] εὐθοσίᾳ P, εὐδίᾳ pr. A[a]. [b] χρωμένας P, χρωμένους D[a], om. pr. A[a]. [c] σκληρότερα P.D[a]. [d] ψυχροτέρους καὶ θερμοτέρους P.C[a].D[a]. [e] εἰσὶ—μαλακαί om. A[a]. [f] αὖ om. C[a]. [g] κεκαυμέναι A[a]. [h] τῶν τριχῶν D[a]. [i] τὸ P, om. A[a]. [k] ἀλλήλους P. [l] τῇ om. C[a]. [m] αἱ τῶν χερσαίων ἐχίδνων P. [n] ἐν om. P.D[a]. [o] διὰ om. A[a].C[a]. [p] χαλεπώτατον pr. A[a]. [q] τὸ alterum om. P.A[a].D[a].

Digitized by Google

αὐτὸ δέρμα, ἂν διακοπῇ, οὐ συμφύεται, οἷον γνάθου τὸ
4 λεπτὸν καὶ [r] ἀκροποσθία καὶ βλεφαρίς. Τῶν συνεχῶν [s] δὲ
τὸ δέρμα ἐν ἅπασι τοῖς ζῴοις, καὶ ταύτῃ διαλείπει ᾗ [t] καὶ οἱ
κατὰ φύσιν πόροι ἐξικμάζονται, [v] καὶ κατὰ [w] τὸ στόμα καὶ
ὄννυχας. Δέρμα μὲν οὖν [x] πάντ' ἔχει τὰ ἔναιμα ζῷα, τρίχας
5 δ' οὐ πάντα, ἀλλ' ὥσπερ [y] εἴρηται πρότερον. Μεταβάλ-
λουσι δὲ τὰς [z] χρόας γηρασκόντων καὶ λευκαίνονται ἐν ἀν-
θρώπῳ· τοῖς δ' ἄλλοις γίνεται μέν, οὐκ ἐπιδήλως δὲ σφόδρα,
πλὴν ἐν ἵππῳ. Λευκαίνεται δὲ καὶ ἀπ' ἄκρας ἡ θρίξ. Αἱ
δὲ πλεῖσται [a] εὐθὺς φύονται λευκαὶ τῶν πολιῶν. [1]Ηι καὶ
δῆλον ὅτι [b] οὐχ αὐότης [c] ἐστὶν ἡ πολιότης, ὥσπερ τινές
6 φασιν· [d] οὐδὲν γὰρ φύεται εὐθὺς αὖον. [1]Εν δὲ τῷ ἐξανθή-
ματι ὃ καλεῖται λεύκη, πᾶσαι πολιαὶ γίγνονται· ἤδη δέ τισι
κάμνουσι μὲν πολιαὶ [e] ἐγένοντο, [f] ὑγιασθεῖσι δὲ ἀπορρυεισῶν
μέλαιναι ἀνεφύησαν. Γίνονταί [g] τε μᾶλλον πολιαὶ σκεπα-
ζομένων τῶν τριχῶν ἢ διαπνεομένων. [h] Πρῶτον δὲ πολι-
οῦνται οἱ κρόταφοι τῶν ἀνθρώπων, καὶ τὰ πρόσθια [i] πρό-
7 τερα τῶν [k] ὀπισθίων· τελευταῖον δ' ἡ ἦβη. Εἰσὶ δὲ τῶν
τριχῶν αἱ μὲν συγγενεῖς, αἱ δ' ὕστερον κατὰ τὰς ἡλικίας
γινόμεναι ἐν ἀνθρώπῳ μόνῳ τῶν ζῴων, συγγενεῖς μὲν αἱ ἐν
τῇ κεφαλῇ [l] καὶ ταῖς βλεφαρίσι καὶ ταῖς ὀφρύσιν, ὑστερο-
γενεῖς δὲ αἱ ἐπὶ τῆς ἥβης πρῶτον, [m] ἔπειτα αἱ ἐπὶ τῆς
μασχάλης, τρίται δ' αἱ ἐπὶ τοῦ γενείου· ἴσοι γὰρ [n] οἱ τόποι
εἰσὶν ἐν οἷς [o] αἱ τρίχες ἐγγίνονται αἵ τε συγγενεῖς καὶ [p] αἱ
8 ὑστερογενεῖς. Λείπουσι δὲ καὶ ῥέουσι κατὰ τὴν ἡλικίαν αἱ
ἐκ τῆς κεφαλῆς καὶ μάλιστα [q] καὶ πρῶται. Τούτων [r] δὲ αἱ
ἔμπροσθεν μόναι· [s] τὰ γὰρ ὄπισθεν οὐδεὶς γίνεται φαλα-

[r] ἀκροπισθία Aa.Ca. [s] δ' ἐστὶ τὸ Aa.Ca. [t] καὶ] τε P.Da. [v] καὶ οἱ κατὰ Aa. [w] τὸ om. P.Da. [x] ἅπαντ' ἔχει Aa.Ca, ἔχει πάντα Da. [y] διήρηται P.Da. [z] χροιὰς γηρασκόντων καὶ λευκότεροι γίνονται ἐν ἀνθρώποις P.Da. [a] εὐθὺ Ca. [b] οὐ χαυνότης P.Aa.Ca.Da: correctum ex intpp. [c] ἡ πολιότης ἐστὶν Aa.Ca. [d] οὐδὲ pr. Aa. [e] γίγνονται Aa. [f] ὑγιανθεῖσι P.Da. [g] τε om. pr. Aa. [h] πρότερον Da. [i] πρότερα om. Da. [k] ὄπισθεν Aa.Ca. [l] καὶ ἐν ταῖς Da. [m] ἔπειτα δὲ αἱ Aa.Ca. [n] οἱ om. P.Da. [o] αἱ τρίχες om. Aa.Ca. [p] αἱ om. P.Aa. [q] καὶ πρ.] αἱ πρ. Ca. [r] δὲ] γὰρ pr. Aa. [s] τὸ Aa.Ca.

Digitized by Google

κρός. Ἡ μὲν [t]οὖν κατὰ κορυφὴν λειότης φαλακρότης καλεῖται, ἡ δὲ κατὰ τὰς [v]ὀφρῦς [w]ἀναφαλαντίασις· οὐδέτερον δὲ τούτων συμβαίνει [x]οὐδενὶ πρὶν ἢ ἀφροδισιάζειν ἄρξηται. Οὐ γίνεται δ' οὔτε παῖς φαλακρὸς οὔτε γυνὴ [y]οὔτε 9
οἱ ἐκτετμημένοι· ἀλλ' ἐὰν μὲν ἐκτμηθῇ πρὸ ἥβης, οὐ φύονται αἱ ὑστερογενεῖς, ἐὰν δ' ὕστερον, αὗται μόναι ἐκρέουσι, πλὴν τῆς ἥβης. Γυνὴ δὲ τὰς ἐπὶ τῷ γενείῳ οὐ φύει τρίχας· πλὴν [z]ἐνίαις γίγνονται ὀλίγαι, ὅταν τὰ καταμήνια [a]στῇ, καὶ οἷον ἐν Καρίᾳ ταῖς ἱερείαις, ἃ δοκεῖ συμβαίνειν σημεῖον τῶν μελλόντων. Αἱ δ' ἄλλαι γίγνονται μέν, ἐλάττους δέ. Γίγνον- 10
ται δὲ καὶ ἄνδρες καὶ γυναῖκες ἐκ γενετῆς ἐνδεεῖς τῶν ὑστερογενῶν τριχῶν [b]ἅμα καὶ ἄγονοι, ὅσοιπερ ἂν καὶ ἥβης στερηθῶσιν. Αἱ μὲν οὖν ἄλλαι τρίχες [c]αὔξονται κατὰ λόγον ἢ [d]πλέον ἢ ἔλαττον, μάλιστα μὲν [e]αἱ ἐν τῇ κεφαλῇ, εἶτα πώγωνι, καὶ οἱ λεπτότριχοι μάλιστα. Δασύνονται δέ τισι 11
καὶ [f]αἱ ὀφρύες γινομένοις πρεσβυτέροις, οὕτως ὥστ' ἀποκείρεσθαι, διὰ τὸ ἐπὶ συμφύσει ὀστῶν κεῖσθαι, ἃ γηρασκόντων διιστάμενα [g]διίησι πλείω [h]ὑγρότητα. Αἱ δ' ἐν ταῖς βλεφαρίσιν οὐκ [i]αὔξονται, ῥέουσι δέ, ὅταν ἀφροδισιάζειν ἄρξωνται, καὶ μᾶλλον τοῖς μᾶλλον ἀφροδισιαστικοῖς· πολιοῦνται δὲ βραδύτατα αὗται. Ἐκτιλλόμεναι δ' αἱ τρίχες 12
μέχρι τῆς ἀκμῆς ἀναφύονται, εἶτα [k]οὐκέτι. Ἔχει δὲ πᾶσα θριξ ὑγρότητα πρὸς τῇ ῥίζῃ γλίσχραν, καὶ ἕλκει εὐθὺς ἐκτιλθεῖσα τὰ κοῦφα θιγγάνουσα. Ὅσα δὲ ποικίλα τῶν ζῴων κατὰ τὰς [l]τρίχας, τούτοις καὶ ἐν [m]τῷ δέρματι προϋπάρχει ἡ ποικιλία καὶ ἐν τῷ τῆς γλώττης δέρματι. Περὶ 13
δὲ τὸ γένειον τοῖς μὲν συμβαίνει [n]καὶ τὴν ὑπήνην καὶ τὸ γένειον δασὺ ἔχειν, τοῖς δὲ ταῦτα μὲν λεῖα τὰς σιαγόνας δὲ

t οὖν om. A[a]. v ὀφρὺς C[a], ὀφρύας P.D[a]. w ἀναφαλανθίασις P.C[a].D[a]. x οὐδενὶ] οὐδὲν A[a]. y οὐδὲ P.D[a]. z ὀλίγαι γίγνονται ἐνίαις P.D[a]. a στῶσι A[a].C[a]. b ἅμα] ἀλλὰ A[a].C[a]. c αὐξάνονται A[a].C[a], αἴρονται D[a]. d πλεῖον P.D[a]. e αἱ om.C[a]. f αἱ om.A[a]. g διιᾶσι C[a]. h ὑγρότητι A[a]. i αὐξάνονται A[a].C[a]. k οὐκέτι] οὐκ ἔχει pr. A[a]. l τρίχας ἐν τούτοις P.D[a]. m τοῖς δέρμασι A[a]. n καὶ ante τὴν om. P.C[a].

Digitized by Google

δασείας· ἧττον δὲ γίγνονται φαλακροὶ [o] οἱ μαδιγένειοι.
14 Αὔξονται δ' αἱ τρίχες ἔν τε νόσοις τισίν, οἷον [p] ἐν ταῖς [q] φθίσεσι μᾶλλον, καὶ ἐν γήρᾳ καὶ τεθνεώτων, καὶ σκληρότεραι γίγνονται ἀντὶ μαλακῶν· τὰ δ' αὐτὰ ταῦτα συμβαίνει καὶ περὶ τοὺς ὄνυχας. [r] Ῥέουσι δὲ μᾶλλον αἱ τρίχες τοῖς ἀφροδισιαστικοῖς αἱ συγγενεῖς· αἱ δ' ὑστερογενεῖς γίνονται
15 θᾶττον. Οἱ δ' [s] ἰξίαν ἔχοντες ἧττον φαλακροῦνται, κἂν ὄντες φαλακροὶ λάβωσιν, ἔνιοι δασύνονται. Οὐκ αὐξάνεται δὲ θρὶξ ἀποτμηθεῖσα, ἀλλὰ κάτωθεν ἀναφυομένη γίνεται μείζων. Καὶ αἱ λεπίδες [t] δὲ τοῖς ἰχθύσι σκληρότεραι [v] γίνονται καὶ παχύτεραι, τοῖς δὲ λεπτυνομένοις καὶ [w] τοῖς γηρά-
16 σκουσι σκληρότεραι. Καὶ τῶν τετραπόδων δὲ γινομένων πρεσβυτέρων τῶν μὲν αἱ τρίχες τῶν δὲ τὰ ἔρια βαθύτερα μὲν γίνεται, ἐλάττω δὲ τῷ πλήθει· καὶ τῶν μὲν αἱ ὁπλαὶ τῶν δ' αἱ χηλαὶ γίνονται [x] γηρασκόντων μείζους, καὶ τὰ ῥύγχη τῶν ὀρνίθων. [y] Αὔξονται δὲ καὶ αἱ χηλαί, ὥσπερ
12 καὶ οἱ ὄνυχες. Περὶ δὲ [z] τὰ πτερωτὰ τῶν ζῴων, οἷον τοὺς ὄρνιθας, κατὰ μὲν [a] τὰς ἡλικίας οὐδὲν μεταβάλλει, πλὴν γέρανος· αὕτη δ' [b] οὖσα τεφρὰ μελάντερα γηράσκουσα τὰ πτερὰ ἴσχει· διὰ δὲ τὰ πάθη τὰ γιγνόμενα κατὰ τὰς ὥρας, οἷον ὅταν ψύχη [c] γίγνηται μᾶλλον, ἐνίοτε γίνεται τῶν μονοχρόων ἐκ [d] μελάνων τε καὶ [e] μελαντέρων [f] λευκά, οἷον κόραξ τε καὶ στρουθὸς καὶ χελιδόνες· ἐκ δὲ τῶν λευκῶν
2 [g] γενῶν οὐκ ὦπται εἰς μέλαν μεταβάλλον. Καὶ κατὰ τὰς ὥρας δὲ οἱ πολλοὶ τῶν ὀρνίθων [g] μεταβάλλουσι τὰς χρόας, ὥστε λαθεῖν ἂν τὸν μὴ συνήθη. Μεταβάλλουσι [h] δ' ἔνια τῶν ζῴων τὰς χρόας τῶν τριχῶν [i] κατὰ τὰς τῶν ὑδάτων

[o] *οἱ μὴ διγένειοι* P.D[a]. et corr. A[a], *ὁμαδηγένειοι* C[a]. [p] *ἐν*] *ἔν τε* C[a], om. P.D[a]. [q] *φθισικαῖς* P.D[a]. [r] *δὲ* om. C[a]. [s] *ὀξείαν* P.D[a]. [t] *δὲ* om. A[a].C[a]. [v] *καὶ παχύτεραι γίνονται* P.D[a]. [w] *τοῖς* om. P.D[a]. [x] *γηρασκόντων γίνονται* D[a]. [y] *αὐξάνονται* A[a].C[a]. [z] *τὰ πτερὰ τὰ τῶν* A[a].C[a]. [a] *τῆς ἡλικίας οὐδὲ* pr. A[a]. [b] *οὖσα τέφρα* A[a].C[a], *ὡς τεθεώρηται* P.D[a]. [c] *γίνεται* P.D[a]. [d] *μελαίνων* A[a]. [e] *μελανωτέρων* A[a].C[a], *μελαντέρων ἢ λευκοτέρων* D[a]. [f] *λευκά*] *καὶ* P. [g] *μεταβάλλουσιν* ante *οἱ* P.D[a]. [h] *δέ τινα* A[a].C[a]. [i] *κατὰ*] *καὶ* pr. A[a], *καὶ κατὰ* corr.

Digitized by Google

μεταβολάς· ἔνθα μὲν γὰρ λευκὰ [k]γίγνονται, ἔνθα δὲ [l]μέλανα ταὐτά. [m]Καὶ περὶ τὰς ὀχείας [n]δ' [o]ἐστὶν ὕδατα 3
[p]πολλαχοῦ τοιαῦτα, ἃ πιόντα καὶ ὀχεύσαντα μετὰ τὴν πόσιν [q]τὰ πρόβατα μέλανας γεννῶσι [r]τοὺς ἄρνας, οἷον [s]καὶ ἐν τῇ Χαλκιδικῇ [t]τῇ ἐπὶ τῆς Θράκης ἐν τῇ [v]Ἀσσυρίτιδι ἐποίει ὁ καλούμενος [w]ποταμὸς Ψυχρός. Καὶ ἐν [x]τῇ [y]Ἀνταν δρίᾳ δὲ δύο ποταμοί εἰσιν, ὧν ὁ μὲν λευκὰ ὁ δὲ μέλανα ποιεῖ τὰ πρόβατα. Δοκεῖ δὲ καὶ ὁ Σκάμανδρος 4
ποταμὸς ξανθὰ τὰ πρόβατα ποιεῖν· διὸ καὶ τὸν [v]Ὁμηρόν φασιν ἀντὶ Σκαμάνδρου Ξάνθον προσαγορεύειν αὐτόν. Τὰ μὲν οὖν ἄλλα ζῷα οὔτ' ἐντὸς ἔχει τρίχας, τῶν τ' ἀκρωτηρίων ἐν τοῖς πρανέσιν ἀλλ' οὐκ ἐν τοῖς ὑπτίοις· ὁ δὲ δασύπους μόνος καὶ ἐντὸς ἔχει τῶν γνάθων τρίχας [z]καὶ ὑπὸ τοῖς ποσίν. [u]Ἔτι δὲ καὶ ὁ [a]μῦς τὸ κῆτος ὀδόντας μὲν ἐν τῷ στόματι οὐκ 5
ἔχει, τρίχας δὲ ὁμοίας ὑείαις. Αἱ μὲν οὖν τρίχες αὐξάνονται ἀποτμηθεῖσαι κάτωθεν, ἄνωθεν δ' οὔ· τὰ δὲ πτερὰ οὔτ' [b]ἄνωθεν οὔτε κάτωθεν, ἀλλ' ἐκπίπτει. Οὐκ ἀναφύεται δὲ ἐκτιλθὲν [c]οὔτε τῶν μελιττῶν τὸ πτερὸν [d]οὔθ' ὅσα [e]ἄλλα ἔχει ἄσχιστον τὸ πτερόν· οὐδὲ τὸ κέντρον, ὅταν ἀποβάλλῃ ἡ μέλιττα, [f]ἀλλὰ θνήσκει.

Εἰσὶ δὲ καὶ ὑμένες ἐν τοῖς ζῴοις ἅπασι τοῖς ἐναίμοις. 13
[g]Ὁμοιος δ' ἐστὶν ὁ ὑμὴν δέρματι [h]πυκνῷ καὶ λεπτῷ, ἔστι δὲ τὸ γένος ἕτερον· οὔτε γάρ ἐστι σχιστὸν οὔτε [i]τατόν. Περὶ ἕκαστον δὲ τῶν ὀστῶν καὶ περὶ ἕκαστον τῶν σπλάγχνων [k]ὁ ὑμήν ἐστι [k]καὶ ἐν τοῖς μείζοσι καὶ ἐν τοῖς ἐλάττοσι ζῴοις· ἀλλ' [l]ἄδηλοι ἐν τοῖς ἐλάττοσι διὰ τὸ πάμπαν εἶναι λεπτοὶ

[k] γίνεται P.D[a]. [l] μέλαινα A[a]. [m] καὶ] δὲ C[a], δὲ καὶ D[a]. [n] δ' om. C[a].D[a]. et pr. A[a]. [o] εἰσιν ὕδατα C[a], ὕδατά εἰσι A[a]. [p] πολλαχῇ A[a]. [q] τὰ πρόβατα om. P.A[a].C[a].D[a]. [r] τὰς pr. A[a]. [s] καὶ om. D[a]. [t] τῇ ἐπὶ om. P.D[a]. [v] ἀσυρίτιδι A[a], ἀσυρρίτιδι C[a], ἀσσηρίτιδι P. [w] ψυχρὸς ποταμός A[a]. [x] τῇ om. P. [y] ἀτανδρία A[a], ἀνταδρία D[a]. [z] καὶ ὑπὸ τοῖς ποσὶν om. P.D[a]. [a] μυστόκητος P.A[a].D[a]. [b] κάτωθεν οὔτε ἄνωθεν P.D[a]. [c] υὐδὲ P.D[a]. [d] οὐδ' A[a]. [e] ἄλλα τοιαῦτα ἄσχιστον ἔχει P.D[a]. [f] ἀλλ' ἔκτοτε ἀποθνήσκει P.D[a]. [g] ὅμοιόν ἐστιν pr. A[a]. [h] λεπτῷ καὶ πυκνῷ D[a]. [i] τιλτόν P.D[a]. [k] ὁ et καὶ post ἐστι om. D[a]. [l] ἄδηλα C[a].

Digitized by Google

z καὶ μικροί. m Μέγιστοι δὲ τῶν ὑμένων εἰσὶν οἵ τε περὶ τὸν ἐγκέφαλον δύο, ὧν ὁ περὶ τὸ ὀστοῦν ἰσχυρότερος καὶ παχύτερος τοῦ περὶ τὸν ἐγκέφαλον, ἔπειθ' ὁ περὶ τὴν καρδίαν n ὑμήν. Διακοπεὶς δὲ οὐ συμφύεται ψιλὸς ὑμήν, ψιλούμενά τε τὰ ὀστᾶ τῶν ὑμένων σφακελίζει.

14 Ἔστι δὲ καὶ τὸ o ἐπίπλουν ὑμήν. Ἔχει δ' o ἐπίπλουν p πάντα τὰ ἔναιμα· ἀλλὰ τοῖς μὲν πῖον τοῖς δ' ἀπίμελόν ἐστιν. Ἔχει δὲ q καὶ τὴν ἀρχὴν καὶ τὴν ἐξάρτησιν ἐν τοῖς ζωοτόκοις καὶ ἀμφώδουσιν ἐκ μέσης τῆς κοιλίας, r ἣ ἐστὶν οἷον ῥαφή τις αὐτῆς· καὶ τοῖς μὴ ἀμφώδουσι δὲ ἐκ τῆς μεγάλης κοιλίας ὡσαύτως.

15 Ἔστι δὲ καὶ ἡ κύστις ὑμενοειδὴς μέν, ἄλλο δὲ γένος ὑμένος· ἔχει δὲ κύστιν οὐ πάντα, ἀλλὰ τὰ μὲν ζωοτόκα πάντα, τῶν δ' ᾠοτόκων ἡ χελώνη μόνον. Διακοπεῖσα δὲ s οὐδ' ἡ κύστις συμφύεται ἀλλ' ἣ παρ' αὐτὴν τὴν ἀρχὴν τοῦ οὐρητῆρος, εἰ μή τι πάμπαν σπάνιον· γέγονε γάρ τι t ἤδη z τοιοῦτον. Τεθνεώτων μὲν οὖν οὐδὲν v διίησιν ὑγρόν, ἐν δὲ τοῖς ζῶσι καὶ w ξηρὰς συστάσεις, ἐξ ὧν οἱ λίθοι γίγνονται τοῖς κάμνουσιν. Ἐνίοις δ' ἤδη καὶ τοιαῦτα συνέστη ἐν τῇ κύστει ὥστε x μηδὲν δοκεῖν διαφέρειν κογχυλίων.

3 Περὶ μὲν οὖν φλεβὸς καὶ νεύρου καὶ δέρματος, καὶ περὶ ἰνῶν καὶ ὑμένων, ἔτι δὲ y καὶ περὶ τριχῶν καὶ ὀνύχων καὶ χηλῆς καὶ ὁπλῆς καὶ κεράτων καὶ ὀδόντων καὶ ῥύγχους καὶ χόνδρου καὶ ὀστῶν καὶ τῶν ἀνάλογον z τούτοις τοῦτον ἔχει

16 τὸν τρόπον. Σὰρξ δὲ καὶ τὸ παραπλησίαν ἔχον τὴν a φύσιν τῇ σαρκὶ ἐν τοῖς ἐναίμοις b πᾶσίν ἐστι μεταξὺ c τοῦ δέρματος καὶ τοῦ ὀστοῦ καὶ τῶν ἀνάλογον τοῖς ὀστοῖς· ὡς γὰρ ἡ ἄκανθα ἔχει πρὸς τὸ ὀστοῦν, οὕτω καὶ τὸ σαρκῶδες πρὸς z τὰς σάρκας ἔχει τῶν ἐχόντων ὀστᾶ καὶ ἄκανθαν. Ἔστι δὲ

m μέγιστοι] καὶ μέγιστοι P. n ὑμήν om. P.D^a. o ἐπίπλοον utroque loco P.D^a, ἐπίπλους ὁ priore C^a. p ἅπαντα A^a.C^a. q καὶ post δὲ om. P.D^a. r ἥ A^a. s οὔτε P^a. t ἤδη om. A^a. v δίεισιν A^a. w ξηρὰ σύστασις A^a.C^a. x μηδὲ pr. A^a. y καὶ post δὲ om. A^a.C^a. z τούτοις ἔχει τόνδε τὸν A^a, τοῦτον ἔχει τὸν P.D^a. a φύσιν ἐν τῇ P. b πᾶσιν] ἐν πᾶσιν P.A^a.C^a.D^a. c τοῦ τε δέρματος A^a.

Digitized by Google

διαιρετὴ ἡ σὰρξ πάντῃ, καὶ οὐχ ὥσπερ τὰ νεῦρα καὶ αἱ φλέβες ἐπὶ μῆκος μόνον. Λεπτυνομένων [d]μὲν οὖν τῶν ζῴων ἀφανίζονται, καὶ γίγνονται φλέβια καὶ ἶνες· [e]εὐβοσίᾳ δὲ πλείονι χρωμένων πιμελὴ ἀντὶ σαρκῶν. Εἰσὶ δὲ τοῖς μὲν 3
ἔχουσι [f]τὰς σάρκας πολλὰς [g]αἱ φλέβες ἐλάττους καὶ τὸ αἷμα ἐρυθρότερον καὶ [h]τὰ σπλάγχνα [i]καὶ κοιλία μικρά· τοῖς δὲ τὰς φλέβας ἔχουσι μεγάλας καὶ τὸ αἷμα μελάντερον καὶ σπλάγχνα μεγάλα καὶ [k]κοιλία μεγάλη, αἱ δὲ σάρκες ἐλάττους. [l]Γίνονται δὲ κατὰ σάρκα πίονα τὰ [m]τὰς κοιλίας ἔχοντα μικράς. Πιμελὴ δὲ καὶ στέαρ διαφέρουσιν ἀλλήλων. 17
Τὸ μὲν γὰρ στέαρ ἐστὶ θραυστὸν πάντῃ καὶ πήγνυται ψυχόμενον, ἡ δὲ πιμελὴ χυτὸν καὶ ἄπηκτον· καὶ οἱ μὲν ζωμοὶ οἱ τῶν πιόνων οὐ πήγνυνται, [n]οἷον ἵππου καὶ ὑός, οἱ δὲ τῶν στέαρ ἐχόντων [o]πήγνυνται, οἷον προβάτου καὶ αἰγός. Διαφέρουσι δὲ καὶ τοῖς τόποις· ἡ μὲν γὰρ πιμελὴ γίνεται μεταξὺ δέρματος καὶ σαρκός, στέαρ δ' οὐ γίνεται ἀλλ' [p]ἢ ἐπὶ τέλει τῶν σαρκῶν. Γίγνεται δὲ καὶ τὸ [q]ἐπίπλοον τοῖς μὲν πιμελώδεσι πιμελῶδες, τοῖς δὲ στεατώδεσι στεατῶδες. [r]Ἔχει δὲ τὰ μὲν ἀμφώδοντα πιμελήν, τὰ δὲ μὴ ἀμφώδοντα στέαρ.
Τῶν δὲ σπλάγχνων [s]τὸ ἧπαρ [t]ἐν ἐνίοις τῶν ζῴων γίνεται 3
πιμελῶδες, οἷον τῶν ἰχθύων ἐν τοῖς σελάχεσιν· ποιοῦσι γὰρ ἔλαιον ἀπ' αὐτῶν, ὃ γίνεται τηκομένων· αὐτὰ δὲ τὰ σελάχη ἐστὶν [u]ἀπιμελώτατα καὶ κατὰ σάρκα καὶ κατὰ κοιλίαν κεχωρισμένη [v]πιμελῆ. [w]Ἔστι δὲ [x]καὶ τὸ τῶν ἰχθύων στέαρ πιμελῶδες, καὶ οὐ πήγνυται. [y]Πάντα δὲ τὰ ζῷα 4
τὰ μὲν κατὰ σάρκα ἐστὶ πίονα τὰ δὲ ἀφωρισμένως. [z]Ὅσα δὲ μὴ ἔχει κεχωρισμένην τὴν [z]πιότητα, ἧττόν ἐστι πίονα

[d] μὲν om. A[a].D[a]. [e] εὐουσίᾳ A[a]. [f] τὰς om. A[a].C[a]. [g] αἱ] καὶ P. [h] τὰ om. P.C[a].D[a]. [i] καὶ κοιλία μικρά om. D[a]. [k] κοιλίαν μεγάλην A[a]. [l] γίγνεται δὲ καὶ τὰ σαρκία πίονα A[a].C[a]. [m] τῆς A[a]. [n] οἷον—οὐ πήγνυνται om. C[a]. [o] πήγνυται A[a]. [p] ἡ om. pr. A[a]. [q] ἐπίπλοιον A[a].C[a]. [r] τὸ ἧπαρ om. P. [s] ἐν om. P.C[a].D[a]. [t] ἀπιμέλωτα P.D[a]. [v] πιμελή A[a].C[a]. [w] καὶ om. P. [x] στέαρ] γένος A[a]. [y] πάντα] καὶ πάντα P.D[a]. [z] πιότητα] πιμελήν P.D[a].

Digitized by Google

κατὰ κοιλίαν καὶ [a] ἐπίπλοον, [b] οἷον ἐγχέλυς· [c] ὀλίγον [d] γὰρ στέαρ ἔχουσι περὶ τὸ [a] ἐπίπλοον. Τὰ δὲ πλεῖστα γίνεται [e] πίονα κατὰ τὴν γαστέρα, καὶ μάλιστα τὰ μὴ ἐν κινήσει ὄντα τῶν ζῴων. Οἱ [f] δ' ἐγκέφαλοι τῶν μὲν πιμελωδῶν λιπαροί, οἷον ὑός, τῶν δὲ [g] στεατωδῶν αὐχμηροί. Τῶν δὲ σπλάγχνων περὶ τοὺς νεφροὺς μάλιστα πίονα γίνεται τὰ ζῷα· ἔστι δ' [h] ἀεὶ ὁ δεξιὸς ἀπιμελώτερος, κἂν σφόδρα πίονες ὦσιν, ἐλλείπει τι ἀεὶ κατὰ [i] τὸ μέσον. Περίνεφρα δὲ γίνεται τὰ [k] στεατώδη μᾶλλον, καὶ μάλιστα τῶν ζῴων πρόβατον· τοῦτο γὰρ ἀποθνήσκει τῶν νεφρῶν [l] πάντη καλυφθέντων. Γίνεται δὲ περίνεφρα δι' [m] εὐβοσίαν, οἷον τῆς Σικελίας περὶ Λεοντίνους· διὸ καὶ ἐξελαύνουσιν [n] ὀψὲ τὰ πρόβατα τῆς ἡμέρας, ὅπως ἐλάττω λάβωσι [o] τὴν τροφήν.

18 Πάντων δὲ τῶν ζῴων κοινόν ἐστι τὸ περὶ τὴν κόρην ἐν τοῖς ὀφθαλμοῖς· [p] ἔχουσι γὰρ τοῦτο τὸ μόριον στεατῶδες πάντα ὅσα ἔχουσι [q] τὸ τοιοῦτον μόριον ἐν τοῖς ὀφθαλμοῖς καὶ μή εἰσι σκληρόφθαλμα. Ἔστι δ' [r] ἀγονώτερα [s] τὰ πιμελώδη καὶ ἄρρενα καὶ [t] θήλεα. Πιαίνεται δὲ πάντα [v] πρεσβύτερα μᾶλλον ἢ νεώτερα ὄντα, μάλιστα δ' [w] ὅταν καὶ τὸ πλάτος καὶ τὸ μῆκος [x] ἔχῃ τοῦ μεγέθους καὶ εἰς βάθος [y] αὐξάνηται.

19 Περὶ [z] δὲ αἵματος ὧδε ἔχει· τοῦτο γὰρ [a] πᾶσιν ἀναγκαιότατον καὶ κοινότατον τοῖς ἐναίμοις, καὶ οὐκ ἐπίκτητον, ἀλλ' ὑπάρχει πᾶσι τοῖς μὴ φθειρομένοις. Πᾶν δ' αἷμά ἐστιν ἐν ἀγγείῳ, ἐν ταῖς καλουμέναις φλεψίν, [b] ἐν ἄλλῳ δὲ οὐδενὶ πλὴν ἐν τῇ καρδίᾳ μόνον. Οὐκ ἔχει δὲ [c] αἴσθησιν τὸ

[a] επίπλοιον Aa.Ca. [b] οἷον αἱ ἐγχέλυς Ca. [c] ὀλίγον] ἅλαι P. [d] γὰρ om. Aa. [e] πίονα] πλείονα Aa. [f] δ'] δέ γε Aa. [g] στεατικῶν Aa, σταθητῶν Ca. [h] ὁ δεξιὸς ἀεὶ Da. [i] τὸ om. P.Ca.Da. [k] στεατώδη μᾶλλον] ὀστεώδη Aa. [l] πάντῃ τῶν καλυφθέντων P. [m] οὐσίαν Aa. [n] ὀψέ ποτε τὰ Aa.Ca. [o] τὴν τρ.] τῆς τροφῆς Aa.Ca. [p] γὰρ ἔχουσι P.Da. [q] τὸ τοιοῦτον] τοῦτο τὸ Aa.Ca. [r] ἀτονώτερα P. [s] τὰ] πάντα τὰ Aa.Ca. [t] θήλεια Aa. [v] πρεσβύτερα om. P. [w] ὅταν καὶ] ὄντα Aa.Ca. [x] ἔχει P.Aa.Ca. [y] αὐξάνεται Ca, αὔξεται Aa. [z] δὲ] δὲ τοῦ Da. [a] ἅπασιν P.Ca. et post ἐναίμοις Da. [b] ἐν ante ἄλλῳ om. Da. [c] τὸ αἷμα αἴσθησιν Ca.

Digitized by Google

αἷμα ἀπτομένων ἐν οὐδενὶ τῶν ζῴων, ὥσπερ οὐδ' ἡ [d]περίττωσις ἡ [e]ἐν τῇ κοιλίᾳ· οὐδὲ δὴ [f]ὁ ἐγκέφαλος οὐδ' [g]ὁ μυελὸς [h]οὐκ ἔχει αἴσθησιν ἁπτομένων. [v]Ὅπου δ' ἄν τις διέλῃ [i]τὴν σάρκα, γίνεται αἷμα ἐν ζῶντι, ἐὰν μὴ [k]ᾖ διεφθαρμένη ἡ σάρξ. [w]Ἔστι δὲ τὴν φύσιν τὸ αἷμα τόν τε χυμὸν ἔχον γλυκύν, ἐάν 3
περ ὑγιὲς ᾖ, καὶ τὸ χρῶμα ἐρυθρόν· τὸ δὲ χεῖρον ἢ φύσει ἢ νόσῳ μελάντερον. Καὶ οὔτε λίαν παχὺ οὔτε λίαν λεπτὸν τὸ βέλτιστον, ἐὰν μὴ χεῖρον [l]ᾖ διὰ φύσιν ἢ διὰ νόσον. Καὶ ἐν μὲν τῷ ζῴῳ [m]ὑγρὸν καὶ θερμὸν ἀεί, ἐξιὸν δὲ ἔξω 4
πήγνυται πάντων πλὴν ἐλάφου καὶ προκὸς καὶ εἴ τι ἄλλο τοιαύτην ἔχει τὴν φύσιν· τὸ δ' ἄλλο αἷμα πήγνυται, ἐὰν μὴ ἐξαιρεθῶσιν αἱ ἶνες. [n]Τάχιστα δὲ πήγνυται τὸ τοῦ ταύρου αἷμα πάντων. [x]Ἔστι δὲ [o]τῶν ἐναίμων ταῦτα πολυαι- 5
μότερα [p]τὰ καὶ ἐν αὐτοῖς καὶ ἔξω ζῳοτόκα [καὶ] τῶν ἐναίμων μὲν φωτοκούντων δέ. Τὰ δὲ εὖ ἔχοντα ἢ [q]φύσει ἢ τῷ ὑγιαίνειν οὔτε πολὺ λίαν ἔχει, ὥσπερ τὰ πεπωκότα πόμα πρόσφατον, οὔτ' ὀλίγον, ὥσπερ τὰ πίονα λίαν· τὰ γὰρ πίονα καθαρὸν μὲν ἔχει ὀλίγον δὲ τὸ αἷμα, καὶ γίνεται πιότερα γινόμενα [r]ἀναιμότερα· ἄναιμον γὰρ τὸ πῖον. Καὶ 6
[s]τὸ μὲν πῖον ἄσηπτον, τὸ [t]δ' αἷμα καὶ τὰ ἔναιμα τάχιστα σήπεται, καὶ τούτων τὰ περὶ τὰ ὀστᾶ. [y]Ἔχει δὲ λεπτότατον μὲν αἷμα καὶ καθαρώτατον ἄνθρωπος, παχύτατον δὲ καὶ [v]μελάντατον τῶν ζῳοτόκων ταῦρος καὶ ὄνος. Καὶ ἐν τοῖς κάτω δὲ μορίοις ἢ ἐν τοῖς ἄνω παχύτερον τὸ αἷμα γίνεται καὶ μελάντερον. Σφύζει δὲ τὸ αἷμα ἐν ταῖς φλεψὶν 7
[w]ἐν ἅπασι πάντῃ ἅμα τοῖς ζῴοις, καὶ ἔστι [x]τῶν ὑγρῶν [y]μόνον καθ' ἅπαν τε τὸ σῶμα τοῖς ζῴοις καὶ ἀεί, ἕως ἂν ζῇ, τὸ αἷμα μόνον. Πρῶτον δὲ γίνεται τὸ αἷμα [z]ἐν τῇ

[d] περίττωσις τῶν ζῴων ἡ P.D[a]. [e] ἐν τῇ κοιλίᾳ] τῆς κοιλίας A[a].C[a]. [f] ὁ om. P.D[a]. [g] ὁ om. P.C[a].D[a]. [h] οὐκ om. P.D[a]. [i] τὴν om. A[a]. [k] ᾖ post σάρξ A[a].C[a]. [l] ἢ διὰ φύσιν ἢ διὰ νόσον ᾖ. καὶ P.D[a]. [m] θερμὸν καὶ ὑγρὸν A[a]. [n] τάχα A[a]. [o] τῶν] τῶν μὲν C[a]. [p] τὰ] ἃ C[a]. [q] φύσεως A[a]. [r] ἀναιμότερα P. [s] τὰ μὲν πίονα ἄσηπτον τὸ αἷμα ἔχει, τὸ P.D[a]. [t] δ' om. C[a]. [v] μέλαν P. [w] ἐν om. A[a].C[a]. [x] τῶν] δὲ τῶν P.D[a]. [y] μόνον] μὲν C[a]. [z] ἐν τοῖς ζώοις ἐν τῇ καρδίᾳ A[a].

Digitized by Google

καρδίᾳ τοῖς ζῴοις, καὶ [a]πρὶν ὅλον διηρθρῶσθαι τὸ σῶμα.
8 Στερισκομένου δ' αὐτοῦ καὶ ἀφιεμένου ἔξω πλείονος [b]μὲν ἐκθνήσκουσι, πολλοῦ δ' ἄγαν ἀποθνήσκουσιν. [1]Ἐξυγραινομένου δὲ λίαν νοσοῦσιν· γίνεται γὰρ ἰχωροειδές, καὶ [c]διορροῦται οὕτως ὥστε ἤδη τινὲς ἴδισαν αἱματώδη ἱδρῶτα. Καὶ ἐξιὸν ἐνίοις οὐ πήγνυται παντελῶς ἢ διωρισμένως καὶ χωρίς.
9 Τοῖς δὲ καθεύδουσιν ἐν τοῖς ἐκτὸς μέρεσιν ἔλαττον γίνεται τὸ αἷμα, ὥστε καὶ κεντουμένων μὴ ῥεῖν ὁμοίως. Γίνεται δὲ [d]πεττόμενον ἐξ [e]ἰχῶρος μὲν αἷμα, ἐξ αἵματος δὲ πιμελή· [f]νενοσηκότος δ' αἵματος αἱμορροῖς ἥ τ' ἐν ταῖς ῥισὶ καὶ ἡ [g]περὶ τὴν ἕδραν, καὶ [h]ἰξία. [i]Σηπόμενον [k]δὲ γίνεται τὸ
10 αἷμα ἐν τῷ σώματι [l]πύον, ἐκ δὲ τοῦ πύου [m]πῶρος. Τὸ δὲ τῶν [n]θηλειῶν πρὸς τὸ τῶν ἀρρένων διαφέρει· [o]παχύτερόν τε γὰρ καὶ μελάντερόν [p]ἐστιν ὁμοίως ἐχόντων πρὸς [q]ὑγίειαν καὶ ἡλικίαν ἐν [r]τοῖς θήλεσιν, καὶ [s]ἐπιπολῆς μὲν ἔλαττον
11 [t]ἐν [v]τοῖς θήλεσιν, ἐντὸς δὲ πολυαιμότερον. Μάλιστα δὲ καὶ τῶν [w]θηλέων [x]ζῴων γυνὴ πολύαιμον, καὶ τὰ καλούμενα καταμήνια γίνεται πλεῖστα τῶν ζῴων [y]ἐν ταῖς γυναιξίν. Νενοσηκὸς δὲ τοῦτο τὸ αἷμα καλεῖται ῥοῦς. Τῶν δ' ἄλλων τῶν νοσηματικῶν ἧττον μετέχουσιν αἱ γυναῖκες. [1]Ὀλίγαις δὲ γίνεται ἰξία καὶ αἱμορροῖς καὶ ἐκ ῥινῶν ῥύσις· ἐὰν δέ [z]τι
12 συμβαίνῃ τούτων, [a]τὰ καταμήνια χείρω γίνεται. Διαφέρει δὲ [b]καὶ κατὰ τὰς ἡλικίας πλήθει καὶ εἴδει τὸ αἷμα· ἐν μὲν γὰρ τοῖς πάμπαν νέοις [c]ἰχωροειδές ἐστι καὶ [d]πλεῖον, ἐν δὲ τοῖς γέρουσι παχὺ καὶ μέλαν καὶ ὀλίγον, ἐν ἀκμάζουσι δὲ μέσως· καὶ πήγνυται [e]ταχὺ τὸ τῶν γερόντων, κἂν ἐν τῷ σώματι ᾖ ἐπιπολῆς· τοῖς δὲ νέοις οὐ γίνεται [f]τοῦτο. [1]Ἰχὼρ

[a] πρινὴ P.D[a]. [b] μὲν οὐ θνήσκουσι A[a].C[a]. [c] διοροῦται P.D[a], διορθοῦται pr. A[a]. [d] πεττομένων P.C[a].D[a]. [e] ἰχώρων P.D[a]. [f] νενοσηκότα A[a]. [g] παρὰ P. [h] ἰξύα P. [i] σηπτόμενον A[a]. [k] δὲ om. A[a].C[a]. [l] πύος P.D[a]. [m] πόρος P.C[a].D[a], σπόρος A[a]. [n] θηλειῶν αἷμα πρὸς A[a]. [o] παχύτατον γὰρ A[a]. [p] ἐστιν om. P. [q] ὑγείαν A[a]. [r] ταῖς A[a]. [s] ἐπὶ πολλοῖς D[a]. [t] ἐν] μὲν ἐν P.C[a].D[a]. [v] ταῖς A[a]. [w] θηλειῶν A[a]. [x] ζώων ἡ γυνὴ P.D[a]. [y] ἐν om. A[a].C[a]. [z] τισι A[a]. [a] γίγνεται χείρω τὰ καταμήνια A[a]. [b] καὶ om. A[a]. [c] ἶχθω ἀφροειδές ἐστι πλεῖον P. [d] πλέον A[a].C[a]. [e] παχὺ P.C[a]. et pr. A[a]. [f] τοιοῦτον A[a].C[a].

Digitized by Google

δ' ἐστὶν ἄπεπτον αἷμα, ἢ τῷ μήπω πεπέφθαι ἢ τῷ [g]διωρρῶσθαι.

Περὶ δὲ μυελοῦ· καὶ γὰρ τοῦτο ἐν τῶν ὑγρῶν ἐνίοις τῶν 20
ἐναίμων ὑπάρχει ζῴων. Πάντα δὲ ὅσα φύσει ὑπάρχει [h]ὑγρὰ
ἐν τῷ σώματι, ἐν ἀγγείοις ὑπάρχει, ὥσπερ καὶ αἷμα ἐν φλεψὶ
καὶ μυελὸς ἐν ὀστοῖς, τὰ δὲ ἐν ὑμενώδεσι, καὶ [i]δέρμασι καὶ
κοιλίαις. Γίνεται δὲ ἐν μὲν τοῖς νέοις αἱματώδης πάμπαν ὁ 2
μυελός, πρεσβυτέρων δὲ [k]γενομένων ἐν μὲν τοῖς πιμελώδεσι
πιμελώδης, ἐν δὲ τοῖς στεατώδεσι στεατώδης. Οὐ πάντα δ' 3
ἔχει [l]τὰ ὀστᾶ μυελόν, ἀλλὰ τὰ κοῖλα, καὶ [m]τούτων ἐνίοις
οὐκ ἔνεστιν· τὰ γὰρ τοῦ λέοντος ὀστᾶ τὰ μὲν οὐκ [n]ἔχει, τὰ
δ' [o]ἔχει πάμπαν μικρόν, διόπερ ἔνιοι οὔ φασιν ὅλως ἔχειν
μυελὸν τοὺς λέοντας, ὥσπερ [p]εἴρηται πρότερον. Καὶ ἐν
τοῖς ὑείοις δ' ὀστοῖς ἐλάττων [q]ἐστίν, ἐνίοις δ' αὐτῶν πάμπαν
οὐκ ἔνεστιν.

Ταῦτα μὲν οὖν τὰ ὑγρὰ σχεδὸν ἀεὶ [r]σύμφυτά [s]ἐστι τοῖς 4
ζῴοις, ὑστερογενῆ δὲ γάλα [t]τε καὶ γονή. Τούτων δὲ τὸ
[v]μὲν ἀποκεκριμένον ἅπασιν, ὅταν ἐνῇ, [w]ἔνεστι, [x]τὸ γάλα·
ἡ δὲ γονὴ οὐ πᾶσιν ἀλλ' [y]ἐνίοις οἱ καλούμενοι θοροὶ τοῖς
ἰχθύσιν. [v]Ἔχει δέ, ὅσα ἔχει τὸ γάλα, ἐν τοῖς μαστοῖς. 5
Μαστοὺς δ' ἔχει ὅσα [z]ζῳοτοκεῖ καὶ ἐν αὐτοῖς καὶ ἔξω, οἷον
ὅσα τε [a]τρίχας ἔχει, [b]ὥσπερ ἄνθρωπος καὶ ἵππος, καὶ τὰ
κήτη, οἷον δελφὶς καὶ φώκη καὶ φάλαινα· καὶ γὰρ ταῦτα
μαστοὺς ἔχει καὶ [c]γάλα. [v]Ὅσα δ' ἔξω ζῳοτοκεῖ μόνον ἢ
ᾠοτοκεῖ, οὐκ ἔχει οὔτε μαστοὺς οὔτε γάλα, οἷον [d]ἰχθὺς καὶ
ὄρνις. Πᾶν δὲ γάλα ἔχει ἰχῶρα ὑδατώδη, ὃ καλεῖται [e]ὀρρός, 6
καὶ σωματῶδες, ὃ καλεῖται τυρός· ἔχει δὲ πλείω τυρὸν τὸ
παχύτερον τῶν γαλάκτων. Τὸ μὲν οὖν τῶν μὴ ἀμφωδόντων

g διορῶσθαι P.D[a], διωρίσθαι A[a].C[a]. h ἐν τῷ σώματι ὑγρά P.D[a]. i δέρματι καὶ κοιλίᾳ A[a]. k γιγνομένων A[a]. l τὰ ὀστᾶ om. P. m τούτων ἐν ἐνίοις A[a].C[a]. n ἔχει] ἔχει πάμπαν A[a].C[a]. o ἔχει om. P.D[a]. p εἴρηται καὶ πρότερον P.A[a]. q ἐστίν, ἐν ἐνίοις A[a].C[a]. r σύμφυλλα A[a]. s τοῖς ζώοις ἐστί P.C[a].D[a]. t τε om. A[a].C[a]. v μὲν καὶ ἀποκεκριμένον P.D[a]. w ἐστι A[a].C[a]. x τὸ om. A[a]. y ἐνίοις οἷον οἱ κ. θ. ἐν ἰχθύσιν P.D[a]. z ζωοτόκα P. a ἔχει τρίχας P.D[a]. b ὥσπερ] οἷον D[a]. c γάλα] τἆλλα A[a]. d ἰχθύες καὶ ὄρνιθες P.D[a]. e ὀρός C[a].

Digitized by Google

γάλα πήγνυται (διὸ καὶ τυρεύεται τῶν [f] ἡμέρων), τῶν δ' ἀμφωδόντων [g] οὐ πήγνυται, ὥσπερ οὐδ' ἡ πιμελή, καὶ ἔστι
7 λεπτὸν καὶ γλυκύ. Ἔστι δὲ λεπτότατον μὲν γάλα καμήλου, δεύτερον δ' ἵππου, τρίτον δὲ ὄνου· [h] παχύτατον δὲ τὸ βόειον. Ὑπὸ μὲν οὖν τοῦ ψυχροῦ οὐ πήγνυται τὸ γάλα, ἀλλὰ [i] διορροῦται μᾶλλον· ὑπὸ δὲ τοῦ πυρὸς πήγνυται καὶ παχύνεται. Οὐ γίνεται δὲ γάλα, πρὶν [k] ἢ ἔγκυον γένηται,
8 οὐδενὶ τῶν ζῴων ὡς ἐπὶ [l] τὸ πολύ. [v] Ὅταν δ' ἔγκυον ᾖ, γίνεται μέν, ἄχρηστον δὲ [m] τὸ πρῶτον καὶ ὕστερον. Μὴ ἐγκύοις δ' οὔσαις [n] ὀλίγον μὲν ἀπ' ἐδεσμάτων τινῶν, οὐ μὴν ἀλλὰ καὶ [o] βδαλλομέναις ἤδη πρεσβυτέραις προῆλθε, καὶ
9 τοσοῦτον ἤδη τισὶν ὥστ' [p] ἐκτιτθεῦσαι [q] παιδίον. Καὶ [r] οἱ περὶ [s] τὴν [t] Οἴτην δέ, ὅσαι ἂν μὴ [u] ὑπομένωσι τὴν ὀχείαν τῶν αἰγῶν, λαμβάνοντες [v] κνίδην τρίβουσι τὰ οὔθατα βίᾳ διὰ τὸ ἀλγεινὸν εἶναι· τὸ μὲν οὖν πρῶτον αἱματῶδες ἀμέλγονται, εἶθ' ὑπόπυον, τὸ δὲ τελευταῖον γάλα ἤδη οὐδὲν ἔλατ-
10 τον τῶν ὀχευομένων. Τῶν δ' [w] ἀρρένων ἔν τε τοῖς ἄλλοις ζῴοις καὶ ἐν ἀνθρώπῳ [x] ἐν οὐδενὶ μὲν ὡς ἐπὶ τὸ πολὺ γίνεται γάλα, [y] ὅμως δὲ γίνεται ἔν τισιν, ἐπεὶ καὶ ἐν Λήμνῳ [z] αἶξ ἐκ τῶν [a] μαστῶν, οὗς ἔχει δύο ὁ ἄρρην παρὰ τὸ αἰδοῖον, γάλα ἠμέλγετο τοσοῦτον ὥστε γίνεσθαι [b] τροφαλίδα, καὶ πάλιν
11 ὀχεύσαντος τῷ ἐκ τούτου γενομένῳ συνέβαινε ταὐτόν. Ἀλλὰ τὰ μὲν τοιαῦτα ὡς σημεῖα [c] ὑπολαμβάνουσιν, ἐπεὶ καὶ τῷ ἐν Λήμνῳ ἀνεῖλεν ὁ θεὸς [d] μαντευσαμένῳ ἐπίκτησιν ἔσεσθαι [e] χρημάτων. Ἐν δὲ τοῖς ἀνδράσι μεθ' ἥβην ἐνίοις ἐκθλίβεται ὀλίγον· βδαλλομένοις δὲ καὶ πολὺ ἤδη τισὶ προῆλθεν. Ὑπάρχει δ' ἐν τῷ γάλακτι λιπαρότης, [f] ἣ καὶ ἐν τοῖς πεπη-

[f] ἡμετέρων C^a. [g] οὐ] γάλα οὐ P. [h] παχύτερον P.D^a. [i] διορροῦται A^a.C^a. [k] ἢ] μὴ A^a.C^a. [l] τὸ om. A^a. [m] τὸ om. P.D^a. [n] ὀλίγα P.A^a.D^a. [o] βαλλομέναις P. [p] ἐκτιθεῦσαι A^a. [q] τὸ παιδίον A^a.C^a. [r] οἱ om. P.D^a. [s] τὴν om. D^a. [t] Οἴτην om. P. [u] ὑπομείνωσι P. [v] κνείδην P. [w] ἀρσένων P.D^a. [x] ἐν οὐδενὶ μὲν ὡς ἐπὶ τὸ πολὺ] ὡς μὲν ἐπὶ τὸ πολὺ οὐ P.D^a. [y] ὅμως—τισιν] ἔν τισι δὲ γίγνεται P.D^a. [z] αἰγὶ A^a.C^a. [a] μασθῶν D^a. [b] τροφαλίδας P.D^a. et corr. A^a. [c] ὑπολαμβάνει pr. A^a. [d] μαντευσαμένῳ A^a.C^a. [e] πτημάτων A^a.C^a. [f] δ C^a.

Digitized by Google

γόσι γίνεται [5] ἐλαιώδης. Εἰς δὲ τὸ προβάτειον ἐν Σικελίᾳ, 12
καὶ ὅπου [h] πλεῖον, αἴγειον μιγνύουσιν. Πήγνυται [i] δὲ [k] μά-
λιστα οὐ μόνον τὸ τυρὸν ἔχον πλεῖστον, ἀλλὰ καὶ τὸ [l] αὐ-
χμηρότερον ἔχον. Τὰ μὲν οὖν [m] πλέον ἔχει γάλα [n] ἢ ὅσον 13
[o] εἰς τὴν ἐκτροφὴν τῶν τέκνων, καὶ χρήσιμον εἰς τύρευσιν καὶ
ἀπόθεσιν, μάλιστα μὲν τὸ [p] προβάτειον καὶ τὸ αἴγειον,
ἔπειτα τὸ βόειον· τὸ δ' ἵππειον καὶ [q] τὸ ὄνειον μίγνυται εἰς
τὸν Φρύγιον τυρόν. [r] Ἔνεστι δὲ τυρὸς πλείων ἐν τῷ βοείῳ 14
ἢ ἐν τῷ αἰγείῳ· γίνεσθαι γάρ φασιν [s] οἱ νομεῖς ἐκ μὲν [t] ἀμ-
φορέως αἰγείου γάλακτος τροφαλίδας [v] ὀβολιαίας μιᾶς δεού-
σης εἴκοσιν, ἐκ δὲ βοείου τριάκοντα. Τὰ δ' ὅσον τοῖς τέκνοις
ἱκανόν, πλῆθος δ' οὐδὲν οὔτε χρήσιμον εἰς τύρευσιν, οἷον
πάντα τὰ πλείους ἔχοντα μαστοὺς δυοῖν· οὐδενὸς γὰρ τούτων
οὔτε πλῆθός ἐστι γάλακτος οὔτε τυρεύεται τὸ γάλα. Πή- 15
γνυσι δὲ τὸ γάλα ὀπός [w] τε συκῆς καὶ πυετία. [x] Ὁ μὲν οὖν
ὀπὸς εἰς [x] ἔριον ἐξοπισθείς, ὅταν ἐκπλυθῇ πάλιν τὸ ἔριον εἰς
γάλα ὀλίγον· τοῦτο γὰρ κεραννύμενον πήγνυσιν. [y] Ἡ δὲ
πυετία γάλα ἐστίν· τῶν γὰρ ἔτι θηλαζόντων [y] ἐστὶν ἐν τῇ
κοιλίᾳ. Γίνεται οὖν ἡ πυετία γάλα ἔχον ἐν [z] ἑαυτῷ τυρόν· 21
ἐκ δὲ τῆς τοῦ ζῴου θερμότητος πεττομένου τοῦ γάλακτος
γίνεται. [a] Ἔχει δὲ πυετίαν τὰ μὲν μηρυκάζοντα πάντα, τῶν
δ' ἀμφωδόντων δασύπους. [a] Βελτίων δ' ἐστὶν ἡ πυετία [b] ὅσῳ
ἂν ᾖ παλαιοτέρα· συμφέρει γὰρ πρὸς τὰς διαρροίας ἡ τοιαύ-
τη μάλιστα καὶ ἡ τοῦ δασύποδος· ἀρίστη δὲ πυετία [c] ἡ τοῦ
νεβροῦ. Διαφέρει δὲ [d] τὸ [e] πλέον [f] ἰμᾶσθαι γάλα ἢ ἔλαττον 2
τῶν ἐχόντων γάλα ζῴων κατά τε τὰ μεγέθη τῶν σωμάτων
[g] καὶ τὰς τῶν [h] ἐδεσμάτων διαφοράς, οἷον ἐν [i] Φάσει μέν ἐστι

[5] ἐλαιῶδες Aª. [h] πῖον Aª.Cª. [i] δὲ om. Cª. [k] οὐ μάλιστα τὸ, omisso μόνον, Aª. [l] αὐχμηρότατον P, αὐχμηρότατον πλέον Dª. [m] πλεῖον P.Aª.Cª. [n] ἢ om. P. [o] εἰς τροφὴν P.Dª. [p] προβάτειον ἔπειτα δὲ τὸ βόειον Aª.Cª. [q] τὸ post καὶ om. P.Aª. [r] ἔστι Aª.Cª. [s] οἱ om. P. [t] ἀμφορέος Aª. [v] ὀβελιαίας μιᾶς δὲ οὔσας P. [w] τε om. P.Dª. [x] ἔρια Aª.Cª. [y] ἐστὶν] τοῦτο γὰρ P. [z] αὐτῷ πῦρ ὃ ἐκ τῆς P.Dª. [a] βέλτιον Aª.Cª. [b] ὅσον P.Dª. [c] ἡ τοῦ post πυετία om. Cª. [d] τῷ Cª. [e] πλεῖον Aª.Dª. [f] ἰμ. γ. ἢ ἔλ.] ἢ ἔλαττον βδάλλεσθαι γάλα P.Dª. [g] καὶ] κατὰ Aª. [h] ἐδεσμάτων] σώματων P. [i] φάσι P.

Digitized by Google

[k] βοίδια μικρὰ ὧν ἕκαστον βδάλλεται γάλα πολύ, αἱ δ' [1] Ἠπειρωτικαὶ βόες [l] αἱ μεγάλαι [m] βδάλλονται [n] ἑκάστη ἀμφορέα καὶ τούτου [o] τὸ ἥμισυ κατὰ τοὺς δύο μαστούς· ὁ δὲ βδάλλων ὀρθὸς [p] ἕστηκεν, μικρὸν ἐπικύπτων, διὰ τὸ μὴ δύ-3 νασθαι ἂν [q] ἐφικέσθαι καθήμενος. Γίνεται [r] δ' ἔξω ὄνου καὶ τἆλλα μεγάλα ἐν τῇ [1] Ἠπείρῳ τετράποδα, μέγιστοι δ' [s] οἱ βόες καὶ οἱ κύνες. Νομῆς δὲ δέονται τὰ μεγάλα πλείονος· ἀλλ' ἔχει πολλὴν [t] ἡ χώρα τοιαύτην εὐβοσίαν, καὶ καθ' ἑκάστην ὥραν ἐπιτηδείους τόπους. [v] Μέγιστοι δ' οἵ τε βόες εἰσὶ καὶ τὰ πρόβατα τὰ καλούμενα [w] Πυρρικά, [x] τὴν ἐπωνυ-4 μίαν ἔχοντα ταύτην ἀπὸ Πύρρου τοῦ βασιλέως. Τῆς δὲ τροφῆς ἡ μὲν σβέννυσι τὸ γάλα, οἷον ἡ Μηδικὴ πόα, καὶ μάλιστα τοῖς μηρυκάζουσιν· ποιεῖ δὲ πολὺ ἕτερα, οἷον κύτισος καὶ ὄροβοι, πλὴν κύτισος [y] μὲν ὁ ἀνθῶν οὐ συμφέρει (πίμπρησι γάρ), οἱ δὲ ὄροβοι [z] ταῖς κυούσαις οὐ συμφέρουσι 5 (τίκτουσι γὰρ χαλεπώτερον). [v] Ὅλως δὲ τὰ φαγεῖν δυνάμενα τῶν τετραπόδων, ὥσπερ [a] καὶ πρὸς τὴν [b] κύησιν συμφέρει, καὶ βδάλλεται [c] πολὺ τροφὴν ἔχοντα. [d] Ποιεῖ δὲ γάλα [e] καὶ τῶν φυσωδῶν ἔνια προσφερόμενα, οἷον καὶ κυάμων πλῆθος [f] οἷ καὶ αἰγὶ καὶ βοῒ καὶ χιμαίρᾳ· ποιεῖ γὰρ καθιέναι τὸ 6 οὖθαρ. [g] Σημεῖον δὲ τοῦ γάλα [h] πλεῖον [i] γενήσεσθαι, ὅταν πρὸ τοῦ τόκου τὸ οὖθαρ [k] βλέπῃ κάτω. Γίνεται δὲ πολὺν χρόνον [l] γάλα [m] πᾶσι τοῖς ἔχουσιν, ἂν ἀνόχευτα διατελῇ καὶ τὰ ἐπιτήδεια ἔχωσι, μάλιστα δὲ τῶν τετραπόδων [n] πρόβατον· ἀμέλγεται [o] γὰρ μῆνας ὀκτώ. [p] Ὅλως δὲ τὰ μηρυκά-7 ζοντα γάλα πολὺ καὶ χρήσιμον εἰς τυρείαν ἀμέλγεται. Περὶ

[k] βοῖδια P.A[a].C[a]. [l] αἱ μεγάλαι om. A[a].C[a]. [m] βδάλλεται P.D[a]. [n] ἕκαστος P. [o] τὸ om. A[a].C[a]. [p] ἕστηκεν ἡ μικρὸν P.D[a]. [q] ἐφικνεῖσθαι A[a].C[a]. [r] δ' ἔξω ὄνου] δὲ ζῶα οὗ P.D[a]. [s] οἱ om. P. [t] ἡ τοιαύτη χώρα εὐοσίαν A[a]. [v] μεστοὶ P. [w] πυρικὰ A[a]. [x] τὴν] τὰ τὴν P.D[a]. [y] μὲν om. P.D[a]. [z] ταῖς] καὶ ταῖς P.D[a]. [a] καὶ τὰ πρὸς A[a]. [b] κύστιν A[a], κτῆσιν P.D[a]. [c] πολλὴν A[a].C[a]. [d] πολὺ δὲ γάλα ποιεῖ P.D[a]. [e] καὶ om. A[a].C[a]. [f] οἷ] οἷον οἷ C[a], ὀλίγον οἷ P.D[a]. [g] σημεῖον—οὖθαρ om. P. [h] πλέον D[a]. [i] ἰμήσασθαι A[a].C[a]. [k] βδάλλῃ P. [l] γάλα post ἔχουσιν A[a].C[a]. [m] πᾶσι] παρὰ P.C[a], om. D[a]. [n] πρόβατα P, τὰ πρόβατα D[a]. [o] γὰρ μῆνας] μῆνας καὶ C[a]. [p] ὅμως A[a].

Digitized by Google

δὲ Τορώνην [q] αἱ βόες ὀλίγας ἡμέρας πρὸ τοῦ τόκου διαλείπουσι, τὸν δ' ἄλλον χρόνον πάντα ἔχουσι γάλα. Τῶν [r] δὲ γυναικῶν τὸ [s] πελιδνότερον γάλα βέλτιον τοῦ λευκοῦ τοῖς [t] τιτθευομένοις· καὶ αἱ [v] μέλαιναι τῶν λευκῶν ὑγιεινότερον ἔχουσιν. [w] Τροφιμώτατον μὲν οὖν τὸ πλεῖστον ἔχον τυρόν, ὑγιεινότερον δὲ τοῖς παιδίοις τὸ ἔλαττον.

Σπέρμα δὲ προΐενται [x] πάντα τὰ ἔχοντα αἷμα. Τί δὲ συμ- 22
βάλλεται εἰς τὴν γένεσιν καὶ [y] πῶς, ἐν ἄλλοις λεχθήσεται. Πλεῖστον δὲ κατὰ τὸ σῶμα ἄνθρωπος προΐεται. [u] Ἔστι δὲ τῶν μὲν ἐχόντων τρίχας γλίσχρον, τῶν δ' ἄλλων ζῴων οὐκ ἔχει γλισχρότητα. Λευκὸν δὲ πάντων· ἀλλ' [l] Ἡρόδοτος διέψευσται γράψας τοὺς Αἰθίοπας προΐεσθαι μέλαιναν [z] τὴν γονήν. Τὸ δὲ σπέρμα ἐξέρχεται μὲν [a] λευκὸν καὶ παχύ, ἂν ἢ [b] ὑγιει- 2
νόν, θύραζε δ' ἐλθὸν λεπτὸν γίνεται καὶ μέλαν. [t] Ἐν δὲ τοῖς πάγοις οὐ πήγνυται, ἀλλὰ γίνεται πάμπαν λεπτὸν καὶ ὑδατῶδες καὶ τὸ χρῶμα καὶ τὸ πάχος· ὑπὸ [c] δὲ τοῦ θερμοῦ πήγνυται καὶ παχύνεται. Καὶ ὅταν ἐξίῃ χρονίσαν ἐν τῇ ὑστέ- 3
ρᾳ, παχύτερον ἐξέρχεται, ἐνίοτε δὲ ξηρὸν καὶ συνεστραμμένον. Καὶ τὸ μὲν γόνιμον ἐν τῷ ὕδατι χωρεῖ κάτω, τὸ δ' ἄγονον διαχεῖται. Ψευδὲς δ' ἐστὶ καὶ [d] ὃ Κτησίας γέγραφε περὶ τῆς γονῆς τῶν ἐλεφάντων.

[e] Δ.

Περὶ μὲν οὖν τῶν ἐναίμων ζῴων, ὅσα τε κοινὰ ἔχουσι μέρη καὶ ὅσα ἴδια ἕκαστον γένος, καὶ τῶν ἀνομοιομερῶν καὶ τῶν ὁμοιομερῶν, καὶ ὅσα [f] ἐντὸς καὶ ὅσα ἐκτός, εἴρηται πρότερον· περὶ δὲ τῶν ἀναίμων [g] ζῴων [h] νυνὶ λεκτέον. [u] Ἔστι δὲ 2
[i] γένη πλείω, ἓν μὲν τὸ τῶν καλουμένων μαλακίων· ταῦτα δ'

[q] οἱ A^a. [r] δὲ om. A^a. [s] πελιώτερον $A^a.C^a$. [t] τιθευομένοις pr. A^a. [v] μέλανες $P.D^a$. [w] τροφιμώτερον C^a, τρόφιμον A^a. [x] ἅπαντα τὰ ἔχοντα αἷμα C^a, τὰ ἔχ. αἷμα ἅπαντα A^a. [y] ὅπως $P.D^a$. [z] τὴν om. $A^a.C^a$. [a] λεπτὸν A^a. [b] ὑγιαῖνον $A^a.C^a$. [c] τοῦ θερμοῦ δὲ $P.D^a$. [d] δ] ὃ ὁ $A^a.C^a$, ὅπερ D^a. [e] Δ.] ϵ~'. C^a. [f] ἐκτὸς καὶ ὅσα ἐντός $A^a.C^a$. [g] ζώων om. $A^a.C^a$. [h] νῦν $A^a.C^a$. [i] γένη ταῦτα πλείω A^a, γένη αὐτῶν πλείω C^a.

Digitized by Google

ἐστὶν ὅσα ἄναιμα ὄντα ἐκτὸς ἔχει τὸ σαρκῶδες, ἐντὸς δ' [k]εἴ τι ἔχει στερεόν, καθάπερ καὶ τὰ [l]ἔναιμα, οἷον τὸ τῶν σηπιῶν
3 γένος. [m n]Ἐν δὲ τὸ τῶν μαλακοστράκων· ταῦτα δ' ἐστὶν [n]ὅσων ἐκτὸς τὸ στερεόν, ἐντὸς δὲ [o]τὸ μαλακὸν καὶ σαρκῶδες· τὸ δὲ σκληρὸν αὐτῶν ἐστὶν οὐ θραυστὸν ἀλλὰ [p]θλαστόν, οἷόν ἐστι τό [q]τε τῶν [r]καράβων γένος καὶ τὸ τῶν καρκίνων.
4 [s u]Ἔτι δὲ τὰ ὀστρακόδερμα· τοιαῦτα δ' ἐστὶν ὧν ἐντὸς μὲν τὸ σαρκῶδές [t]ἐστιν, ἐκτὸς δὲ τὸ στερεόν, θραυστὸν ὂν καὶ κατακτόν, ἀλλ' οὐ [u]θλαστόν· τοιοῦτον [v]δὲ [w]τὸ τῶν [x]κοχλιῶν γένος καὶ τὸ τῶν ὀστρέων ἐστίν. Τέταρτον δὲ τὸ τῶν ἐντόμων, [y]ὃ πολ-
5 λὰ καὶ ἀνόμοια [y]περιείληφε εἴδη ζῴων. [z]Ἔστι δ' ἔντομα ὅσα κατὰ τοὔνομα ἐστὶν ἐντομὰς ἔχοντα ἢ ἐν τοῖς ὑπτίοις ἢ ἐν τοῖς πρανέσιν ἢ ἐν ἀμφοῖν, καὶ οὔτε ὀστῶδες ἔχει [z]ἓν κεχωρισμένον οὔτε σαρκῶδες, ἀλλὰ μέσον [a]ἀμφοῖν· τὸ σῶμα γὰρ ὁμοίως
6 καὶ ἔσω καὶ ἔξω σκληρόν ἐστιν αὐτῶν. [v]Ἔστι δ' ἔντομα καὶ ἄπτερα, οἷον ἴουλος καὶ σκολόπενδρα, καὶ πτερωτά, οἷον μέλιττα καὶ [b]μηλολόνθη καὶ σφήξ· [c]καὶ ταὐτὸ δὲ [d]γένος ἐστὶ καὶ πτερωτὸν καὶ ἄπτερον, οἷον μύρμηκές εἰσι καὶ πτερωτοὶ
7 καὶ ἄπτεροι, καὶ αἱ καλούμεναι [e]πυγολαμπίδες. Τῶν μὲν οὖν μαλακίων καλουμένων τὰ μὲν ἔξω μόρια [f]τάδ' ἐστίν, ἓν μὲν οἱ ὀνομαζόμενοι πόδες, δεύτερον δὲ τούτων ἐχομένη [g]ἡ κεφαλή, τρίτον δὲ τὸ κύτος, [g]ὃ περιέχει [h]τἀντὸς, καὶ καλοῦσιν αὐτὸ
8 [i]κεφαλήν τινες, οὐκ ὀρθῶς καλοῦντες· [k]ἔτι δὲ πτερύγια κύκλῳ περὶ τὸ κύτος. Συμβαίνει δ' ἐν πᾶσι τοῖς μαλακίοις μεταξὺ τῶν ποδῶν καὶ τῆς γαστρὸς εἶναι τὴν κεφαλήν. Πόδας μὲν

k ὅτι ἔχει Ca, ἔχει τὸ P, τὸ Da. l ἔναιμα τῶν ζώων οἷον καὶ τὸ Aa.Ca. m ἐν δὲ τῶν μαλακοστράκων P, τὰ δὲ μαλακόστρακα Aa.Ca. n ὅσα τὸ μὲν (μὲν τὸ P.) στερεὸν ἐκτὸς ἔχουσιν P.Da. o τὸ om. Aa.Ca. p φλαστόν Da, φλαυστόν P. q τε om. Aa. r καρκίνων γένος καὶ τὸ τῶν καράβων P.Da. s ἐν δὲ τῶν ὀστρακοδέρμων P.Da. t ἐστιν om. Ca. u φλαστόν Da, φλαυστόν P. v δὴ Da. w τὸ] καὶ τὸ Aa, τό τε P.Da. x κόχλων καὶ τὸ τῶν ὀστρέων γένος P.Ca.Da. y εἶδη περιείληφε P.Da. z ἓν] ἑγ P.Da, om. Aa.Ca. a ἀμφοῖν ἔχει. τὸ P.Da. b μηλολόνθα Aa. c καὶ post σφὴξ om. P.Da. d γένος αὐτῶν ἐστι Aa.Ca. e πυγ.] πτερόποδες P.Da. f ταῦτα P.Da. g ἡ om. Aa.Ca. h τὰ ἐντὸς Aa, πᾶν τὸ σῶμα P.Da. i κέφαλόν Da. k ἔστι P.Da.

Digitized by Google

οὖν ὀκτὼ [l]πάντ' ἔχει, καὶ τούτους δικοτύλους πάντα, πλὴν ἑνὸς γένους πολυπόδων. [1]Ἰδίᾳ δ' ἔχουσιν [m]αἵ τε σηπίαι καὶ αἱ [n]τευθίδες καὶ οἱ [o]τεῦθοι δύο [p]προβοσκίδας μακρὰς ἐπ' ἄκρων, τραχύτητα ἐχούσας δικότυλον, αἷς προσάγονταί τε καὶ λαμβάνουσιν εἰς τὸ στόμα τὴν τροφήν, καὶ ὅταν [q]χειμὼν ᾖ, [r]βαλλόμεναι πρός τινα πέτραν ὥσπερ [s]ἀγκύρας ἀποσαλεύουσιν. Τοῖς [t]δ' ὥσπερ πτερυγίοις, οἷς ἔχουσι [v]περὶ τὸ 9
κύτος, νέουσιν. [1]Ἐπὶ δὲ τῶν ποδῶν αἱ κοτυληδόνες ἅπασιν εἰσίν. [1]Ὁ μὲν οὖν πολύπους καὶ ὡς [w]ποσὶ καὶ ὡς χερσὶ χρῆται ταῖς πλεκτάναις. [x]Προσάγεται [y]μὲν οὖν ταῖς δυσὶ ταῖς 10
ὑπὲρ τοῦ στόματος· τῇ δ' ἐσχάτῃ τῶν πλεκτανῶν, ἥ ἐστιν ὀξυτάτη τε καὶ μόνη [z]παράλευκος αὐτῶν καὶ ἐξ ἄκρου δικρόα (ἔστι δ' [a]αὕτη ἐπὶ τῇ ῥάχει· καλεῖται δὲ ῥάχις τὸ λεῖον, οὗ πρόσω αἱ κοτυληδόνες εἰσίν), ταύτῃ [b]δὲ τῇ πλεκτάνῃ χρῆται ἐν ταῖς ὀχείαις. Πρὸ τοῦ κύτους δ' ὑπὲρ τῶν πλεκτανῶν 11
ἔχουσι κοῖλον αὐλόν, ᾧ τὴν [c]θάλατταν ἀφιᾶσι [d]δεξάμενοι τῷ κύτει, ὅταν τι τῷ στόματι [e]λαμβάνωσιν. Μεταβάλλει δὲ [f]τοῦτον ὁτὲ μὲν εἰς τὰ δεξιὰ ὁτὲ δὲ εἰς τὰ [g]εὐώνυμα· [h]ἀφιᾶσι [i]δὲ καὶ τὸν θόλον ταύτῃ. Νεῖ δὲ [k]πλάγιος, ἐπὶ τὴν καλου- 12
μένην κεφαλὴν [l]ἐκτείνων τοὺς πόδας· οὕτω δὲ νέοντι συμβαίνει προορᾶν μὲν εἰς τὸ [m]πρόσθεν (ἐπάνω γάρ εἰσι. οἱ ὀφθαλμοί), τὸ δὲ στόμα ἔχει ὄπισθεν. Τὴν δὲ κεφαλήν, ἕως ἂν ζῇ, σκληρὰν ἔχει καθάπερ ἐμπεφυσημένην. [v]Ἅπτεται δὲ καὶ κα- 13
τέχει ταῖς πλεκτάναις ὑπτίαις, καὶ ὁ μεταξὺ [n]τῶν ποδῶν ὑμὴν διατέταται πᾶς· ἐὰν δ' εἰς τὴν ἄμμον [o]ἐμπέσῃ, οὐκέτι δύναται κατέχειν. [v]Ἔχουσι δὲ [p]διαφορὰν οἵ τε πολύποδες καὶ 14

[l] πάντα] πάντας A^a, ἅπαντα D^a. om. P. [m] ἥ τε σηπία P.D^a. [n] super τευθίδες rc. A^a. δοκεῖ εἶναι τὰ καλαμάρια. [o] τευθοὶ P.D^a. [p] προβ. καὶ μ. P. [q] χειμῶνι, omisso ᾖ, P. [r] βαλλόμενα A^a. [s] ἄγκυραν P.D^a. [t] δὲ πτερυγίοις ἃ P.D^a. [v] παρὰ P. [w] ποσὶ καὶ χερσὶ P, χερσὶ καὶ ποσὶ D^a. [x] προσάγει P.D^a. [y] μὲν οὖν] δὲ A^a.C^a. [z] περίλευκος A^a.C^a. [a] αὕτη ἡ ἐπὶ P. [b] δὴ D^a, om. A^a.C^a. [c] θάλασσαν P.D^a. [d] δεξάμενα A^a. [e] λάβωσι A^a. [f] τοῦτο P.D^a. [g] ἀριστερά A^a.C^a. [h] ἀφήσοι A^a. [i] δ' ἕκαστον θορὸν A^a.C^a. [k] πλαγίως C^a, πελαγίως A^a. [l] ἐκτεῖνον A^a. [m] ἔμπροσθεν A^a. [n] τῶν om. D^a. [o] πέσῃ P.D^a. [p] διαφορὰς A^a.

Digitized by Google

τὰ εἰρημένα τῶν [q]μαλακίων· τῶν μὲν γὰρ πολυπόδων τὸ [r]μὲν κύτος μικρόν, οἱ δὲ πόδες μακροί εἰσι, τῶν δὲ τὸ [s]μὲν κύτος μέγα, οἱ δὲ πόδες βραχεῖς, ὥστε μὴ πορεύεσθαι [t]ἐπ' αὐτοῖς. Αὐτῶν δὲ πρὸς αὐτά, τὸ μὲν [v]μακρότερόν [w]ἐστιν ἡ [x]τευθίς, ἡ δὲ σηπία πλατύτερον. Τῶν δὲ τευθίδων οἱ τεῦθοι καλούμενοι [y]ἐπὶ πολὺ μείζους· [z]γίγνονται γὰρ [a]καὶ πέντε πήχεων τὸ μέγεθος. Γίγνονται δὲ καὶ σηπίαι ἔνιαι διπήχεις, καὶ πολυπόδων πλεκτάναι τηλικαῦται καὶ μείζους [b]ἔτι τὸ μέγεθος. [c]Ἔστι δὲ τὸ γένος ὀλίγον τῶν τεύθων. [d]Διαφέρουσι δὲ τῷ σχήματι τῶν τευθίδων οἱ τεῦθοι· πλατύτερον γάρ ἐστι τὸ ὀξὺ τῶν τεύθων, ἔτι δὲ τὸ κύκλῳ πτερύγιον περὶ [e]ἅπαν ἐστὶ τὸ κύτος· τῇ δὲ τευθίδι [f]ἐλλείπει. [g]Ἔστι δὲ πελάγιον, ὥσπερ [h]καὶ ἡ τευθίς. Μετὰ δὲ τοὺς πόδας ἡ κεφαλή [i]ἐστιν ἀπάντων ἐν μέσῳ τῶν ποδῶν τῶν καλουμένων πλεκτανῶν. Ταύτης δὲ τὸ μέν ἐστι στόμα, ἐν ᾧ [k]εἰσὶ δύο ὀδόντες· ὑπὲρ δὲ τούτων ὀφθαλμοὶ [l]μεγάλοι δύο, ὧν τὸ μεταξὺ μικρὸς χόνδρος ἔχων ἐγκέφαλον μικρόν. [1]Ἐν δὲ τῷ στόματί ἐστι μικρὸν σαρκῶδες· γλῶτταν δ' οὐκ ἔχει αὐτῶν οὐδέν, ἀλλὰ τούτῳ χρῆται ἀντὶ γλώττης. Μετὰ δὲ τοῦτο ἔξωθεν μὲν [m]ἔστιν ἰδεῖν τὸ φαινόμενον κύτος. [1]Ἔστι δ' αὐτοῦ ἡ σὰρξ σχιστή, οὐκ εἰς εὐθὺ μέν[n]τοι ἀλλὰ κύκλῳ· δέρμα δ' ἔχουσι πάντα τὰ μαλάκια περὶ ταύτην. Μετὰ δὲ τὸ [o]στόμα ἔχουσιν οἰσοφάγον [p]μακρὸν καὶ στενόν, ἐχόμενον δὲ τούτου πρόλοβον μέγαν καὶ [q]περιφερῆ ὀρνιθώδη. Τούτου δ' ἔχεται ἡ κοιλία οἷον ἤνυστρον· τὸ δὲ σχῆμα [r]ὅμοιον τῇ ἐν τοῖς κήρυξιν [s]ἑλίκῃ. [1]Ἀπὸ δὲ ταύτης ἄνω πάλιν φέρει πρὸς τὸ στόμα ἔντερον λεπτόν· παχύτερον δ' [t]ἐστὶ τοῦ στομάχου τὸ ἔντερον.

q μαλακίων τὰ τῶν πολυποδίων· τῶν P. r μὲν om. P. s κύτος μὲν Da. t ἐν αὐτοῖς τούτοις. αὐτῶν Aa.Ca. v μακρότατόν Ca. w ἐστιν οἷον ἡ P. x τεφθίς Aa. y ἔτι πολὺ Ca. πολλῷ Aa. z γίγνεται Aa. a καὶ om. P. b ἔτι] ἐπὶ P.Da. c τὸ om. Da. d διαφέρει δὲ τὸ σχῆμα τῶν τ. ὁ τεῦθος Aa.Ca. e πᾶν P.Da. f ἐλλείπει] ἔλασσον P.Da. g πλάγιον Aa.Ca. h καὶ om. P.Da. i ἐστιν om. Aa. k ἔνεισι Aa.Ca. l δύο μεγάλοι P.Da. m ἔστιν om. P.Da. n τοι om. P. o σῶμα P. p στενὸν καὶ μακρόν P.Da. q παρεμφερῆ ὄρνιθι P.Da. r ὁμοία P.Da. s ἕλικι Aa.Ca. t ἐστὶ om. P.

Digitized by Google

Σπλάγχνον δ' οὐδὲν ἔχει τῶν μαλακίων, ἀλλ' ἣν καλοῦσι [v]μύτιν, καὶ ἐπὶ ταύτῃ [w]θολόν. [x]Τοῦτον [y]δὲ πλεῖστον [z]αὐτῶν καὶ μέγιστον ἡ σηπία ἔχει· ἀφίησι μὲν οὖν ἅπαντα, ὅταν φοβηθῇ, μάλιστα δὲ ἡ σηπία. [1]Ἡ μὲν οὖν [v]μύτις κεῖται ὑπὸ τὸ στόμα, καὶ [a]δι' αὐτῆς τείνει ὁ στόμαχος· ἡ [b]δὲ τὸ [c]ἕντερον ἀνατείνει, κάτωθεν ὁ [d]θολός, [e]καὶ τῷ αὐτῷ ὑμένι περιεχόμενον ἔχει τὸν [f]πόρον τῷ ἐντέρῳ, καὶ ἀφίησι κατὰ [g]ταὐτὸν τόν τε [h]θολὸν καὶ τὸ περίττωμα· ἔχουσι δὲ καὶ τριχώδη ἄττα ἐν τῷ σώματι. Τῇ μὲν οὖν σηπίᾳ καὶ τῇ τευθίδι καὶ τῷ τεύθῳ ἐντός ἐστι τὰ στερεὰ ἐν τῷ πρανεῖ τοῦ σώματος, ἃ καλοῦσι τὸ μὲν [i]σήπιον τὸ δὲ ξίφος. [k]Διαφέρει δέ· τὸ μὲν γὰρ [i]σήπιον ἰσχυρὸν καὶ πλατύ [l]ἐστι, μεταξὺ ἀκάνθης καὶ ὀστοῦ, ἔχον ἐν αὐτῷ [m]ψαθυρότητα σομφήν, τὸ δὲ τῶν τευθίδων λεπτὸν καὶ χονδρωδέστερον. Τῷ δὲ σχήματι διαφέρουσιν ἀλλήλων ὥσπερ καὶ τὰ κύτη. Οἱ δὲ πολύποδες οὐκ ἔχουσιν [n]ἔσω τερεὸν [o]τοιοῦτον οὐδέν, ἀλλὰ περὶ τὴν κεφαλὴν χονδρῶδες, ὃ γίνεται, [p]ἐάν τις αὐτῶν παλαιωθῇ, σκληρόν. Τὰ δὲ θήλεα τῶν ἀρρένων διαφέρουσιν· οἱ μὲν γὰρ ἄρρενες ἔχουσι πόρον ὑπὸ τὸν στόμαχον, ἀπὸ τοῦ ἐγκεφάλου τείνοντα πρὸς [q]τὰ κάτω τοῦ κύτους· ἔστι δὲ [r]πρὸς ὃ τείνει, ὅμοιον μαστῷ· [s]ἐν δὲ ταῖς θηλείαις δύο [t]τε ταῦτ' ἐστὶ καὶ ἄνω. [u]Ἀμφοτέροις δ' ὑπὸ ταῦτα ἐρυθρὰ [w]ἄττα [x]σωμάτια πρόσεστιν. Τὸ δ' ᾠὸν ὁ μὲν πολύπους ἓν καὶ ἀνώμαλον [y]ἔξωθεν καὶ μέγα [z]ἴσχει· ἔσω δὲ τὸ ὑγρόν, [a]ὁμόχρουν ἅπαν καὶ λεῖον, χρῶμα [b]δὲ λευκόν· τὸ δὲ πλῆθος τοῦ ᾠοῦ τοσοῦτον ὥστε [c]πληροῦν ἀγγεῖον μεῖζον τῆς τοῦ [d]πολύποδος κεφαλῆς. [1]Ἡ δὲ [e]σηπία

[v] μύστιν et mox μύστις A[a]. [w] θόλον D[a], θορόν A[a].C[a]. [x] τοῦτο P.C[a]. [y] δ' ἐπὶ πλεῖστον P.D[a]. [z] αὐτῷ P. [a] διὰ ταύτης A[a].C[a]. [b] δὲ εἰς τὸ P.D[a], τὸ C[a]. [c] ἕτερον P. [d] θορός A[a].C[a], θόλος D[a]. [e] καὶ om. P.D[a]. [f] θορόν A[a].C[a]. [g] τὰ αὐτὰ P.D[a]. [h] θόλον D[a], θορόν A[a].C[a]. [i] σηπίειον C[a].D[a]. σηπύειον A[a]. utroque loco. [k] διαφέρει γὰρ ὅτι τὸ μὲν σ. P.D[a]. [l] ἐστι καὶ μ. P. [m] ψαθυρότητα P.D[a]. [n] εἴσω A[a].C[a]. [o] τοιοῦτον om. P.D[a]. [p] ἄν P.D[a]. [q] τὰ] τὸ A[a]. [r] πρὸς om. A[a].C[a]. [s] ἐν δὲ ταῖς] ταῖς δὲ P.D[a]. [t] τε om. A[a]. [u] ἀμφ.] καὶ ἀμφ. C[a]. [w] ἄττα] δὲ τὰ C[a]. [x] σώματα P. [y] ἔξω δὲ καὶ P.D[a]. [z] ἔχει D[a]. [a] ὁμόχροον A[a], ὁμίχροον C[a]. [b] δὲ om. P.D[a]. [c] πληροῦν τὸ ἀγγεῖον P. [d] πολύπου P.D[a]. [e] σηπυία A[a].

Digitized by Google

δύο τε τὰ κύτη καὶ πολλὰ ᾠὰ ἐν τούτοις, χαλάζαις ὅμοια
25 λευκαῖς. [f]Ἕκαστα δὲ τούτων ὡς κεῖται τῶν μορίων, θεω-
ρείσθω ἐκ τῆς ἐν ταῖς ἀνατομαῖς διαγραφῆς. Πάντα δὲ τὰ
ἄρρενα ταῦτα τῶν θηλειῶν διαφέρει, καὶ μάλιστα ἡ σηπία·
τά τε γὰρ πρανῆ τοῦ κύτους [g]πάντα μελάντερα τῶν ὑπτίων
τραχύτερά [h]τε ἔχει ὁ ἄρρην τῆς θηλείας, καὶ διαποίκιλα
26 ῥάβδοις, καὶ τὸ [i]ὀρροπύγιον ὀξύτερον. [j]Ἔστι δὲ γένη [k]πλείω
πολυπόδων, ἓν μὲν τὸ μάλιστ' ἐπιπολάζον καὶ μέγιστον αὐ-
τῶν (εἰσὶ δὲ πολὺ μείζους οἱ πρόσγειοι τῶν πελαγίων), ἔτι δ'
27 ἄλλοι μικροί, ποικίλοι, οἳ οὐκ ἐσθίονται. [l]Ἄλλα [m]τε δύο,
ἥ τε καλουμένη [n]ἐλεδώνη, μήκει τε διαφέρουσα [o]τῷ τῶν πο-
δῶν καὶ τῷ μονοκότυλον εἶναι [p]μόνην τῶν μαλακίων (τὰ γὰρ
ἄλλα πάντα δικότυλά [q]ἐστι), καὶ ἣν καλοῦσιν οἱ μὲν βολί-
28 ταιναν οἱ δ' ὄζολιν. [r]Ἔτι δ' ἄλλοι δύο ἐν ὀστρείοις, ὅ τε
καλούμενος ὑπό τινων [s]ναυτίλος καὶ [s]ποντίλος, ὑπ' ἐνίων [t]δ'
ᾠὸν πολύποδος· τὸ δ' ὄστρακον αὐτοῦ ἐστὶν οἷον κτεὶς [v]κοῖ-
λος καὶ οὐ συμφυής. Οὗτος [w]νέμεται πολλάκις παρὰ τὴν
γῆν, εἶθ' ὑπὸ τῶν κυμάτων ἐκκλύζεται εἰς τὸ ξηρόν, καὶ [x]πε-
ριπεσόντος τοῦ ὀστρέου ἁλίσκεται καὶ ἐν τῇ γῇ [y]ἀποθνήσκει.
29 Εἰσὶ δ' [z]οὗτοι μικροί, [a]τὸ εἶδος ὅμοιοι ταῖς βολιταίναις.
Καὶ ἄλλος ἐν ὀστράκῳ οἷον κοχλίας, ὃς οὐκ ἐξέρχεται ἐκ τοῦ
ὀστράκου, ἀλλ' [b]ἔνεστιν ὥσπερ ὁ κοχλίας, καὶ ἔξω ἐνίοτε [c]τὰς
πλεκτάνας προτείνει. Περὶ μὲν οὖν τῶν μαλακίων εἴρηται.

2 Τῶν δὲ μαλακοστράκων ἓν μέν [d]ἐστι γένος τὸ τῶν καρά-
βων, καὶ [e]τούτῳ παραπλήσιον ἕτερον τὸ τῶν καλουμένων
ἀστακῶν· οὗτοι δὲ διαφέρουσι τῶν καράβων τῷ ἔχειν χηλὰς
καὶ ἄλλας τινὰς διαφορὰς οὐ πολλάς. [k]Ἓν δὲ τὸ τῶν καρί-

f ἕκαστον C^a. g πάντα] ὄντα $A^a.C^a$. h τε] τε πάντα D^a, om. P. i οὐροπύγιον A^a. k πλείω τῶν πολ. $P.D^a$. l ἄλλοι P, ἄλλο D^a. m τε δύο] δὲ $P.D^a$. n ἐλεαώνη C^a, ἐλετόνη A^a. o τῷ τῶν om. $A^a.C^a$. p μόνον $P.A^a.D^a$. q ἐστι] εἶναι P. r ναυτῖ C^a. s ποντίλος] ναυτικὸς P, ὁ ναυτικὸς D^a. t δ' ᾠὸν πολύποδος] ἔστι δ' οἷον πολύπους $A^a.C^a$. v κοίλον καὶ ἀσυμφυές A^a. w νέμεται δὲ πολλάκις $P.D^a$. x παραπεσόντος D^a. y ἀποθνήσκουσιν A^a. z αὐτοὶ C^a. a τῷ δὲ εἴδει $P.D^a$. b ἔστιν $A^a.C^a$. c προτείνει τὰς πλεκτάνας A^a. d ἐστι τὸ γένος τὸ $P.D^a$. e τούτων $P.D^a$.

Digitized by Google

δων, καὶ ἄλλο τὸ τῶν καρκίνων. Γένη δὲ [f]πλείω τῶν καρί- 2
δων ἐστὶ καὶ τῶν καρκίνων, τῶν [g]μὲν καρίδων αἵ τε [h]κυφαὶ
καὶ αἱ [i]κράγγονες καὶ τὸ μικρὸν γένος (αὗται γὰρ οὐ γίνον-
ται μείζους), τῶν δὲ καρκίνων παντοδαπώτερον [k]τὸ γένος καὶ
οὐκ εὐαρίθμητον. Μέγιστον μὲν οὖν ἐστὶν ἃς [l]καλοῦσι μαίας, 3
δεύτερον δὲ οἵ τε πάγουροι καὶ [m]οἱ [t]Ηρακλεωτικοὶ καρκίνοι,
ἔτι δ' οἱ ποτάμιοι· οἱ δ' ἄλλοι ἐλάττους καὶ ἀνωνυμώτεροι.
Περὶ δὲ τὴν Φοινίκην γίνονται ἐν τῷ αἰγιαλῷ οὓς καλοῦσιν
[n]ἱππεῖς διὰ τὸ οὕτως ταχέως θεῖν ὥστε μὴ ῥᾴδιον [o]εἶναι κατα-
λαβεῖν· ἀνοιχθέντες δὲ κενοὶ διὰ τὸ μὴ ἔχειν νομήν. [u]Εστι 4
δὲ καὶ ἕτερον γένος μικρὸν μὲν ὥσπερ [p]οἱ καρκίνοι, τὸ δὲ εἶ-
δος ὅμοιον [q]τοῖς ἀστακοῖς. Πάντα μὲν οὖν ταῦτα, καθάπερ
εἴρηται πρότερον, τὸ μὲν στερεὸν καὶ ὀστρακῶδες ἐκτὸς ἔχει
ἐν τῇ χώρᾳ τῇ τοῦ δέρματος, τὸ δὲ σαρκῶδες ἐντός, τὰ δ' ἐν
τοῖς ὑπτίοις πλακωδέστερα, εἰς ἃ καὶ ἐκτίκτουσιν αἱ θήλειαι.
Πόδας δ' οἱ μὲν κάραβοι [r]ἐφ' ἑκάτερα ἔχουσι πέντε σὺν ταῖς 5
ἐσχάταις χηλαῖς· ὁμοίως δὲ καὶ οἱ καρκίνοι δέκα τοὺς πάντας
σὺν ταῖς χηλαῖς. Τῶν δὲ καρίδων αἱ μὲν κυφαὶ πέντε μὲν
ἐφ' ἑκάτερα ἔχουσιν, ὀξεῖς τοὺς πρὸς τῇ κεφαλῇ, ἄλλους δὲ
πέντε ἐφ' ἑκάτερα κατὰ τὴν γαστέρα, [s]τὰ ἄκρα ἔχοντας
πλατέα· πλάκας δ' ἐν τοῖς ὑπτίοις οὐκ ἔχουσι, τὰ δ' ἐν τοῖς
πρανέσιν ὅμοια τοῖς καράβοις. [t]Η δὲ [t]κραγγὼν [v]τὸ ἀνά- 6
παλιν· τοὺς πρώτους γὰρ ἔχει τέτταρας ἐφ' ἑκάτερα, εἶτ'
ἄλλους [w]ἐχομένους λεπτοὺς τρεῖς ἐφ' ἑκάτερα, τὸ δὲ λοιπὸν
πλεῖον μόριον τοῦ σώματος ἄπουν ἐστίν. Κάμπτονται δ' οἱ 7
μὲν πόδες πάντων εἰς [x]τὸ πλάγιον, ὥσπερ καὶ τῶν ἐντόμων,
αἱ [y]δὲ χηλαί, ὅσα ἔχει χηλάς, εἰς τὸ ἐντός. [u]Εχει δ' ὁ κά-
ραβος καὶ κέρκον, [z]πτερύγια δὲ πέντε· καὶ ἡ καρὶς ἡ [a]κυφὴ
τὴν οὐρὰν [b]καὶ πτερύγια [c]τέτταρα. [u]Εχει δὲ καὶ ἡ [d]κραγγὼν 8

[f] πλείω τὸ τῶν A[a]. [g] μὲν] μὲν γὰρ P.D[a]. [h] κῆφαι A[a]. [i] κραγόνες P.C[a]. [k] τὸ om. A[a]. [l] καλοῦμεν A[a]. [m] οἱ om. P.D[a]. [n] ἵππους P.A[a].C[a]. [o] εἶναι ταχέως κατ. P.D[a]. [p] οἱ om. A[a].C[a]. [q] τοῖς om. D[a]. [r] ἔχουσιν ἐφ' ἑκάτερα D[a]. [s] τἄκρα P. [t] κράγγη P.D[a]. [v] τὸ om. A[a].C[1]. [w] ἐχόμενα A[a]. [x] τὸ om. A[a]. [y] χηλαὶ δὲ D[a]. [z] πτ. δὲ] καὶ πτ. P.D[a]. [a] κύφη D[a]. [b] καὶ om. A[a].C[a]. [c] τέσσαρα P.D[a]. [d] κράγγη P.D[a].

Digitized by Google

πτερύγια ἐφ' ἑκάτερα ἐν τῇ οὐρᾷ· τὸ δὲ μέσον αὐτῶν [e]ἀμφότεραι ἀκανθῶδες, πλὴν [f]αὗται μὲν πλατύ, ἡ δὲ κυφὴ ὀξύ. [h]Ὁ δὲ καρκίνος μόνος τῶν τοιούτων [g]ἀνορροπύγιον· καὶ τὸ σῶμα [h]τὸ μὲν τῶν [i]καρίδων καὶ τῶν καράβων πρόμηκες, τὸ 9 δὲ τῶν καρκίνων στρογγύλον. Διαφέρει δ' ὁ κάραβος ὁ ἄρρην [k]τῆς θηλείας· τῆς μὲν γὰρ θηλείας ὁ πρῶτος ποὺς δίκρους ἐστί, τοῦ δ' ἄρρενος [l]μῶνυξ, καὶ τὰ πτερύγια τὰ ἐν τῷ ὑπτίῳ ἡ μὲν θήλεια μεγάλα ἔχει [m]καὶ ἐπαλλάττοντα πρὸς τῷ τραχήλῳ, ὁ δ' ἄρρην ἐλάττω καὶ οὐκ [n]ἐπαλλάττοντα· ἔτι τοῦ μὲν ἄρρενος ἐν τοῖς τελευταίοις ποσὶ μεγάλα καὶ ὀξέα ἐστὶν ὥσπερ πλῆκτρα, τῆς δὲ θηλείας [o]ταῦτα μικρὰ καὶ λεῖα. 10 [p]Ὁμοίως δ' ἔχουσιν ἀμφότερα κεραίας δύο πρὸ τῶν ὀφθαλμῶν μεγάλας καὶ τραχείας, καὶ ἄλλα [q]κεράτια μικρὰ ὑποκάτω λεῖα. Τὰ δ' ὄμματα [r]πάντων τούτων ἐστὶ σκληρόφθαλμα, καὶ κινεῖται καὶ [s]ἐντὸς καὶ ἐκτὸς [t]καὶ εἰς τὸ πλάγιον· ὁμοίως 11 δὲ καὶ τοῖς καρκίνοις τοῖς πλείστοις, καὶ ἔτι μᾶλλον. [t]Ὁ δ' ἀστακὸς τὸ μὲν ὅλον [v]ὑπόλευκον ἔχει τὸ χρῶμα, μέλανι δὲ [w]διαπεπασμένον. [t]Ἔχει δὲ τοὺς μὲν ὑποκάτω πόδας τοὺς ἄχρι τῶν μεγάλων ὀκτώ, μετὰ δὲ ταῦτα τοὺς μεγάλους πολλῷ μείζους καὶ ἐξ ἄκρου πλατυτέρους ἢ ὁ κάραβος, [x]ἀνωμάλους δ' αὐτούς· ὁ μὲν γὰρ δεξιὸς τὸ [y]πλατὺ τὸ ἔσχατον πρόμηκες ἔχει καὶ λεπτόν, ὁ δ' ἀριστερὸς παχὺ καὶ στρογ- 12 γύλον. [t]Ἐξ ἄκρου δ' ἑκάτερος ἐσχισμένος ὥσπερ σιαγὼν ὀδόντας ἔχων [z]καὶ κάτωθεν καὶ ἄνωθεν, πλὴν ὁ μὲν δεξιὸς μικροὺς ἅπαντας καὶ [a]καρχαρόδοντας, ὁ δ' ἀριστερὸς ἐξ ἄκρου μὲν [b]καρχαρόδοντας, τοὺς [c]δ' ἐντὸς ὥσπερ γομφίους,

[e] ἀκανθῶδες ἀμφότεραι P.D[a]. [f] αὗται ἄμφω μὲν A[a].C[a]. [g] ἀνουροπύγιον A[a], ἀνουρροπύγιον C[a], ἂν ὀρροπύγιον P. [h] τὸ μὲν τῶν] τῶν μὲν P. [i] καράβων καὶ καρίδων P.D[a]. [k] τῆς θήλεος A[a]. [l] μονώνυξ P.C[a].D[a]. [m] καὶ ἐπ' ἔλαττον τὰ πρὸς P.C[a].D[a]. [n] ἐπαλλ.] ἐπ' ἐλάττονα D[a]. [o] μικρὰ ταῦτα καὶ λεῖα D[a], μικρὰ καὶ ταῦτα λεῖα P. [p] ὅμως D[a]. [q] κέρατα A[a].C[a]. [r] τούτων ἁπάντων P.D[a]. [s] ἐκτὸς καὶ ἐντὸς A[a].C[a]. [t] καὶ om. A[a]. [v] ὑπόλευκον] λαμπρὸν P.D[a]. [w] διαπεπλασμένον A[a].C[a]. [x] ἀνώμαλος δὲ αὐτοῖς P.D[a]. [y] πλατὺ καὶ τὸ C[a]. [z] καὶ post ἔχων om. C[a]. [a] καρχαρόδους P.D[a]. [b] καρχαρόδους P.A[a].D[a]. et corr. C[a]. [c] δ' ἐντὸς] δὲ μέσους A[a].C[a].

Digitized by Google

ἐκ μὲν τοῦ [d]κάτω μέρους τέτταρας καὶ συνεχεῖς, ἄνωθεν δὲ τρεῖς καὶ οὐ συνεχεῖς. Κινοῦσι δὲ τὸ ἄνω μέρος ἀμφό- 13
τεροι, καὶ προσπιέζουσι πρὸς τὸ κάτω· βλαισοὶ δ' ἀμφότεροι [e]τῇ θέσει, καθάπερ [f]πρὸς τὸ λαβεῖν καὶ πιέσαι πεφυκότες. [g]Ἐπάνω δὲ τῶν μεγάλων [g]ἄλλοι δύο δασεῖς, μικρὸν ὑποκάτω τοῦ [h]στόματος, [i]καὶ ὑποκάτω τούτων τὰ [k]βραγχιώδη τὰ περὶ τὸ στόμα, δασέα καὶ πολλά. Ταῦτα δ' ἀεὶ 14
διατελεῖ κινῶν· κάμπτει δὲ καὶ [l]προσάγεται τοὺς δύο πόδας [m]πρὸς τὸ στόμα τοὺς δασεῖς. [n]Ἔχουσι δὲ καὶ παραφυάδας λεπτὰς οἱ πρὸς τῷ στόματι πόδες. [o]Ὀδόντας δ' ἔχει δύο κα- 15
θάπερ ὁ κάραβος, ἐπάνω δὲ τούτων τὰ κέρατα [p]μακρά, βραχύτερα [o]δὲ καὶ λεπτότερα [p]πολὺ ἢ ὁ κάραβος, καὶ ἄλλα τέτταρα τὴν μὲν μορφὴν ὅμοια τούτοις, [q]βραχύτερα δὲ καὶ λεπτότερα. Τούτων δ' ἐπάνω τοὺς ὀφθαλμοὺς μικροὺς καὶ [r]βραχεῖς, οὐχ ὥσπερ ὁ κάραβος μεγάλους. Τὸ δ' ἐπάνω τῶν 16
ὀφθαλμῶν ὀξὺ καὶ τραχύ, [s]καθαπερανεὶ μέτωπον, [t]μεῖζον [v]ἢ ὁ κάραβος. [v]Ὅλως δὲ τὸ μὲν πρόσωπον ὀξύτερον, τὸν δὲ θώρακα εὐρύτερον ἔχει πολὺ τοῦ καράβου, καὶ τὸ ὅλον σῶμα σαρκωδέστερον καὶ μαλακώτερον. Τῶν δ' ὀκτὼ ποδῶν οἱ μὲν τέτταρες ἐξ ἄκρου δίκροοί [w]εἰσιν, οἱ δὲ τέτταρες οὔ. [x]Τὰ 17
δὲ περὶ τὸν τράχηλον καλούμενον [y]διήρηται μὲν ἔξωθεν [z]πενταχῇ, καὶ ἔκτον ἐστὶ τὸ πλατὺ [a]καὶ ἔσχατον, πέντε πλάκας ἔχον· τὰ δ' [b]ἐντός, εἰς ἃ [c]προεντίκτουσιν αἱ θήλειαι, δασέα [d]τέτταρα. Καθ' ἕκαστον δὲ τῶν εἰρμηένων πρὸς τὰ ἔξω ἄκανθαν ἔχει βραχεῖαν καὶ ὀρθήν. Τὸ δ' ὅλον σῶμα καὶ τὰ περὶ 18
τὸν θώρακα [e]λεῖα [f]ἔχει, οὐχ ὥσπερ ὁ κάραβος [g]τραχύς·

[d] κάτωθεν P.D[a]. [e] τῇ κάτω θέσει P.D[a]. [f] πρὸς τὸ λαβεῖν] προτείνειν P.D[a]. [g] δύο ἄλλοι P.D[a]. [h] σώματος A[a]. [i] καὶ μικρὸν ὑποκάτω P.D[a]. [k] βραγχία δὴ P.D[a]. [l] προσάγεται τὸ λεῖχον τοὺς A[a]. [m] τοὺς δασεῖς πρὸς τὸ στόμα P.D[a]. [n] μακρά interpretes veteres, μικρά A[a].C[a]. nam P.D[a]. om. [o] δὲ om. P.D[a]. [p] πολὺ ἢ] ἢ D[a], ἀπολύει corr. P. [q] λεπτότερα δὲ καὶ βραχύτερα P.D[a]. [r] παχεῖς P.D[a]. [s] καθαπερεὶ A[a].C[a]. [t] μείζων P.D[a]. [v] ἢ P. [w] εἰσίν om. A[a].C[a]. [x] τὸ C[a]. [y] διήρηται D[a]. [z] πάντα καὶ ἐκτός P.D[a]. [a] καὶ ἔσχ.] τὸ ἔσχ. A[a].C[a]. [b] ἐκτὸς P.D[a]. [c] προσεντίκτουσιν D[a]. [d] τέσσαρα P.D[a]. [e] λεῖον D[a]. [f] ἔχει om. A[a].C[a]. [g] τραχύ P.D[a].

Digitized by Google

ἀλλ' ἐν τοῖς μεγάλοις ποσὶ [h] τὰ ἔξωθεν ἀκάνθας ἔχει μείζους. Τῆς δὲ θηλείας πρὸς τὸν ἄρρενα οὐδεμία διαφορὰ φαίνεται· καὶ γὰρ ὁ ἄρρην καὶ ἡ θήλεια ὁποτέραν [i] ἂν τύχῃ τῶν χηλῶν ἔχουσι μείζω, ἴσας μέντοι ἀμφοτέρας [k] οὐδέτερος οὐδέ-
19 ποτε. Τὴν δὲ θάλατταν δέχονται μὲν παρὰ [l] τὸ στόμα πάντα τὰ τοιαῦτα, [m] ἀφιᾶσι δ' [n] ἐπιλαμβάνοντα μικρὸν τούτου μόριον οἱ καρκίνοι, οἱ δὲ κάραβοι παρὰ τὰ [o] βραγχιοειδῆ·
20 ἔχουσι δὲ τὰ [p] βραγχιοειδῆ πολλὰ οἱ κάραβοι. Κοινὸν δὲ πάντων τούτων ἐστίν· ὀδόντας τε [q] πάντ' ἔχει δύο (καὶ γὰρ οἱ κάραβοι τοὺς πρώτους δύο ἔχουσι) καὶ [r] τὸ στόμα σαρκωδέστερον ἀντὶ γλώττης, εἶτα κοιλίαν τοῦ [s] στόματος ἐχομένην εὐθύς, πλὴν οἱ κάραβοι μικρὸν στόμαχον πρὸ τῆς κοιλίας,
21 εἶτ' ἐκ ταύτης [t] ἕντερον εὐθύ. Τελευτᾷ δὲ τοῦτο τοῖς μὲν καραβοειδέσι καὶ καρίσι κατ' εὐθυωρίαν πρὸς τὴν οὐράν, ᾗ τὸ περίττωμα ἀφιᾶσι καὶ τὰ ᾠὰ ἐκτίκτουσιν, τοῖς δὲ καρκίνοις, ᾗ τὸ [v] ἐπίπτυγμα ἔχουσι, κατὰ μέσον [w] τὸ [v] ἐπίπτυγμα. Ἐκτὸς [x] δὲ καὶ οὗτοι, ᾗ τὰ ᾠὰ ἐκτίκτουσιν. Ἔτι τὰ θή-
22 λεα αὐτῶν παρὰ τὸ ἔντερον τὴν τῶν ᾠῶν χώραν ἔχουσιν. Καὶ τὴν καλουμένην δὲ [y] μύτιν [z] μήκωνα πλείω ᾗ ἐλάττω [a] πάντ' ἔχει ταῦτα. Τὰς δὲ ἰδίας [b] ἤδη διαφορὰς καθ' ἕκαστον δεῖ θεωρεῖν. Οἱ μὲν οὖν κάραβοι, ὥσπερ εἴρηται, δύο ἔχουσιν ὀδόντας μεγάλους καὶ [c] κοίλους, ἐν οἷς ἔνεστι χυμὸς ὅμοιος τῇ
23 [d] μύτιδι, μεταξὺ δὲ τῶν ὀδόντων σαρκίον γλωττοειδές. Ἀπὸ δὲ τοῦ στόματος ἔχει οἰσοφάγον βραχὺν καὶ κοιλίαν τούτου ἐχομένην ὑμενώδη, ἧς πρὸς τῷ στόματι ὀδόντες εἰσὶ τρεῖς, οἱ μὲν δύο [e] κατ' ἀλλήλους, ὁ δὲ εἷς ὑποκάτω. Τῆς δὲ κοιλίας ἐκ τοῦ πλαγίου ἔντερόν [f] ἐστιν ἁπλοῦν καὶ [g] ἰσοπαχὲς δι'

[h] τὰ] τὰς P.D[a]. [i] ἂν om. P.D[a]. [k] οὐδέποτε οὐδέτερος P.D[a]. [l] τῷ στόματι P.D[a]. [m] ἀφίησι P.D[a]. [n] ἐπιλαμβάνοντα κατὰ μικρὸν A[a].C[a]. [o] βράγχια δῆ P, βραγχοειδῆ A[a].C[a]. [p] βραγχοειδῆ A[a].C[a]. [q] πάντ' ἔχειν δύο P.A[a], ἔχει δύο πάντα D[a]. [r] τὸ στόμα] ἐν τῷ στόματι P.D[a]. [s] στόματος Gaza: codices στομάχου. [t] εὐθὺς ἔντερον P.D[a]. [v] ἐπίπυγμα D[a]. utrobique. [w] τὸ ἐπίπτυγμα om. A[a].C[a]. [x] δὲ om. P. [y] μύτην P, μύστιν A[a]. [z] μήκονα P.D[a]. [a] ἔχει πάντα P. [b] ἤδη om. A[a]. [c] κοιλίας D[a], κοιλίαν P. [d] μύστιδι A[a].C[a]. [e] καταλλήλως A[a]. [f] ἐστιν ante ἔντερον D[a], om. A[a].C[a]. [g] ἰσόπαχες P.

Digitized by Google

ὅλου μέχρι πρὸς τὴν ἔξοδον τοῦ περιττώματος. [h]Ταῦτα 24
μὲν οὖν [i]πάντα ἔχουσι καὶ οἱ κάραβοι καὶ αἱ καρίδες καὶ οἱ
καρκίνοι· [k]καὶ γὰρ ὀδόντας δύο ἔχουσιν οἱ καρκίνοι. [l]Ἔτι
δ' [l]οἵ γε κάραβοι πόρον [m]ἔχουσι ἀπὸ τοῦ στήθους ἠρτημένον
μέχρι πρὸς τὴν ἔξοδον τοῦ περιττώματος· οὗτος δ' ἐστὶ [n]τῇ
μὲν θηλείᾳ ὑστερικός, τῷ δ' ἄρρενι θορικός. [v]Ἔστι δ' ὁ πό- 25
ρος οὗτος πρὸς τῷ κοίλῳ τῆς σαρκός, ὥστε μεταξὺ εἶναι τὴν
σάρκα· τὸ μὲν γὰρ ἕντερον πρὸς τῷ κυρτῷ ἐστίν, ὁ δὲ πόρος
πρὸς τῷ κοίλῳ, ὁμοίως ἔχοντα ταῦτα ὥσπερ τοῖς τετρά-
ποσιν. Διαφέρει δ' οὐθὲν ὁ τοῦ ἄρρενος ἢ [o]τῆς θηλείας· 26
ἀμφότεροι γάρ εἰσι λεπτοὶ καὶ λευκοὶ καὶ ὑγρότητα ἔχοντες
ἐν αὐτοῖς ὠχράν, ἔτι δ' ἠρτημένοι ἀμφότεροι ἐκ τοῦ στήθους.
[v]Ἔχουσι δ' [p]οὕτω τὸ ᾠὸν καὶ αἱ καρίδες καὶ τὰς [q]ἑλίκας.
[v]Ἰδια δ' ἔχει ὁ ἄρρην πρὸς τὴν θήλειαν ἐν [r]τῇ σαρκὶ κατὰ τὸ 27
στῆθος δύο λεύκ' ἄττα καθ' αὑτά, ὅμοια τὸ χρῶμα καὶ τὴν
σύστασιν [s]ταῖς τῆς σηπίας [t]προβοσκίσιν· εἰλιγμένα δ' ἐστὶ
ταῦτα ὥσπερ ἡ τοῦ κήρυκος μήκων. [t]Ἡ δ' ἀρχὴ τούτων
ἐστὶν ἀπὸ τῶν κοτυληδόνων, αἵ εἰσιν ὑποκάτω τῶν ἐσχάτων
ποδῶν. [v]Ἔχει δὲ καὶ ἐν τούτῳ σάρκα ἐρυθρὰν καὶ αἱματώδη 28
τὴν χρόαν, [v]τῇ δ' ἁφῇ γλίσχραν καὶ οὐχ ὁμοίαν τῇ σαρκί.
[t]Ἀπὸ δὲ [w]τοῦ περὶ τὰ στήθη [x]κηρυκώδους ἄλλος ἐστὶν
ἑλιγμός, ὥσπερ ἁρπεδόνη τὸ πάχος· [y]ὧν ὑποκάτω δύο ἄττα
[z]ψαθυρά ἐστι προσηρτημένα τῷ ἐντέρῳ θορικά. Ταῦτα 29
μὲν οὖν ὁ ἄρρην ἔχει· ἡ δὲ θήλεια [a]ᾠὰ [b]ἴσχει τὸ χρῶμα
[c]ἐρυθρά, ὧν ἡ πρόσφυσίς ἐστι πρὸς τῇ κοιλίᾳ καὶ τοῦ ἐν-
τέρου [d]ἑκατέρωθι [e]μέχρι εἰς [f]τὰ σαρκώδη, ὑμένι λεπτῷ
περιεχόμενα. Τὰ μὲν οὖν μόρια ὅσα ἐντὸς καὶ ἐκτὸς ἔχουσι,
ταῦτά ἐστιν.

[h] ταῦτα — περιττώματος om. P. [i] πάντες $C^a.D^a$. [k] καὶ γὰρ — καρκίνοι om. D^a. [l] γε οἱ D^a. [m] ἔχουσιν om. $C^a.D^a$. [n] τῆς μὲν θηλείας ὑστερικὸς τοῦ δ' ἄρρενος P.D^a. [o] τῆς om. C^a. [p] οὗτοι $A^a.C^a$. [q] ἕλικας. ἰδία A^a. [r] τῇ om. A^a. [s] ταῖς] τῇ A^a. [t] προβοσκήσει corr. A^a. [v] τὴν δ' ἁφὴν D^a. [w] τοῦ] τούτου $A^a.C^a$. [x] κηρυκώδης C^a. [y] ὧν C^a. [z] ψαθυρά P.D^a. [a] ᾠὸν D^a. [b] ἔχει $A^a.C^a$. [c] ἐρυθρόν P.D^a. [d] ἑκατέρου $A^a.C^a$. [e] μέχρις D^a. [f] τὸ σαρκῶδες $A^a.C^a$.

Digitized by Google

3 Συμβέβηκε δὲ τῶν [g]μὲν ἐναίμων τὰ ἐντὸς [h]μόρια ὀνόματα ἔχειν· πάντα [i]γὰρ σπλάγχνα [k]ἔχει τὰ ἔσωθεν· τῶν δ' ἀναίμων οὐδέν, ἀλλὰ [l]κοινὸν τούτοις καὶ ἐκείνοις πᾶσι κοιλία καὶ
2 στόμαχος καὶ [m]ἔντερον. Οἱ δὲ καρκίνοι, περὶ μὲν τῶν χηλῶν καὶ [n]τῶν ποδῶν, ὅτι ἔχουσι καὶ πῶς ἔχουσιν, εἴρηται πρότερον· ὡς δ' ἐπὶ τὸ πολὺ πάντες [o]τὴν δεξιὰν ἔχουσι μείζω χηλὴν καὶ ἰσχυροτέραν. Εἴρηται δὲ πρότερον καὶ περὶ
3 ὀφθαλμῶν, ὅτι εἰς τὸ πλάγιον βλέπουσιν οἱ πλεῖστοι. Τὸ δὲ κύτος τοῦ σώματος [p]ἕν ἐστιν ἀδιόριστον, [q]ἔτι δὲ κεφαλή, καὶ [r]εἴ τι ἄλλο μόριον. [s]Ἔχουσι δ' ὀφθαλμοὺς οἱ μὲν ἐκ τοῦ πλαγίου ἄνω ὑπὸ τὸ πρανὲς εὐθὺς [s]πολὺ [t]διεστῶτας, ἔνιοι δ' ἐν μέσῳ καὶ ἐγγὺς ἀλλήλων, οἷον [v]οἱ [t]Ηρακλεωτικοὶ
4 καὶ αἱ μαῖαι. [t]Ὑποκάτω δὲ τὸ στόμα τῶν ὀφθαλμῶν, καὶ ἐν αὐτῷ ὀδόντας δύο ὥσπερ ὁ κάραβος, πλὴν οὐ στρογγύλοι οὗτοι ἀλλὰ μακροί. Καὶ ἐπὶ τούτων ἐπικαλύμματά ἐστι δύο, ὧν μεταξύ ἐστιν οἷάπερ ὁ κάραβος ἔχει πρὸς τοῖς ὀδοῦ-
5 σιν. Δέχεται μὲν οὖν τὸ ὕδωρ [w]παρὰ τὸ στόμα, ἀπωθῶν τοῖς ἐπικαλύμμασιν, [x]ἀφίησι δὲ κατὰ τοὺς ἄνω πόρους τοῦ στόματος, ἐπιλαμβάνων τοῖς ἐπικαλύμμασιν, ᾗ εἰσῆλθεν· οὗτοι δ' εἰσὶν [y]εὐθὺς ὑπὸ τοὺς ὀφθαλμούς· καὶ ὅταν δέξηται τὸ ὕδωρ, ἐπιλαμβάνει τὸ στόμα τοῖς [z]ἐπικαλύμμασιν ἀμφοτέ-
6 ροις, ἔπειθ' οὕτως [a]ἀποπυτίζει τὴν θάλατταν. [t]Ἐχόμενος δὲ τῶν ὀδόντων ὁ στόμαχος [b]βραχὺς πάμπαν, ὥστε δοκεῖν εὐθὺς εἶναι μετὰ [c]τὸ στόμα [d]τὴν κοιλίαν. Καὶ κοιλία τούτου ἐχομένη δικρόα, ἧς ἐκ μέσης μὲν τὸ ἔντερόν ἐστιν ἁπλοῦν καὶ λεπτόν· τελευτᾷ δὲ τὸ ἔντερον ὑπὸ τὸ ἐπικάλυμμα τὸ
7 ἔξω, ὥσπερ εἴρηται [e]καὶ πρότερον. [u]Ἔχει δὲ [f]τὸ μεταξὺ

[g] μὲν om. P.D[a]. [h] μόρια καὶ ἐκτὸς ὀνόμ. P.D[a]. [i] γὰρ τὰ σπλ. D[a]. [k] ἔχειν A[a]. [l] κοινὰ P.D[a]. [m] ἔντερον ἐστιν. οἱ P.D[a]. [n] τῶν om. C[a]. [o] μείζω ἔχουσι τὴν δεξιὰν P.D[a]. [p] ἓν ἐστίν] ἔνεστιν codices. [q] ἔτι δὲ] ἥ τε P.D[a]. [r] εἴ τι om. P.D[a]. [s] πολλὰ P. [t] διεστῶτάς πως. ἔνιοι D[a]. [v] οἱ om. pr. A[a]. [w] περὶ τὸ στόμα ἀπωθοῦν A[a].C[a]. [x] ἀφίησι—ᾗ om. pr. A[a]. [y] εὐθὺς om. D[a]. [z] ἐπικαλ. ἐστιν ἀμφ. A[a]. [a] ἀποπτύει A[a].C[a]. [b] βραχὺ C[a]. [c] τὸ om. C[a]. [d] τὴν κοιλίαν ante μετὰ P.D[a]. [e] καὶ om. P.D[a]. [f] τὰ C[a], om. P.D[a].

Digitized by Google

τῶν ἐπικαλυμμάτων, οἷάπερ ὁ κάραβος, [g] πρὸς τοῖς ὀδοῦσιν. [4] Ἐν δὲ τῷ κύτει ἔσω χυμός ἐστιν ὠχρός, καὶ μίκρ' ἄττα προμήκη [h] λευκά, καὶ ἄλλα [i] πυρρὰ [k] διαπεπασμένα. Διαφέρει 8
δ' ὁ ἄρρην [l] τῆς θηλείας [m] τῷ μεγέθει καὶ τῷ [n] πλάτει καὶ τῷ ἐπικαλύμματι· μεῖζον γὰρ [o] τοῦτο ἔχει ἡ θήλεια, καὶ πλέον ἀφεστηκὸς καὶ [p] συνηρεφέστερον, καθάπερ καὶ ἐπὶ τῶν θηλειῶν καράβων.

Τὰ μὲν οὖν τῶν μαλακοστράκων μόρια τοῦτον ἔχει τὸν τρόπον. Τὰ δ' ὀστρακόδερμα τῶν ζῴων, [q] οἷον οἵ τε [r] κο- 4
χλίαι καὶ οἱ κόχλοι καὶ πάντα τὰ καλούμενα ὄστρεα, ἔτι δὲ τὸ τῶν ἐχίνων γένος, τὸ μὲν σαρκῶδες, ὅσα σάρκας ἔχει, ὁμοίως ἔχει τοῖς μαλακοστράκοις (ἐντὸς γὰρ ἔχει), τὸ δ' ὄστρακον ἐκτός, ἐντὸς δ' οὐθὲν σκληρόν. Αὐτὰ δὲ πρὸς [s] αὑτὰ διαφορὰς ἔχει πολλὰς καὶ κατὰ τὰ [t] ὄστρακα καὶ [v] κατὰ τὴν σάρκα τὴν ἐντός. Τὰ μὲν γὰρ αὐτῶν οὐκ ἔχει 2
σάρκα οὐδεμίαν, [w] οἷον ἐχῖνος, τὰ δ' ἔχει μέν, ἐντὸς δ' ἔχει τὴν σάρκα ἀφανῆ πᾶσαν πλὴν τῆς κεφαλῆς, οἷον οἵ τε χερσαῖοι κοχλίαι καὶ τὰ καλούμενα ὑπό τινων [x] κοκάλια καὶ τῶν ἐν τῇ θαλάττῃ αἵ τε πορφύραι καὶ οἱ κήρυκες καὶ ὁ κόχλος καὶ τἆλλα τὰ στρομβώδη. Τῶν δ' ἄλλων τὰ μέν ἐστι δί- 3
θυρα τὰ δὲ [y] μονόθυρα· λέγω δὲ δίθυρα τὰ δυσὶν ὀστράκοις περιέχομενα, μονόθυρα δὲ τὰ ἑνί· [z] τὸ δὲ σαρκῶδες [a] ἐπιπολῆς, οἷον ἡ [b] λεπάς. Τῶν δὲ διθύρων [c] τὰ μέν ἐστιν [d] ἀνάπτυ- 4
χα, οἷον [e] οἱ κτένες καὶ οἱ μύες· ἅπαντα γὰρ τὰ τοιαῦτα τῇ μὲν συμπέφυκε τῇ δὲ [f] διαλέλυται, ὥστε συγκλείεσθαι καὶ ἀνοίγεσθαι. Τὰ δὲ δίθυρα μέν ἐστιν, ὁμοίως δὲ συγκέκλεισται ἐπ' ἀμφότερα, οἷον οἱ σωλῆνες. [v] Ἔστι δ' ἃ ὅλα περι- 5

[g] παρὰ Aa.Ca. [h] λεπτὰ Ca.Da. [i] πυρὰ Aa.Da. [k] διαπεπλασμένα Aa.Ca. [l] τῆς om. P. [m] τῷ τε μεγ. P.Ca.Da. [n] πάχει P.Aa.Da. [o] ἔχει τοῦτο P.Da. [p] συνηρεφέστερον Ca. [q] οἷον om. P. [r] κόχλοι καὶ οἱ κοχλίαι P.Da. [s] ἑαυτὰ Aa, ὀστᾶ Ca. [t] ὀστᾶ Aa, ὀστὰ Ca. [v] κατὰ om. Da. [w] οἷον ὁ ἐχῖνος Aa. [x] κοκκάλια Ca, κωκάλια Da. [y] μονόθυρα—δίθυρα om. pr. Aa.Ca. [z] τὰ δὲ σαρκώδη P.Da. [a] ἐπὶ πολλῆς Aa. [b] λοπὰς Aa.Ca. [c] ἐστὶ τὰ μὲν P.Da. [d] ἀνάπτυκτα Aa.Ca. [e] οἵ τε κτένες Aa.Ca. [f] διαλύεται P.Da.

Digitized by Google

ἔχεται τῷ ὀστράκῳ καὶ οὐδὲν τῆς σαρκὸς ἔχει εἰς τὸ ἔξω γυμνόν, οἷον τὰ καλούμενα [g] τήθυα. [4] Ἔτι δ' αὐτῶν τῶν 6 ὀστράκων διαφοραὶ πρὸς ἄλληλά εἰσιν. Τὰ μὲν γὰρ [h] λειόστρακά [i] ἐστιν, ὥσπερ σωλὴν καὶ μύες καὶ κόγχαι ἔνιαι αἱ καλούμεναι ὑπό τινων [k] γάλακες, τὰ δὲ [l] τραχυόστρακα, οἷον τὰ [m] λιμνόστρεα καὶ [n] πίννα καὶ γένη κόγχων ἔνια καὶ κήρυκες· καὶ τούτων τὰ μὲν ῥαβδωτά [o] ἐστιν, οἷον κτεὶς καὶ κόγχων τι γένος, [p] τὰ δ' ἀρράβδωτα, οἷον αἵ τε πίνναι καὶ 7 κόγχων τι γένος. Καὶ πάχει δὲ καὶ λεπτότητι τῶν ὀστράκων διαφέρουσιν, ὅλων τε τῶν ὀστράκων καὶ κατὰ μέρος, οἷον περὶ τὰ χείλη· τὰ μὲν γὰρ [q] λεπτοχειλῆ ἐστίν, οἷον [r] οἱ 8 μύες, τὰ δὲ [s] παχυχειλῆ, οἷον τὰ [t] λιμνόστρεα. [4] Ἔτι τὰ μὲν κινητικὰ [v] αὐτῶν ἐστίν, οἷον [w] ὁ κτείς (ἔνιοι γὰρ καὶ [x] πέτεσθαι λέγουσι τοὺς κτένας, ἐπεὶ καὶ ἐκ τοῦ ὀργάνου ᾧ θηρεύονται ἐξάλλονται πολλάκις), τὰ δ' ἀκίνητα [y] ἐκ τῆς [z] προσφυῆς, οἷον ἡ [a] πίννα. Τὰ δὲ στρομβώδη πάντα κι- 9 νεῖται καὶ ἕρπει· νέμεται δ' ἀπολυομένη καὶ ἡ [b] λεπάς. Κοινὸν δὲ [c] καὶ τούτων καὶ τῶν ἄλλων τῶν [d] σκληροστράκων τὸ λεῖον εἶναι ἐντὸς τὸ ὄστρακον. Τὸ δὲ σαρκῶδες τοῖς μὲν μονοθύροις καὶ διθύροις προσπέφυκε τοῖς ὀστράκοις, ὥστε βίᾳ ἀποσπᾶσθαι, τοῖς δὲ στρομβώδεσιν ἀπολέλυται μᾶλλον. 10 [4] Ἴδιον δὲ τούτοις κατὰ τὸ ὄστρακον ὑπάρχει πᾶσι τὸ ἑλίκην ἔχειν τὸ ὄστρακον τὸ ἔσχατον ἀπὸ τῆς κεφαλῆς. [4] Ἔτι δ' [e] ἐπίπτυγμα [f] πάντ' ἔχει ἐκ γενετῆς. [4] Ἔτι δὲ πάντα τὰ στρομβώδη τῶν ὀστρακοδέρμων [g] δεξιά, καὶ κινεῖται οὐκ ἐπὶ 11 τὴν ἑλίκην ἀλλ' [h] ἐπὶ τὸ καταντικρύ. Τὰ μὲν οὖν ἔξωθεν

g τήθεα C^a, τίθεα A^a. h λειόσαρκά P. i ἐστι ante λ. $A^a.C^a$. k γαλάδες $P.D^a$. l τραχέα $P.D^a$. m λημνόστρεα A^a, λιμόστρεα $P.D^a$. n πῖνναι C^a. o ἐστιν om. $P.D^a$. p τὰ—γένος om. $P.A^a$. q λεπτόχειλα $P.D^a$. r οἱ om. P. s παχύχειλα $P.D^a$. t λειμόστρεα $A^a.C^a$, λιμόστρεα $P.D^a$. v ἐστιν αὐτῶν $P.D^a$. w ὁ om. $P.D^a$. οἱ κτεῖς A^a. x πετᾶσθαι $A^a.C^a$, πέττεσθαι $P.D^a$. y ἐκ] ἐστιν ἐκ $A^a.C^a$. z προσφύσεως $P.D^a$. a πίννη $A^a.C^a$. b λοπάς $A^a.C^a$. c καὶ post δὲ om. A^a. d σκληροσάρκων $P.D^a$. e ἐπίπτυγμα A^a. f ἔχει πάντα $P.D^a$. g δεξιᾷ κεκίνηται $P.D^a$. h ἐπὶ τὴν ἀντικρύ $P.D^a$.

Digitized by Google

[i] μόρια τούτων τῶν ζώων τοιαύτας ἔχει τὰς διαφοράς· τῶν δ' ἐντὸς τρόπον μέν τινα [k] παραπλήσιος ἡ φύσις ἐστὶ πάντων, καὶ μάλιστα τῶν [l] στρομβωδῶν (μεγέθει γὰρ ἀλλήλων διαφέρει καὶ τοῖς καθ' ὑπεροχὴν πάθεσιν), οὐ πολὺ δὲ διαφέρει οὐδὲ τὰ μονόθυρα καὶ δίθυρα, [m] συγκλειστὰ δέ· διαφορὰν [n] γὰρ ἔχει πρὸς ἄλληλα [o] μὲν μικράν, πρὸς δὲ τὰ ἀκίνητα πλείω. Τοῦτο δ' ἔσται φανερὸν ἐκ τῶν ὕστερον μᾶλλον. 12 [p] Ἡ δὲ φύσις τῶν στρομβοειδῶν ἁπάντων ὁμοίως ἔχει, διαφέρει δ' ὥσπερ [p] εἴρηται, καθ' ὑπεροχήν (τὰ μὲν γὰρ μείζω [q] μέρη καὶ ἐνδηλότερα ἔχει αὐτῶν, τὰ δ' ἐλάττω τοὐναντίον), ἔτι δὲ [r] σκληρότητι καὶ μαλακότητι καὶ τοῖς ἄλλοις τοῖς τοιούτοις πάθεσιν. 13 [s] Ἔχει γὰρ πάντα [s] τὴν μὲν ἐξωτάτω ἐν τῷ στόματι τοῦ ὀστράκου σάρκα [t] στιφράν, τὰ μὲν μᾶλλον τὰ δ' ἧττον. [t] Ἐκ μέσου δὲ τούτου ἡ κεφαλὴ καὶ [v] κεράτια δύο· ταῦτα δ' ἐν μὲν τοῖς μείζοσι μεγάλα, ἐν δὲ τοῖς [w] ἐλάττοσι [x] πάμπαν μικρά ἐστιν. 14 [y] Ἡ δὲ κεφαλὴ ἐξέρχεται πᾶσι τὸν αὐτὸν τρόπον· [y] κἄν τι φοβηθῇ, συσπᾶται πάλιν εἰς τὸ ἐντός. [u] Ἔχει δὲ στόμα καὶ ὀδόντας ἕνια, οἷον ὁ κοχλίας, ὀξεῖς [z] καὶ μικροὺς καὶ λεπτούς. 15 [u] Ἔχουσι δὲ καὶ προβοσκίδας, ὥσπερ [z] καὶ αἱ μυῖαι· τοῦτο δ' ἐστὶ γλωττοειδές. [u] Ἔχουσι δὲ καὶ [a] οἱ κήρυκες τοῦτο καὶ αἱ πορφύραι [b] στιφρόν, καὶ ὥσπερ οἱ [c] μύωπες καὶ οἱ οἶστροι τὰ δέρματα διατρυπῶσι τῶν τετραπόδων, [d] ὅτι τὴν ἰσχὺν τοῦτ' ἐστὶ [e] σφοδρότατον· τῶν γὰρ δελεάτων τὰ ὄστρακα διατρυπῶσιν. Τοῦ δὲ στόματος [f] ἔχεται εὐθὺς ἡ κοιλία. [f] Ὁμοία δ' ἐστὶν ἡ κοιλία προλόβῳ ὄρνιθος [g] ἡ τῶν κόχλων.

[i] μόρια] τῶν μορίων $A^a.C^a$. [k] παραπλησία ἐστὶν ἡ φύσις αὐτῶν καὶ P.D^a. [l] στρομβοειδῶν P.D^a. [m] συγκλειστὰ] τὰ πλεῖστα $A^a.C^a$. [n] γὰρ] μὲν C^a. [o] μὲν om. C^a. [p] εἴρηται καὶ καθ' ὑπεροχήν D^a, εἴρηται καθάπερ ὁ χήν C^a. [q] μόρια $A^a.C^a$. [r] σκληρότατον καὶ μαλακώτατον A^a. [s] τὸ μὲν ἐξώτατον A^a. [t] στρυφνὴν A^a, στρυφνὰν C^a. [v] κέρατα A^a. [w] ἐλάττοσι] μικροῖς $A^a.C^a$. [x] πάντα μικρά. ἡ P. [y] κἄν τι] καὶ ὅταν P.D^a. [z] καὶ post ὀξεῖς et mox post ὥσπερ om. P.D^a. [a] οἱ om. pr. A^a. [b] στυφρόν D^a, στρυφνόν $A^a.C^a$. [c] οἶστροι καὶ οἱ μύωπες D^a. [d] ὅτι] ἔτι $A^a.C^a$. [e] σφοδρότερον $A^a.C^a$. [f] εὐθὺς ἔχεται ἡ P.D^a, ἔχεται εὐθὺς καὶ ἡ A^a. [g] ἡ] ἢ A^a, ὁμοία οὖσα P.D^a.

Digitized by Google

16 Κάτω δ' ἔχει δύο λευκὰ [i]στιφρά, [k]ὅμοια μαστοῖς, οἷα ἐγγίνεται καὶ ἐν ταῖς σηπίαις, πλὴν [l]στιφρὰ ταῦτα μᾶλλον. [t]Ἀπὸ δὲ τῆς κοιλίας στόμαχος [l]ἁπλοῦς μακρὸς μέχρι τῆς 17 [m]μήκωνος, ἣ ἐστιν ἐν τῷ πυθμένι. Ταῦτα μὲν [n]οὖν δῆλα καὶ ἐπὶ τῶν πορφυρῶν καὶ [o]τῶν κηρύκων ἐστὶν ἐν [p]τῇ ἑλίκῃ τοῦ ὀστράκου. Τοῦ δὲ στομάχου τὸ ἐχόμενόν ἐστιν ἔντερον· [q]συνεχὲς δὲ ὅ τε στόμαχος καὶ τὸ ἔντερον, καὶ ἅπαν 18 ἁπλοῦν μέχρι τῆς ἐξόδου. [r]Ἡ δ' ἀρχὴ τοῦ ἐντέρου περὶ τὴν ἑλίκην τῆς [m]μήκωνος, καὶ [r]ταύτῃ ἐστὶν εὐρύτερον (ἔστι γὰρ ἡ μήκων [s]οἱονεὶ περίττωμα πᾶσι τοῖς ὀστρακηροῖς τὸ πολὺ αὐτῆς), [t]εἶτα ἐπικάμψαν ἄνω φέρεται πάλιν πρὸς τὸ σαρκῶδες, καὶ ἡ τελευτὴ τοῦ ἐντέρου [v]παρὰ τὴν κεφαλήν ἐστιν, ᾗ [w]ἀφιᾶσι τὸ περίττωμα, πᾶσιν ὁμοίως τοῖς [x]στρομβώδεσι 19 καὶ τοῖς χερσαίοις καὶ τοῖς [y]θαλαττίοις. Παρύφανται δ' ἀπὸ τῆς κοιλίας [z]τῷ στομάχῳ ἐν τοῖς μεγάλοις κόχλοις συνεχόμενος [a]ὑμενίῳ μακρὸς [b]πόρος καὶ λευκός, ὅμοιος τὴν χρόαν τοῖς ἄνω μαστοειδέσιν· ἔχει δ' ἐντομὰς ὥσπερ τὸ ἐν τῷ καράβῳ ᾠόν, πλὴν τὴν χρόαν τὸ μὲν λευκόν, ἐκεῖνο δ' 20 ἐρυθρόν. [u]Ἔχει δ' οὐδεμίαν ἔξοδον τοῦτο οὐδὲ πόρον, ἀλλ' [c]ἐν ὑμένι ἐστὶ [d]λεπτῷ, κοιλότητα ἔχον ἐν [e]αὑτῷ στενήν. [t]Ἀπὸ δὲ τοῦ ἐντέρου κάτω [f]παρατείνει [g]μέλανα καὶ τραχέα συνεχῆ, οἷα καὶ ἐν ταῖς χελώναις, πλὴν ἧττον [h]μέλανα. [u]Ἔχουσι δὲ καὶ οἱ [i]θαλάττιοι κόχλοι ταῦτα [k]καὶ τὰ λευκά, 21 πλὴν ἐλάττω οἱ ἐλάττους. Τὰ δὲ μονόθυρα καὶ δίθυρα [l]τῇ μὲν ὁμοίως ἔχει [m]τούτοις [l]τῇ δ' ἑτέρως. Κεφαλὴν μὲν γὰρ καὶ κεράτια καὶ στόμα ἔχουσι καὶ τὸ γλωττοειδές· ἀλλ' ἐν

[i] στριφνὰ C^a, στρυφνὰ A^a. [k] ὅμοια—στιφρὰ om. P. [l] διπλοῦς P.D^a. [m] μήκονος D^a. [n] οὖν ἐστὶ δῆλα A^a. [o] τῶν] ἐπὶ τῶν P. [p] τῇ ἕλικι C^a, τῷ ἕλικι A^a. [q] συνεχὲς—ἔντερον om. A^a.C^a. [r] ταύτης A^a.C^a. [s] οἱονεὶ] οἷον κοιλίας A^a.C^a. [t] εἶτα] ᾗ δ' A^a.C^a. [v] παρὰ] περὶ A^a.C^a. [w] ἀφίησι τὸ π. π. ὁμοίως καὶ τοῖς P.D^a. [x] στρομβοειδέσι A^a.C^a. [y] θαλασσίοις D^a. [z] τοῦ στομάχου C^a. τῷ στομάχῳ post κόχλοις P.D^a. [a] ὑμένι ᾧ P, ὑμὴν ᾧ D^a. [b] καὶ λευκὸς πόρος P.D^a. [c] ἐν om. A^a. [d] λεπτῷ καὶ κοιλότητα P.A^a.C^a. [e] ἑαυτῷ A^a.C^a. [f] κατατείνει A^a.C^a. [g] μέλαινα καὶ τραχεῖα A^a. [h] μέλαινα A^a. [i] θαλάσσιοι C^a, ἄλλοι P.D^a. [k] καὶ om. D^a. [l] πῇ P.D^a. [m] τούτους pr. A^a.

Digitized by Google

μὲν τοῖς ἐλάττοσι διὰ [n] μικρότητα αὐτῶν ἄδηλα, τὰ δὲ καὶ ἐν τεθνεῶσιν ἢ μὴ κινουμένοις [o] οὐ δῆλα. Τὴν δὲ [p] μήκωνα 22 [q] πάντα ἔχει, ἀλλ' οὐκ ἐν [r] τῷ αὐτῷ οὐδὲ ἴσην οὐδ' ὁμοίως φανεράν, ἀλλ' αἱ μὲν [s] λεπάδες κάτω ἐν τῷ βάθει, τὰ δὲ δίθυρα ἐν τῷ [t] γιγγλυμώδει. Καὶ τὰ τριχώδη πᾶσιν ὑπάρχει κύκλῳ τούτοις, οἷον καὶ τοῖς [v] κτεσίν. Καὶ τὸ λεγό- 23 μενον ᾠὸν τοῖς ἔχουσιν, ὅταν [w] ἔχωσιν, ἐν [x] τῷ ἐπὶ θάτερα κύκλῳ τῆς περιφερείας ἐστίν, ὥσπερ [y] καὶ τὸ λευκὸν τοῖς κόχλοις· καὶ γὰρ [z] ἐκείνοις τοῦτο ὅμοιον ὑπάρχει. Ἀλλὰ [a] πάντα τὰ τοιαῦτα μόρια, ὥσπερ εἴρηται, ἐν μὲν τοῖς μεγάλοις δῆλά ἐστιν, ἐν δὲ τοῖς μικροῖς ἢ οὐδὲν ἢ μόλις. Διὸ 24 μάλιστα ἐν τοῖς μεγάλοις [b] κτεσὶ φανερά ἐστιν· οὗτοι δ' εἰσὶν οἱ τὴν ἑτέραν θυρίδα πλατεῖαν ἔχοντες, οἷον [c] ἐπίθεμα. Ἡ δὲ τοῦ περιττώματος ἔξοδος τοῖς μὲν ἄλλοις [d] ἐστὶν ἐκ πλαγίου· ἔστι γὰρ [e] πόρος ᾗ πορεύεται ἔξω· ἡ γὰρ μήκων ὥσπερ εἴρηται, περίττωμά ἐστι πᾶσιν ἐν ὑμένι. Τὸ δὲ 25 καλούμενον ᾠὸν οὐκ ἔχει πόρον ἐν οὐθενί, ἀλλ' αὐτῆς τῆς σαρκὸς ἐπανοιδεῖ· ἔστι δ' [f] οὐκ ἐπὶ [g] ταὐτὸν τῷ ἐντέρῳ, ἀλλὰ τὸ μὲν ᾠὸν ἐν τοῖς δεξιοῖς, τὸ δ' [h] ἕντερον ἐν τοῖς ἀριστεροῖς. Τοῖς μὲν οὖν ἄλλοις τοιαύτη [i] ἡ ἔξοδος τῆς περιττώσεως, τῇ 26 δ' ἀγρίᾳ [j] λεπάδι, ἣν τινες καλοῦσι θαλάττιον οὖς, [k] ὑποκάτω τοῦ ὀστράκου ἡ περίττωσις ἐξέρχεται· τετρύπηται γὰρ τὸ ὄστρακον. [l] Φανερὰ δὲ καὶ ἡ κοιλία μετὰ τὸ στόμα οὖσα ἐν ταύτῃ καὶ τὰ ᾠοειδῆ. Πάντα δὲ ταῦτα τίνα τρόπον [m] τῇ θέσει ἔχει, ἐκ τῶν ἀνατομῶν θεωρείσθω. Τὸ δὲ κα- 27 λούμενον καρκίνιον [n] τρόπον τινὰ κοινόν ἐστι τῶν τε μαλα-

[n] σμικρότητα A^a. [o] οὐ δῆλα] εὔδηλα P.D^a. et corr. A^a. [p] μήκονα P.D^a. [q] πάντα om. A^a.C^a. [r] ταὐτῷ P. [s] λεπίδες A^a. [t] γιγλυμώδει P.D^a. et rc. A^a, γιγνυμώδει pr. A^a. [v] κτεισί A^a.C^a. [w] ἔχουσιν A^a. [x] τῷ κύκλῳ τῆς περιφερείας τῷ ἐπὶ θάτερα A^a. [y] καὶ ante τὸ om. C^a. [z] ἐκεῖνο τούτοις ὁμοίως A^a.C^a. [a] πάντα om. D^a. [b] κτεισί A^a.C^a. [c] ἐπίθημα A^a.C^a. [d] ἐστὶν om. A^a.C^a. [e] πόρος ᾗ] πρὸς ᾗ A^a, πρὸς ὠὶ C^a. [f] οὐκ ἐπὶ] οὐκέτι D^a. [g] ταὐτὸ A^a.C^a. [h] ἕντερον] ἕτερον A^a, om. P.D^a. [i] ἡ om. P.A^a.D^a. [j] λοπάδι A^a.C^a. [k] κάτω A^a.C^a. [l] φανερῶς A^a. [m] ἔχει τῇ φύσει A^a.C^a. [n] τρόπον μέν τινα A^a.C^a.

Digitized by Google

κοστράκων καὶ τῶν ὀστρακοδέρμων. Αὐτὸ μὲν [o] γὰρ τὴν φύσιν ὅμοιον τοῖς καραβοειδέσι, καὶ γίνεται αὐτὸ καθ' [p] αὑτό, [q] τῷ δ' εἰσδύεσθαι καὶ ζῆν ἐν [r] ὀστράκῳ ὅμοιον τοῖς ὀστρα-
28 κοδέρμοις, ὥστε διὰ ταῦτα ἔοικεν ἐπαμφοτερίζειν. Τὴν δὲ μορφὴν ὡς μὲν ἁπλῶς εἰπεῖν ὅμοιόν ἐστι [s] τοῖς ἀράχναις, πλὴν τὸ κάτω τῆς κεφαλῆς καὶ τοῦ θώρακος μεῖζον ἔχει
29 [t] ἐκείνου. [u] Ἔχει δὲ κεράτια δύο λεπτὰ πυρρά, καὶ ὀφθαλμοὺς ὑποκάτω τούτων [v] δύο μακρούς, οὐκ εἰσδυομένους οὐδὲ [w] κατακλινομένους ὥσπερ οἱ τῶν καρκίνων ἀλλ' ὀρθούς, ὑποκάτω δὲ τούτων τὸ στόμα καὶ περὶ αὐτὸ καθαπερεὶ τριχώδη ἄττα πλείω, τούτων δ' ἐχομένους δύο πόδας δικρόους, οἷς προσάγεται, καὶ ἄλλους ἐφ' ἑκάτερα δύο, καὶ τρίτον μικρόν.
30 Τὸ δὲ κάτω τοῦ θώρακος μαλακὸν ἅπαν ἐστὶ καὶ διοιγόμενον [x] ὠχρὸν ἔνδοθεν. [y] Ἀπὸ δὲ τοῦ στόματος πόρος εἰς ἄχρι τῆς κοιλίας· τῆς δὲ περιττώσεως [z] οὐ δῆλος ὁ πόρος. Οἱ δὲ πόδες καὶ ὁ θώραξ σκληρὰ μέν, ἧττον δ' [a] ἢ τῶν καρκίνων. Πρόσφυσιν δ' οὐκ ἔχει πρὸς τὰ ὄστρακα [b] ὥσπερ αἱ πορφύ-
31 ραι καὶ οἱ κήρυκες, ἀλλ' [c] εὐαπόλυτόν ἐστιν. Προμηκέστερα δ' ἐστὶ τὰ ἐν τοῖς στρόμβοις τῶν ἐν τοῖς [d] νηρείταις. [e] Ἕτερον δὲ γένος ἐστὶ τὸ τῶν [d] νηρειτῶν, τὰ μὲν ἄλλα παραπλήσιον, τῶν δὲ [f] δικρόων ποδῶν τὸν μὲν δεξιὸν ἔχει μικρὸν τὸν δ' ἀριστερὸν μέγαν, καὶ ποιεῖται τὴν βάδισιν μᾶλλον ἐπὶ
32 [g] τούτῳ. Λαμβάνεται δὲ [h] καὶ ἐν ταῖς [i] κόγχαις τοιοῦτον, ὧν ἐστὶν ἡ πρόσφυσις παραπλησία, καὶ ἐν τοῖς ἄλλοις. Τοῦτον [j] δὲ καλοῦσι [k] κύλλαρον. [l] Ὁ δὲ [d] νηρείτης τὸ μὲν ὄστρακον ἔχει λεῖον καὶ [m] μέγα καὶ στρογγύλον, τὴν δὲ μορφὴν παραπλησίαν τοῖς κήρυξι, πλὴν οὐχ ὥσπερ ἐκεῖνοι τὴν [n] μήκωνα μέλαιναν ἀλλ' ἐρυθράν· προσπέφυκε δὲ νεανι-

[o] γὰρ τὴν φύσιν om. D[a]. [p] ἑαυτό P.D[a]. [q] τὸ D[a]. [r] ὀστράκοις A[a]. [s] ταῖς A[a].C[a]. [t] ἐκεῖνος C[a]. [u] δύο om. A[a].C[a]. [v] κατακλειομένους P.D[a]. [x] ἔνδοθεν ὠχρόν ἐστιν A[a].C[a]. [y] οὐ δῆλος] εὔδηλος D[a]. [z] ἢ om. P. [a] ὥσπερ καὶ αἱ P. [b] εὐαπόδυτόν P. [c] νηρίταις, mox νηριτῶν, et sect. 32. νηρίτης P.D[a]. [d] δίκρων P. [e] τούτου P. [f] καὶ om. A[a]. [g] κρόκαις τούτων ὧν ἐστι πρ. A[a].C[a]. [h] δὲ καὶ καλ. A[a].C[a]. [i] σκύλλαρον D[a]. [k] μέλαν A[a].C[a]. [l] μήκωνα P.D[a].

Digitized by Google

κῶς κατὰ τὸ μέσον. Ἐν μὲν οὖν ταῖς εὐδίαις ἀπολυόμενα 33
νέμεται ταῦτα, πνευμάτων δ' ὄντων τὰ μὲν καρκίνια ἡσυ-
χάζει πρὸς τοῖς λίθοις, οἱ δὲ [m] νηρεῖται [n] προσέχονται κα-
θάπερ αἱ [o] λεπάδες· [p] ὡσαύτως δὲ καὶ αἱ αἱμορροΐδες καὶ πᾶν
τὸ τοιοῦτον γένος. Προσφύονται δὲ ταῖς πέτραις, ὅταν 34
ἀποκλίνωσι τὸ ἐπικάλυμμα· τοῦτο γὰρ ἔοικεν εἶναι [q] ὥσπερ
[r] πῶμα· [s] ὃ γὰρ τοῖς διθύροις ἄμφω, τοῦτο τοῖς [t] στρομ-
βώδεσι τὸ ἕτερον μέρος. Τὸ δ' ἐντὸς σαρκῶδές [v] ἐστι, καὶ
ἐν τούτῳ τὸ στόμα. Τὸν αὐτὸν δὲ τρόπον ἔχει ταῖς [w] αἱ-
μορροΐσι καὶ ταῖς πορφύραις καὶ πᾶσι τοῖς τοιούτοις. [v]Οσα 35
δ' ἔχει μείζω τὸν ἀριστερὸν πόδα, ταῦτα ἐν μὲν τοῖς στρόμ-
βοις οὐκ ἐγγίνεται, ἐν δὲ τοῖς [m] νηρείταις ἐγγίνεται. Εἰσὶ
δέ τινες [x] κόχλοι οἳ ἔχουσιν ἐν αὐτοῖς ὅμοια ζῷα τοῖς ἀστα-
κοῖς τοῖς μικροῖς, [y] οἳ γίνονται καὶ ἐν τοῖς ποταμοῖς· διαφέ-
ρουσι δ' αὐτῶν τῷ μαλακὸν ἔχειν [z] τὸ ἔσω τοῦ ὀστράκου.
Τὴν δ' ἰδέαν οἷοί εἰσιν, ἐκ τῶν ἀνατομῶν θεωρείσθωσαν.

Οἱ δ' ἐχῖνοι τὸ μὲν σαρκῶδες οὐκ ἔχουσιν, ἀλλ' ἴδιον 5
αὐτῶν τοῦτ' ἐστίν· ἐστέρηνται γὰρ πάντες, καὶ οὐκ ἔχουσι
σάρκα ἐντὸς οὐδεμίαν· τὰ δὲ μέλανα πάντες. [v]Εστι δὲ
[a] γένη πλείω τῶν ἐχίνων, ἓν μὲν τὸ ἐσθιόμενον· τοῦτο δ'
ἐστὶν ἐν ᾧ τὰ καλούμενα ᾠὰ μεγάλα [b] ἐγγίνεται καὶ ἐδώ-
διμα, ὁμοίως ἐν [c] μείζοσι καὶ ἐλάττοσιν· καὶ γὰρ εὐθὺς [d] ἔτι
μικροὶ ὄντες ἔχουσι ταῦτα. [v]Αλλα [e] δὲ δύο γένη τό τε 2
[f] τῶν [g] σπατάγγων καὶ [h] τὸ τῶν καλουμένων [i] βρύσσων· γί-
νονται δ' οὗτοι πελάγιοι καὶ σπάνιοι. [v]Ετι αἱ [k] ἐχινομῆ-
ται καλούμεναι, μεγέθει πάντων μέγισται. Πρὸς δὲ τού-
τοις ἄλλο γένος [l] μεγέθει μὲν μικρόν, [m] ἀκάνθας δὲ μεγάλας

[m] *νηρῖται*, et sect. 35. *νηρίταις* P.D[a]. [n] *προσέρχονται* C[a]. et pr. A[a], *προσέχονται μὲν* D[a]. [o] *λοπάδες* A[a].C[a]. [p] *ὡσαύτως δὲ καὶ αἱ αἱμ.*] *καὶ αἱ ἀπορραΐδες* P.D[a]. [q] *ὡσπερεὶ* A[a].C[a]. [r] *πόμα* A[a]. [s] *ὃ γὰρ*] *οἷον* C[a]. [t] *στρομβοειδέσι* A[a]. [v] *ἐστι* om. A[a].C[a]. [w] *ἀπορραΐσι* P.D[a]. [x] *κοχλίαι* A[a].C[a]. [y] *ἃ* P.D[a]. [z] *τὸ* om. P.D[a]. [a] *πλείω τῶν ἐχίνων γένη* P.D[a]. [b] *γίνεται* P.D[a]. [c] *μείζονι καὶ ἐλάσσ(ττ* C[a].)*ονι* A[a].C[a]. [d] *ἔτι*] *καὶ* P, om. D[a]. [e] *δὲ* om. pr. A[a]. [f] *τῶν* om. P. [g] *σπαταγίων* A[a].C[a]. [h] *τὸ* om. A[a]. [i] *βυρσῶν* A[a], *βυρσσῶν* C[a]. [k] *χηνομήτραι* pr. A[a]. [l] *μεγέθος μὲν* C[a], om. P.D[a]. [m] *ἀκάνθας ἔχον μεγάλας* P.D[a].

Digitized by Google

ἔχει καὶ σκληράς, γίνεται δ' ἐκ τῆς θαλάττης ἐν πολλαῖς
3 ὀργυιαῖς, ᾧ χρῶνται πρὸς τὰς στραγγουρίας τινές. Περὶ
δὲ Τορώνην εἰσὶν ἐχῖνοι λευκοὶ θαλάττιοι καὶ τὰ ὄστρακα καὶ
τὰς ἀκάνθας καὶ τὰ ᾠά, μείζους δὲ τῶν ἄλλων εἰς μῆκος· ἡ δ'
ἄκανθα οὐ μεγάλη οὐδὲ ἰσχυρὰ ἀλλὰ μαλακωτέρα, τὰ δὲ μέ-
λανα τὰ ἀπὸ τοῦ στόματος πλείω, καὶ πρὸς μὲν τὸν ἔξω πό-
ρον [n]συνάπτοντα πρὸς ἑαυτὰ δὲ ἀσύναπτα· τούτοις δ' ὥσπερ
4 διειλημμένος ἐστίν. Κινοῦνται δὲ μάλιστα καὶ πλειστάκις οἱ
ἐδώδιμοι αὐτῶν· καὶ σημεῖον δέ [o]τι ἔχουσιν ἐπὶ ταῖς ἀκάν-
θαις. [p]Ἔχουσι μὲν [p]οὖν ἅπαντες ᾠά, ἀλλ' ἔνιοι πάμπαν
μικρὰ καὶ [q]οὐκ ἐδώδιμα. Συμβαίνει δὲ τὴν [q]μὲν λεγομένην
κεφαλὴν καὶ τὸ στόμα τὸν ἐχῖνον κάτω ἔχειν, ἡ δ' ἀφίησι
5 τὸ περίττωμα, ἄνω. [r]Ταὐτὸν δὲ τοῦτο συμβέβηκε τοῖς τε
στρομβώδεσι πᾶσι καὶ ταῖς [s]λεπάσιν· ἡ γὰρ νομὴ ἐκ τῶν
κάτωθεν, ὥστε τὸ μὲν στόμα πρὸς [t]τῇ νομῇ, τὸ δὲ περίτ-
τωμα ἄνω πρὸς τοῖς πρανέσι τοῦ ὀστράκου. [u]Ἔχει δ' ὁ
ἐχῖνος ὀδόντας πέντε κοίλους ἔνδοθεν, ἐν μέσῳ δὲ τούτων
6 σῶμα σαρκῶδες ἀντὶ γλώττης. Τούτου δ' ἔχεται ὁ στόμα-
χος, εἶτα ἡ κοιλία εἰς πέντε μέρη διῃρημένη, πλήρης περιτ-
τώματος· συνέχουσι δὲ πάντες οἱ κόλποι αὐτῆς [v]εἰς ἓν πρὸς
τὴν [w]ἔξοδον τῆς περιττώσεως, ᾗ τετρύπηται [x]τὸ ὄστρακον.
[y]Ὑπὸ δὲ τὴν κοιλίαν ἐν ἄλλῳ ὑμένι τὰ καλούμενα ᾠά ἐστιν,
ἴσα [y]τὸν ἀριθμὸν ὄντα ἐν [z]πᾶσιν· [a]πέντε γάρ ἐστι [b]τὸ
7 πλῆθος [c]καὶ περιττά. [d]Ἄνω δὲ τὰ μέλανα [d]ἀπὸ τῆς ἀρχῆς
τῶν ὀδόντων ἤρτηται, ἃ ἐστι πικρὰ καὶ οὐκ ἐδώδιμα. [e]Ἐν
πολλοῖς δὲ τῶν [e]ζώων [f]τὸ τοιοῦτόν ἐστιν ἢ τὸ ἀνάλογον·
καὶ γὰρ ἐν ταῖς χελώναις καὶ [g]ἐν [h]φρύναις καὶ [g]ἐν βατρά-
χοις καὶ ἐν τοῖς στρομβώδεσι [i]καὶ τοῖς [k]μαλακίοις· [l]ἀλλὰ

[n] συνάπτονται A^a. [o] τι] τι ἂν P, τι ἀεὶ D^a. [p] οὖν om. A^a. [q] οὐκ et mox μὲν om. A^a. [r] ταὐτὸ $A^a.C^a$. [s] λοπάσιν $A^a.C^a$. [t] τὴν νομὴν P.D^a. [v] εἰς ἓν om. D^a. [w] ἔξωθεν pr. A^a. [x] τὸ om. P. [y] τῷ ἀριθμῷ P.D^a. [z] ἅπασι $A^a.C^a$. [a] πέντε] πάντα P. [b] τὸ πλῆθος om. P.D^a. [c] καὶ om. P. [d] ἀπὸ δὲ τῆς D^a. [e] ὠῶν P.D^a. [f] ἐστι τὸ τοιοῦτον D^a. [g] ἐν secundam et tertiam om. $A^a.C^a$. [h] φρύνοις A^a. [i] καὶ τοῖς] καὶ ἐν τοῖς C^a, καὶ A^a. [k] μαλακοῖς P.D^a. [l] ἀλλ' ἐν τῷ $A^a.C^a$.

Digitized by Google

τῷ χρώματι διαφέρει, καὶ ἄβρωτά ἐστιν [m] ἐν πᾶσι τὰ τοιαῦτα ἢ πάμπαν ἢ μᾶλλον. Κατὰ μὲν οὖν [n] τὴν ἀρχὴν καὶ 8
τελευτὴν συνεχὲς [o] τὸ σῶμα τοῦ ἐχίνου ἐστί, κατὰ [p] δὲ τὴν
ἐπιφάνειαν οὐ συνεχὲς ἀλλ' ὅμοιον λαμπτῆρι μὴ ἔχοντι τὸ
κύκλῳ δέρμα. Ταῖς δ' ἀκάνθαις ὁ ἐχῖνος [q] χρῆται ὡς ποσίν·
ταύταις γὰρ [r] ἀπερειδόμενος καὶ κινούμενος μεταβάλλει τὸν
τόπον.

Τὰ [s] δὲ καλούμενα [t] τήθυα τούτων πάντων ἔχει τὴν φύσιν 6
περιττοτάτην. Κέκρυπται γὰρ αὐτῶν μόνων τὸ σῶμα ἐν τῷ
ὀστράκῳ πᾶν, τὸ δ' ὄστρακόν ἐστι μεταξὺ δέρματος καὶ
ὀστράκου, διὸ καὶ τέμνεται ὥσπερ βύρσα σκληρά. Προσπέ- 2
φυκε μὲν οὖν ταῖς πέτραις [v] τῷ ὀστράκῳ, δύο [w] δ' ἔχει πόρους
ἀπέχοντας [x] ἀπ' ἀλλήλων, πάμπαν μικροὺς καὶ οὐ ῥᾳδίους
ἰδεῖν, ᾗ [y] ἀφίησι καὶ δέχεται τὸ ὑγρόν· περίττωμα γὰρ οὐ-
δὲν ἔχει φανερόν, ὥσπερ τῶν ἄλλων ὀστρέων τὰ [z] μὲν ὥσπερ
ἐχῖνος, τὰ δὲ τὴν καλουμένην μήκωνα. [1] Ἀνοιχθέντα δ' ἔσωθεν 3
πρῶτον μὲν ὑμένα ἔχει νευρώδη [a] περὶ τὸ ὀστρακῶδες· ἐν δὲ
τούτῳ [b] αὐτό ἐστι τὸ σαρκῶδες τοῦ [c] τηθύου, [d] οὐδενὶ ὅμοιον
τῶν ἄλλων· [e] αὐτὴ μέντοι ἡ σὰρξ πᾶσιν ὁμοία. Προσπέφυκε 4
δὲ τοῦτο κατὰ δύο τόπους τῷ ὑμένι καὶ τῷ δέρματι [f] ἐκ πλα-
γίου· καὶ ᾗ προσπέφυκε, ταύτῃ ἐστὶ [g] στενώτερον ἑφ' ἑκά-
τερα, οἷς τείνει πρὸς τοὺς πόρους τοὺς ἔξω διὰ τοῦ ὀστράκου
φέροντας, ᾗ ἀφίησι καὶ δέχεται τὴν τροφὴν [h] καὶ τὸ ὑγρόν,
ὡς ἂν εἰ τὸ μὲν στόμα εἴη, τὸ δὲ τῇ περιττώσει ἔξοδος· καὶ
ἔστιν αὐτῶν τὸ μὲν παχύτερον τὸ δὲ λεπτότερον. [2] Ἔσω δὲ 5
κοῖλον ἑφ' [i] ἑκάτερα, καὶ διείργει μικρόν τι συνεχές· ἐν θα-
τέρῳ [k] δὲ τῶν κοίλων ἡ ὑγρότης ἐγγίνεται. [3] Ἄλλο δ' οὐδὲν

[m] ἐν πᾶσι om. P.D[a]. [n] τὴν om. P. [o] τὸ σῶμα ἐστὶ τοῦ ἐχ. D[a], τοῦ ἐχ. τὸ στόμα ἐστί A[a].C[a]. [p] δὲ om. pr. A[a]. [q] χρῆται ὁ ἐχῖνος A[a].C[a]. [r] ἐπερειδόμενος C[a]. [s] δὲ om. C[a]. [t] τήθεα πάντων ἔχει τὴν φύσιν τούτων A[a].C[a]. [v] τὸ ὀστρακῶδες A[a].C[a]. [w] δ' om. C[a]. [x] ἀπ' om. A[a]. [y] ἀφίασι A[a]. [z] μὲν] μὲν οὖν A[a]. [a] παρὰ A[a]. [b] ἐστὶν αὐτὸ P.D[a]. [c] τηθέου A[a].C[a]. [d] οὐδενὶ δ' ἐστὶν ὅμοιον P.D[a]. [e] αὕτη μέντοι ἡ σὰρξ πᾶσα A[a].C[a]. [f] ἐκ τοῦ πλαγίου A[a].C[a]. [g] στενότερον, ut solet, A[a]. [h] καὶ ante τὸ om. C[a]. [i] ἑκάτερον A[a].C[a]. [k] δὲ] γὰρ A[a].C[a].

Digitized by Google

ἔχει μόριον οὔτε ὀργανικὸν οὔτε αἰσθητήριον, οὔτε, ὥσπερ ἐλέχθη πρότερον ἐν τοῖς ἄλλοις, τὸ περιττωματικόν. Χρῶμα δὲ τοῦ [k]τηθύου ἐστὶ τὸ μὲν ὠχρὸν τὸ δ' ἐρυθρόν.

6 Ἔστι δὲ καὶ τὸ τῶν [l]ἀκαληφῶν γένος ἴδιον· προσπέφυκε [m]μὲν γὰρ ταῖς πέτραις ὥσπερ ἔνια τῶν ὀστρακοδέρμων, [n]ἀπολύεται δ' ἐνίοτε. Οὐκ ἔχει δ' ὄστρακον, ἀλλὰ σαρκώδες τὸ [o]σῶμα πᾶν ἐστὶν αὐτῆς. Αἰσθάνεται δὲ καὶ συναρπάζει προσφερομένης τῆς χειρὸς καὶ [p]προσέχεται, καθάπερ ὁ πολύπους ταῖς πλεκτάναις, [q]οὕτως ὥστε τὴν σάρκα ἐπανοιδεῖν.

7 Ἔχει δὲ τὸ στόμα ἐν μέσῳ, καὶ ζῇ ἀπὸ τῆς πέτρας ὥσπερ [r]ἀπ' ὀστρέου. [s]Κἄν τι προσπέσῃ τῶν μικρῶν [t]ἰχθυδίων, ἀντέχεται [v]ὥσπερ τῆς χειρός· οὕτω κἄν [w]τι προσπέσῃ αὐτῇ ἐδώδιμον, [x]κατεσθίει. Καὶ ἀπολύεται δὲ γένος τι αὐτῶν, ὃ

8 [y]ἐάν τι προσπέσῃ κατεσθίει καὶ ἐχίνους καὶ κτένας. Περίττωμα δὲ [z]οὐδὲν παντελῶς φαίνεται ἔχουσα, ἀλλ' ὁμοία κατὰ τοῦτο τοῖς φυτοῖς ἐστίν. [a]Γένη δὲ τῶν [b]ἀκαληφῶν [c]ἐστὶ δύο, αἱ μὲν ἐλάττους καὶ ἐδώδιμοι μᾶλλον, αἱ δὲ μεγά-

9 λαι καὶ σκληραί, [d]οἷαι γίνονται καὶ περὶ Χαλκίδα. Τοῦ μὲν οὖν χειμῶνος τὴν σάρκα [e]στιφρὰν ἔχουσι (διὸ καὶ θηρεύονται καὶ ἐδώδιμοί εἰσι), τοῦ δὲ θέρους ἀπόλλυνται· γίνονται γὰρ μαδαραί, καὶ ἂν τις θίγῃ, διασπῶνται ταχέως καὶ [f]ὅλαι οὐ δύνανται [g]ἀφαιρεῖσθαι, πονοῦσαί τε ταῖς [h]ἁλέαις εἰς τὰς πέτρας [i]εἰσδύονται μᾶλλον.

Περὶ μὲν οὖν τῶν μαλακίων καὶ [k]τῶν μαλακοστράκων καὶ τῶν ὀστρακοδέρμων, ὅσα [l]τε ἔχουσιν [m]ἐκτὸς μέρη καὶ

7 ὅσα ἐντός, εἴρηται· περὶ δὲ τῶν ἐντόμων λεκτέον τὸν αὐτὸν

k τηθέου Aa.Ca. l ἀκαλύφων Da, ἀκαλίφων P. m μὲν γὰρ δὲ] Aa.Ca. n ἀπολύονται Aa.Ca. o σῶμα πᾶν] στόμα Aa.Ca. p προσδέχεται Aa, προσέρχεται Ca. q οὕτως] οὕτε pr. Aa. r ἀπὸ στερεοῦ Aa.Ca. s καὶ ἄν P.Da. t ἰχθύων Da. v ὥσπερ] γὰρ ὥσπερ καὶ Aa.Ca. w τι om. P.Da. x κατεσθίει om. Aa.Ca. y ἄν P.Da. z παντελῶς οὐδὲν Ca, φανερὸν οὐδὲν Aa. a ἔστι δὲ γένη P.Da. b ἀκαλίφων Da, ἀκαλύφων P. c ἐστὶ om. P.Da. d αἱ Aa.Ca. e στρυφνὰν Aa, στριφνὰν Ca. f ὅλα Aa, ὅλως P.Da. g ἀφαιρεῖσθαι οὐ δύνανται Aa.Ca. h ἀλεαῖς Aa. i ἐνδύονται P.Da. k τῶν post καὶ om. P.Da. l τε om. P.Da. m μέρη ἐκτὸς Aa.Ca.

Digitized by Google

τρόπον. [v]Εστι δὲ [n]τὸ γένος τοῦτο πολλὰ ἔχον εἴδη ἐν [o]αὐτῷ, καὶ ἐνίοις πρὸς ἄλληλα [p]συγγενικοῖς οὖσιν οὐκ ἐπέζευκται κοινὸν ὄνομα οὐδέν, οἷον ἐπὶ μελίττῃ καὶ [q]ἀνθρήνῃ καὶ σφηκὶ καὶ [r]τοῖς τοιούτοις, καὶ πάλιν ὅσα τὸ πτερὸν ἔχει ἐν κολεῷ, οἷον μηλολόνθη καὶ κάραβος καὶ [s]κανθαρὶς καὶ ὅσα [t]τοιαῦτα. Πάντων μὲν οὖν κοινὰ μέρη ἐστὶ τρία, κεφαλή τε 2
καὶ τὸ περὶ τὴν [v]κοιλίαν κύτος καὶ τρίτον τὸ μεταξὺ τούτων, οἷον τοῖς ἄλλοις τὸ στῆθος καὶ [w]τὸ νῶτον [x]ἐστίν. Τοῦτο 3
δὲ τοῖς μὲν πολλοῖς [y]ἓν ἐστιν· ὅσα δὲ μακρὰ καὶ πολύποδα, σχεδὸν ἴσα ταῖς ἐντομαῖς ἔχει [z]τὰ μεταξύ. Πάντα δ' ἔχει διαιρούμενα ζωὴν τὰ ἔντομα, πλὴν [a]ὅσα ἢ λίαν κατέψυκται ἢ διὰ μικρότητα ταχὺ [b]καταψύχεται, ἐπεὶ καὶ οἱ σφῆκες διαιρεθέντες ζῶσιν. Μετὰ μὲν οὖν τοῦ μέσου [c]καὶ ἡ κεφαλὴ 4
καὶ ἡ κοιλία ζῇ, ἄνευ δὲ τούτου ἡ κεφαλὴ [d]οὐ ζῇ. [v]Οσα δὲ μακρὰ καὶ πολύποδά [e]ἐστι, πολὺν χρόνον ζῇ διαιρούμενα, καὶ κινεῖται τὸ ἀποτμηθὲν ἐπ' ἀμφότερα τὰ ἔσχατα· καὶ γὰρ ἐπὶ τὴν τομὴν πορεύεται καὶ ἐπὶ τὴν οὐράν, οἷον ἡ καλουμένη [f]σκολόπενδρα. [v]Εχει δ' ὀφθαλμοὺς μὲν ἅπαντα, ἄλλο δ' αἰ- 5
σθητήριον οὐδὲν φανερόν, πλὴν ἔνια [g]οἷον [h]γλῶτταν· ἣν καὶ τὰ ὀστρακόδερμα [i]ἔχει πάντα, [k]ᾗ καὶ γεύεται [l]καὶ εἰς [m]αὐτὸ τὴν τροφὴν ἀνασπᾷ. Τοῦτο δὲ τοῖς μὲν μαλακόν [n]ἐστι, τοῖς δ' ἔχει ἰσχὺν πολλήν, ὥσπερ ταῖς πορφύραις. Καὶ οἱ 6
μύωπες [n]δὲ καὶ οἱ οἶστροι ἰσχυρὸν τοῦτ' ἔχουσι, καὶ τἆλλα σχεδὸν τὰ πλεῖστα· ἐν [o]πᾶσι γὰρ τοῖς μὴ ὀπισθοκέντροις τοῦτο ὥσπερ ὅπλον ἔχει ἕκαστον. [v]Οσα δ' ἔχει τοῦτο, ὀδόντας οὐκ ἔχει, [p]ἔξω ὀλίγων τινῶν, ἐπεὶ καὶ αἱ μυῖαι [q]τούτῳ θιγγάνουσαι αἱματίζουσι καὶ οἱ κώνωπες τούτῳ κεντοῦσιν.

[n] τοῦτο τὸ γένος πολλὰ εἴδη ἔχον Aa.Ca. [o] ἑαυτῷ Ca. [p] γενικοῖς Aa. [q] ἀνθρίνῃ Da, ἀρθρίνῃ Ca. [r] τοῖς] πᾶσι τοῖς Aa.Ca. [s] κάνθαρος Ca. [t] τοιαῦτα ἄλλα. πάντων Aa.Ca. [v] κοιλ.] κεφαλὴν P. [w] τὸ post καὶ om. Aa.Ca. [x] ἐστίν om. Ca. [y] ἕνεστιν· ὅσα δὲ μικρὰ Aa. [z] τὸ Aa. [a] ὅσα] ἃ P.Da. [b] ψύχεται Aa. [c] καὶ post μέσου om. Aa.Ca. [d] οὐ om. pr. Aa. [e] ἐστι καὶ πολὺν P. [f] σκολόπεδρα Aa. [g] οἷον om. P.Da. [h] γλῶττα Aa.Ca. [i] ἔχει om. Da. [k] ᾧ Ca. [l] καὶ ante εἰς om. Aa. [m] αὐτὴν Aa. [n] ἐστι et sect. 6. δὲ om. P.Da. [o] ἅπασι P.Da. [p] ἐξ P. [q] τοῦτο P.

Digitized by Google

7 "Εχουσι δ' ἔνια τῶν ἐντόμων καὶ κέντρα. Τὸ δὲ κέντρον τὰ μὲν ἔχει ἐν αὐτοῖς, οἷον αἱ μέλιτται καὶ οἱ σφῆκες, τὰ δ' ἐκτός, οἷον [r]σκορπίος· καὶ μόνον δὴ [s]τῶν ἐντόμων τοῦτο [t]μακρόκεντρόν ἐστιν. [v]"Ετι δὲ χηλὰς ἔχει τοῦτό [w]τε καὶ τὸ ἐν τοῖς βιβλίοις γινόμενον σκορπιῶδες. Τὰ δὲ πτηνὰ αὐτῶν
8 πρὸς τοῖς ἄλλοις μορίοις καὶ πτερὰ ἔχει. [u]"Εστι δὲ τὰ μὲν δίπτερα αὐτῶν, ὥσπερ αἱ μυῖαι, τὰ δὲ τετράπτερα, ὥσπερ αἱ μέλιτται· οὐθὲν δ' [x]ἐστὶν [y]ὀπισθόκεντρον δίπτερον μόνον. "Ετι δὲ τὰ μὲν ἔχει τῶν πτηνῶν ἔλυτρον τοῖς πτεροῖς, ὥσπερ [z]ἡ μηλολόνθη, τὰ δ' ἀνέλυτρά ἐστιν, ὥσπερ ἡ μέλιττα· [a]ἀνορροπύγιος δὲ ἡ πτῆσις αὐτῶν [b]πάντων ἐστί, καὶ τὸ
9 πτερὸν οὐκ ἔχει καυλὸν οὐδὲ σχίσιν. "Ετι κεραίας πρὸ τῶν [c]ὀμμάτων [d]ἔχει ἔνια, οἷον αἵ τε ψυχαὶ καὶ [e]οἱ κάραβοι. [v]Οσα δὲ πηδητικὰ αὐτῶν ἐστί, τούτων τὰ μὲν ἔχει τὰ ὄπισθεν σκέλη μείζω, τὰ δὲ πηδάλια καμπτόμενα εἰς τοὔπισθεν ὥσπερ τὰ τῶν τετραπόδων σκέλη. Πάντα δ' ἔχει τὰ πρανῆ
10 πρὸς τὰ ὕπτια [f]διάφορα, ὥσπερ καὶ [g]τἆλλα ζῷα. [h]Η δὲ τοῦ σώματος σὰρξ οὔτε ὀστρακώδης ἐστὶν οὔθ' οἷον τὸ ἐντὸς τῶν ὀστρακωδῶν, [h]οὔτω σαρκώδης, ἀλλὰ μεταξύ. Διὸ [i]καὶ οὔτ' ἄκανθαν ἔχουσιν οὔτ' ὀστοῦν οὔθ' οἷον [k]σήπιον οὔτε κύκλῳ ὄστρακον· αὐτὸ γὰρ αὐτὸ τὸ σῶμα διὰ τὴν σκληρότη-
11 τα σώζει, καὶ [l]οὐ προσδεῖται ἑτέρου ἐρείσματος. Δέρμα δ' ἔχουσι μέν, πάμπαν δὲ τοῦτο λεπτόν. Τὰ μὲν οὖν ἔξωθεν [m]αὐτῶν μόρια [n]ταῦτα καὶ τοιαῦτ' ἐστίν, ἐντὸς δὲ εὐθὺς μετὰ τὸ στόμα [o]ἕντερον τοῖς μὲν πλείστοις εὐθὺ καὶ ἁπλοῦν μέχρι τῆς ἐξόδου [p]ἐστίν, ὀλίγοις δ' [q]ἑλιγμὸν ἔχει. Σπλάγχον δ' οὐδὲν ἔχει τῶν τοιούτων οὐδὲ πιμελήν, ὥσπερ οὐδ' ἄλλο τῶν

[r] σκορπίοι P, δὴ σκορπίος Ca. [s] τοῦτο τῶν ἐντόμων Aa.Ca. [t] μακρόκερκον P. [v] ὅτι τε Aa. [w] τε om. Aa. [x] ἐστὶ om. Aa.Ca. [y] δίπτερον ὀπισθόκεντρον, omisso μόνον, P.Da. [z] ἡ] καὶ Da. [a] ἀνουροπύγιος Aa, ἀνουρροπύγιος Ca. [b] ἁπάντων Aa.Ca. [c] ὀλυμάτων P. [d] ἔχει om. P.Ca.Da. [e] οἱ] αἱ Da. [f] διαφορά Aa, διαφοράν Ca, διαφοράς P.Da. [g] τὰ ἄλλα P.Da. [h] οὕτω σαρκώδης] οὔτε σαρκῶδες Aa.Ca. [i] καὶ om. Aa. [k] σηπίειον Ca. [l] οὐδὲν δεῖται Aa.Ca. [m] μόρια αὐτῶν Da. [n] ταῦτα καὶ τοῦτον ἔχουσι τὸν τρόπον. ἐντὸς δὲ τοῦ κύτους μετὰ P.Da. [o] ἔντερόν ἐστι τοῖς Da. [p] ἐστὶν om. Da. [q] ἑλ. ἔχον Aa.

Digitized by Google

ἀναίμων οὐδέν. Ἔνια δ' ἔχει καὶ [r]κοιλίαν, καὶ ἀπὸ ταύτης 12
τὸ λοιπὸν ἔντερον [s]ἢ ἁπλοῦν ἢ [t]εἰλιγμένον, ὥσπερ [v]αἱ ἀκρίδες. Ὁ δὲ τέττιξ μόνον τῶν τοιούτων καὶ τῶν [w]ἄλλων ζῴων στόμα οὐκ ἔχει, ἀλλ' οἷον τοῖς [x]ὀπισθοκέντροις τὸ γλωττοειδές, τοῦτο μακρὸν καὶ συμφυὲς καὶ ἀδιάσχιστον, δι' οὗ τῇ δρόσῳ τρέφεται μόνον· ἐν δὲ τῇ κοιλίᾳ οὐκ ἴσχει περίττωμα. Ἔστι δ' αὐτῶν πλείω εἴδη, καὶ διαφέρουσι [y]μεγέθει 13
καὶ [z]μικρότητι καὶ τῷ τοὺς μὲν καλουμένους [a]ἀχέτας ὑπὸ τὸ [b]διάζωμα διηρῆσθαι καὶ ἔχειν ὑμένα φανερόν, τὰ δὲ τεττιγόνια μὴ ἔχειν.

Ἔστι δ' ἔνια ζῷα περιττὰ καὶ ἐν τῇ θαλάττῃ, ἃ διὰ τὸ 14
σπάνια εἶναι οὐκ ἔστι θεῖναι εἰς γένος. Ἤδη γάρ [c]φασί τινες τῶν ἐμπειρικῶν ἁλιέων οἱ μὲν ἐωρακέναι ἐν τῇ θαλάττῃ ὅμοια [d]δοκίοις, [e]μέλανα, στρογγύλα [f]τε καὶ ἰσοπαχῆ· ἕτερα δὲ [g]καὶ ἀσπίσιν ὅμοια, τὸ μὲν χρῶμα ἐρυθρά, πτερύγια δ' ἔχοντα πυκνά· καὶ ἄλλα ὅμοια αἰδοίῳ ἀνδρὸς τό τε εἶδος καὶ τὸ μέγεθος, πλὴν ἀντὶ τῶν ὄρχεων [h]πτερύγια [i]ἔχειν δύο, καὶ λαβέσθαι ποτὲ [k]τοιοῦτον τοῦ πολυαγκίστρου τῷ [l]ἄκρῳ.

Τὰ μὲν οὖν μέρη τῶν ζῴων [m]πάντων τά τ' ἐντὸς καὶ τὰ ἐκτὸς περὶ ἕκαστον γένος καὶ ἰδίᾳ καὶ κοινῇ τοῦτον ἔχει τὸν τρόπον. Περὶ δὲ τῶν αἰσθήσεων νῦν λεκτέον· οὐ γὰρ ὁμοίως 8
[n]πᾶσιν [o]ὑπάρχουσιν, ἀλλὰ τοῖς μὲν πᾶσαι τοῖς δ' [p]ἐλάττους. Εἰσὶ δ' [q]αἱ πλεῖσται, καὶ παρ' ἃς οὐδεμία φαίνεται ἴδιος ἑτέρα, πέντε τὸν ἀριθμόν, ὄψις, ἀκοή, ὄσφρησις, γεῦσις, ἁφή. Ἄνθρωπος μὲν οὖν καὶ τὰ ζῳοτόκα καὶ πεζά, [r]πρὸς 2
δὲ τούτοις καὶ ὅσα ἔναιμα καὶ ζῳοτόκα, πάντα φαίνεται

[r] κοιλίας P. [s] ἢ utrumque om.[a] Aa.Ca. [t] ἐλιγμένον Aa. [v] αἱ om. Aa. [w] ἄλλων δὲ ζώων Da. [x] ἔμπροσθεν κέντροις Aa.Ca.Da. [y] μεγ.] καὶ μεγ. Da. [z] σμικρότητι Aa. [a] ἀσχέτας Aa. [b] ὑπόζωμα P.Da. [c] τινές φασι τῶν ἐμπορικῶν P.Da. [d] δοκοῖς Da. δοκίοις—ὅμοια om. P. [e] ἀμέλανα Ca. [f] τε] δὲ Aa.Ca. [g] καὶ om. P.Da. [h] πτέρυγας P.Da. [i] ἔχει Aa. [k] τοιοῦτον om. Aa.Ca. [l] ἄκρῳ] ἄκρῳ αὐτοῦ Aa.Ca. [m] ἁπάντων τά τ' ἐκτὸς καὶ τὰ ἐντὸς καὶ περὶ ἕκαστον γένος ἰδίᾳ Aa.C1. [n] ἅπασιν Ca. [o] ὑπάρχει Aa. [p] ἐλάττους εἰσίν. εἰσὶ Ca. [q] αἱ om. P.Da. [r] πρὸς δὲ] καὶ ἔτι πρὸς P.Da.

Digitized by Google

ἔχοντα ταύτας πάσας, πλὴν εἴ τι πεπήρωται γένος [s]ἕν, οἷον
3 τὸ τῶν ἀσπαλάκων. Τοῦτο γὰρ ὄψιν οὐκ ἔχει· ὀφθαλμοὺς
[t]γὰρ ἐν μὲν τῷ φανερῷ οὐκ ἔχει, ἀφαιρεθέντος δὲ τοῦ δέρ-
ματος ὄντος παχέος ἀπὸ τῆς κεφαλῆς κατὰ τὴν χώραν τὴν
[v]ἔξω τῶν ὀμμάτων [w]ἔσωθέν εἰσιν οἱ ὀφθαλμοὶ διεφθαρμένοι,
[x]πάντ' ἔχοντες ταὐτὰ τὰ μέρη τοῖς ἀληθινοῖς· ἔχουσι γὰρ
τό τε μέλαν καὶ τὸ ἐντὸς τοῦ μέλανος, τὴν καλουμένην κόρην,
καὶ τὸ κυκλώπιον, ἐλάττω μέντοι ταῦτα [y]πάντα [z]τῶν φανε-
4 ρῶν ὀφθαλμῶν. Εἰς δὲ τὸ [a]ἔξω [b]οὐδὲν σημαίνει τούτων
διὰ τὸ τοῦ δέρματος πάχος, ὡς [c]ἐν τῇ γενέσει [d]πηρουμένης
τῆς φύσεως· εἰσὶ γὰρ ἀπὸ τοῦ ἐγκεφάλου, ᾗ συνάπτει τῷ
[e]μυελῷ, δύο πόροι νευρώδεις καὶ ἰσχυροὶ παρ' αὐτὰς τείνοντες
τὰς ἕδρας τῶν ὀφθαλμῶν, τελευτῶντες δ' εἰς τοὺς ἄνω [f]χαυ-
5 λιόδοντας. Τὰ δ' ἄλλα καὶ τῶν χρωμάτων αἴσθησιν ἔχει
καὶ τῶν ψόφων, ἔτι [g]δ' ὀσμῆς καὶ χυμῶν. Τὴν δὲ πέμπτην
αἴσθησιν τὴν ἁφὴν καλουμένην [h]καὶ τἆλλα πάντ' ἔχει ζῷα.
Ἐν μὲν οὖν ἐνίοις καὶ τὰ αἰσθητήρια φανερώτατα [i]ἐστί, τὰ
6 μὲν τῶν ὀμμάτων καὶ μᾶλλον. Διωρισμένον γὰρ ἔχει τὸν
τόπον τῶν ὀφθαλμῶν καὶ [k]τὸν τῆς ἀκοῆς· ἔνια μὲν γὰρ ὦτα
ἔχει, ἔνια δὲ τοὺς πόρους φανερούς. Ὁμοίως δὲ καὶ περὶ
ὀσφρήσεως· τὰ μὲν γὰρ ἔχει μυκτῆρας, τὰ δὲ τοὺς πόρους
[l]τοὺς τῆς ὀσφρήσεως, οἷον τὸ τῶν ὀρνίθων γένος. Ὁμοίως
7 δὲ καὶ τὸ τῶν χυμῶν αἰσθητήριον τὴν [m]γλῶτταν. Ἐν δὲ
τοῖς ἐνύδροις, καλουμένοις δὲ ἰχθύσι, τὸ μὲν τῶν χυμῶν αἰ-
σθητήριον, [n]τὴν γλῶτταν, ἔχουσι μέν, ἔχουσι δ' ἀμυδρῶς·
ὀστώδη [o]γὰρ καὶ οὐκ ἀπολελυμένην [p]ἔχουσιν. Ἀλλ' ἐνίοις
τῶν ἰχθύων [q]ὁ οὐρανός ἐστι σαρκώδης, οἷον τῶν ποταμίων ἐν

[s] ἕν om. P.D[a]. [t] μὲν γὰρ ἐν P.D[a]. [v] ἔξωθεν P.D[a]. [w] εἰσιν ἔσωθεν D[a]. [x] πάντες ἔχοντες ταῦτα A[a]. [y] πάντα om. P.D[a]. [z] τῶν ὀφθαλμῶν τῶν φανερῶν A[a]. [a] ἔξωθεν A[a].C[a]. [b] τούτων οὐδὲν σημαίνει D[a]. [c] ἐν om. A[a].C[a]. [d] πυρουμένης P, πληρουμένης A[a].C[a]. [e] μυελῷ] νεύρῳ P.D[a]. [f] χαυλιώδοντας C[a]. [g] δ'] δὲ καὶ P.D[a]. [h] καὶ ante τἆλλα om. D[a]. [i] εἰσί P.D[a]. [k] τὸν om. P.D[a]. [l] τοὺς ante τῆς om. A[a].C[a]. [m] γλῶτταν ἔχουσιν. ἐν P.D[a]. [n] τὴν γλῶτταν om. A[a].C[a]. [o] γὰρ] τε γὰρ P.D[a]. [p] ἔχουσω om. P.D[a]. [q] ὁ om. P.

Digitized by Google

τοῖς [r] κυπρίνοις, ὥστε τοῖς [s] μὴ σκοπουμένοις ἀκριβῶς δοκεῖν [t] ταύτην εἶναι γλῶτταν. [v]Οτι δ' αἰσθάνονται γευόμενα, φα- 8
νερόν· ἰδίοις τε γὰρ [v] πολλὰ χαίρει χυμοῖς, καὶ τὸ τῆς ἀμίας λαμβάνουσι [w] μάλιστα δέλεαρ καὶ [x] τὸ τῶν πιόνων ἰχθύων, ὡς χαίροντες [y] ἐν τῇ γεύσει [z] καὶ ἐδωδῇ τοῖς τοιούτοις δελέα-
σιν. Τῆς δ' ἀκοῆς καὶ τῆς ὀσφρήσεως οὐδὲν ἔχουσι φανερὸν 9
αἰσθητήριον· [a] ὃ γὰρ ἄν τισιν εἶναι δόξειε κατὰ τοὺς τόπους τῶν μυκτήρων, οὐδὲν περαίνει πρὸς τὸν ἐγκέφαλον, ἀλλὰ τὰ μὲν τυφλά, τὰ δὲ φέρει μέχρι τῶν βραγχίων. [v]Οτι δὲ καὶ ἀκού- 10
ουσι καὶ ὀσφραίνονται, φανερόν· τούς τε γὰρ ψόφους [b] φεύ-
γοντα φαίνεται τοὺς μεγάλους, οἷον τὰς εἰρεσίας τῶν τριή-
ρων, ὥστε λαμβάνεσθαι ῥᾳδίως ἐν ταῖς θαλάμαις· καὶ γὰρ ἂν μικρὸς ᾖ ὁ ἔξω ψόφος, [c] ὅμως τοῖς ἐν τῷ ὑγρῷ τὴν ἀκοὴν ἔχουσι χαλεπὸς καὶ μέγας καὶ βαρὺς φαίνεται πᾶσιν. [k]Ο 11
συμβαίνει καὶ ἐπὶ τῆς τῶν δελφίνων θήρας· ὅταν γὰρ [d] ἀθρόως περικυκλώσωσι τοῖς μονοξύλοις, ψοφοῦντες ἐξ αὐτῶν ἐν τῇ θαλάττῃ ἀθρόους ποιοῦσιν [e] ἐξοκέλλειν φεύγοντας εἰς τὴν γῆν, καὶ λαμβάνουσιν ὑπὸ τοῦ ψόφου [f] καρηβαροῦντας. Καίτοι οὐδ' οἱ δελφῖνες τῆς ἀκοῆς οὐδὲν [g] φανερὸν ἔχουσιν αἰσθητήριον. [l]Ετι δ' ἐν ταῖς θήραις τῶν ἰχθύων ὅτι μάλι- 12
στα εὐλαβοῦνται ψόφον ποιεῖν ἢ κώπης ἢ δικτύων οἱ περὶ τὴν θήραν ταύτην ὄντες· ἀλλ' ὅταν κατανοήσωσιν ἔν τινι τόπῳ πολλοὺς ἀθρόους ὄντας, ἐκ τοσούτου τόπου τεκμαιρό-
μενοι [h] καθιᾶσι τὰ δίκτυα, ὅπως μήτε κώπης μήτε [i] τῆς ῥύμης τῆς ἁλιάδος ἀφίκηται πρὸς τὸν τόπον ἐκεῖνον ὁ ψόφος· παραγγέλλουσί τε πᾶσι τοῖς ναύταις ὅτι μάλιστα σιγῇ πλεῖν, μέχρι περ ἂν [k] συγκυκλώσωνται. [l]Ενίοτε δ' ὅταν 13

[r] κυπρίοις Aa.Ca. [s] μὴ] μὲν P.Aa.Da. [t] εἶναι ταύτην Da. [v] πολλοῖς Ca, πολλὰ rc. Aa. [w] μᾶλλον Ca. [x] τὸ πῖον τῶν ἰχθύων P.Da. [y] ἐν om. P.Da. [z] καὶ ἐν τῇ ἐδωδῇ P.Da. [a] ἃ γὰρ ἄν τις Ca, ἃ γάρ τις Aa. [b] φαίνεται φεύγοντα Da. [c] ὁμοίως P.Da. [d] ἀθρόους Ca, ἀθρόον P.Da. [e] ἐξοκείλειν Ca, ἐξωκείλειν Aa. [f] καρηβαρῶντας Aa.Ca, καρηβαροῦντες P. [g] φανερὸν ante οὐδὲν Aa.Ca, post ἔχουσι Da. [h] τὰ δίκτυα καθιᾶσιν Aa.Ca. [i] τῆς post μήτε om. P.Da. [k] κυκλώσωσιν Aa.Ca.

Digitized by Google

βούλωνται συνδραμεῖν, [l]ταὐτὸν ποιοῦσιν ὅπερ ἐπὶ τῆς τῶν δελφίνων θήρας· [m]ψοφοῦσι γὰρ [n]λίθοις, ἵνα φοβηθέντες συνθέωσιν εἰς ταὐτὸ καὶ τοῖς δικτύοις οὕτω [o]περιβάλλωνται.
14 Καὶ πρὶν μὲν συγκλεῖσαι, καθάπερ εἴρηται, κωλύουσι ψοφεῖν, [p]ὅταν δὲ κυκλώσωσι, κελεύουσιν ἤδη βοᾶν καὶ ψοφεῖν· τὸν γὰρ ψόφον καὶ τὸν θόρυβον ἀκούοντες ἐμπίπτουσι διὰ τὸν
15 φόβον. [q]Ἔτι δ' ὅταν ἴδωσιν οἱ ἁλιεῖς ἐκ πάνυ πολλοῦ νεμομένους ἀθρόους πολλοὺς ἐν ταῖς γαλήναις καὶ [q]εὐδίαις ἐπιπολάζοντας, καὶ βουληθῶσιν ἰδεῖν τὰ μεγέθη καὶ τί τὸ γένος αὐτῶν, ἂν μὲν ἀψοφητὶ προσπλεύσωσι, λανθάνουσι καὶ καταλαμβάνουσιν ἐπιπολάζοντας ἔτι, ἐὰν δέ τις [r]τύχῃ ψοφήσας
16 πρότερον, [s]φανεροί [t]εἰσι φεύγοντες. [u]Ἔτι δ' ἐν τοῖς ποταμοῖς εἰσὶν ἰχθύδια [v]ἄττα ἃ καλοῦσί τινες [w]κόττους· ταῦτα θηρεύουσί τινες διὰ τὸ ὑπὸ ταῖς πέτραις ὑποδεδυκέναι [x]κόπτοντες τὰς πέτρας λίθοις· τὰ δ' [y]ἐκπίπτει [z]παραφερόμενα ὡς
17 ἀκούοντα καὶ καρηβαροῦντα ὑπὸ τοῦ ψόφου. [u]Ὅτι μὲν οὖν ἀκούουσιν, ἐκ τῶν τοιούτων ἐστὶ φανερόν· εἰσὶ δέ τινες οἳ φασι καὶ μάλιστα [a]ὀξυηκόους εἶναι τῶν ζῴων τοὺς [b]ἰχθῦς, ἐκ τοῦ διατρίβοντας περὶ τὴν θάλατταν ἐντυγχάνειν τοιού-
18 τοις πολλοῖς. Μάλιστα δ' [c]εἰσὶ τῶν ἰχθύων ὀξυήκοοι κεστρεύς, [d]χρέμψ, λάβραξ, [e]σάλπη, [f]χρομίς, καὶ ὅσοι ἄλλοι τοιοῦτοι τῶν ἰχθύων· οἱ δ' ἄλλοι τούτων ἧττον, διὸ [g]μᾶλλον πρὸς τῷ ἐδάφει τῆς θαλάττης ποιοῦνται τὰς διαγωγάς.
19 [u]Ὁμοίως δὲ καὶ περὶ ὀσφρήσεως [h]ἔχει. Τοῦ τε γὰρ μὴ προσφάτου δελέατος [i]οὐκ ἐθέλουσιν ἅπτεσθαι [k]οἱ πλεῖστοι τῶν ἰχθύων, τοῖς [l]τε δελέασιν οὐ τοῖς αὐτοῖς ἁλίσκονται

[l] ταυτὸ C[a]. [m] ψοφῶσι P.D[a]. [n] λίθους A[a]. [o] περιβάλλονται P. [p] ἐπὰν P.D[a]. [q] εὐδίας pr. A[a]. [r] ψοφήσας τύχῃ P.D[a]. [s] φανερὸν P. [t] φεύγοντές εἰσιν P.D. [v] ἄττα] ὑπὸ ταῖς πέτραις P.D[a]. [w] κοίτους καὶ ταῦτα P.D[a]. [x] κόμπτοντες ταῖς πέτραις A[a]. [y] ἐσπίπτει D[a], ἐμπίπτει P. [z] περιφερόμενα A[a]. [a] ὀξυκόους D[a], ὀξηκόους corr. A[a]. [b] ἰχθύας, λέγειν δὲ τοῦτο τοὺς διατρίβοντας περὶ τὴν θάλατταν διὰ τὸ ἐντυγχάνειν P.D[a]. [c] τῶν ἰχθύων εἰσὶν A[a].C[a]. [d] χρὲψ P, om. A[a].C[a]. [e] σάρπη A[a]. [f] χρέμις A[a], χρενὶς C[a]. [g] μάλιστα A[a]. [h] ἔχει om. A[a].C[a]. [i] οὐ θέλουσιν A[a].C[a]. [k] τῶν ἰχθύων οἱ πλεῖστοι P.D[a]. addunt A[a].C[a]. οἱ δ' ἄλλοι τούτων ἧττον. [l] δελέασί τε P.D[a].

Digitized by Google

πάντες ἀλλὰ ἰδίοις, διαγινώσκοντες τῷ ὀσφραίνεσθαι· ἔνια γὰρ [m] δελεάζεται τοῖς δυσώδεσιν, ὥσπερ [n] ἡ σάλπη τῇ κόπρῳ. [o]Ἔτι δὲ πολλοὶ [o] τῶν ἰχθύων διατρίβουσιν ἐν σπη- 20
λαίοις, οὓς ἐπειδὰν βούλωνται [p] προκαλέσασθαι [q] πρὸς τὴν θήραν [r] οἱ ἁλιεῖς, τὸ στόμα τοῦ σπηλαίου περιαλείφουσι ταριχηραῖς ὀσμαῖς, πρὸς ἃς [s] ἐξέρχονται ταχέως. [t]Ἁλίσκε- 21
ται [t] δὲ καὶ ἡ ἔγχελυς τοῦτον τὸν τρόπον· τιθέασι [v] γὰρ τῶν ταριχηρῶν τι κεραμίων, ἐνθέντες εἰς τὸ στόμα τοῦ κεραμίου τὸν καλούμενον [w] ἠθμόν. Καὶ ὅλως δὲ πρὸς τὰ κνισώδη [x] πάντες φέρονται μᾶλλον. Καὶ τῶν [y] σηπιῶν [z] δὲ τὰ σαρκία σταθεύσαντες ἕνεκα τῆς ὀσμῆς δελεάζουσι τούτοις· [a] προσέρχονται γὰρ μᾶλλον. Τοὺς δὲ πολύπους φασὶν 22
[b] ὀπτήσαντες εἰς τοὺς κύρτους ἐντιθέναι οὐδενὸς ἄλλου χάριν [c] ἢ τῆς κνίσης. [d]Ἔτι δ' οἱ ῥυάδες ἰχθύες, ὅταν ἐκχυθῇ τὸ [d] πλύμα τῶν ἰχθύων, ἢ τῆς ἀντλίας ἐκχυθείσης, φεύγουσιν [e] ὡς ὀσφραινόμενοι τῆς ὀσμῆς [f] αὐτῶν. Καὶ τοῦ αὐτῶν [g] δὲ 23
αἵματος [h] ταχὺ ὀσφραίνεσθαί φασιν αὐτούς· δῆλον δὲ ποιοῦσι φεύγοντες καὶ ἐκτοπίζοντες μακράν, ὅταν [i] γένηται αἷμα ἰχθύων. Καὶ ὅλως δὲ [k] ἐὰν μὲν σαπρῷ τις δελέατι δελεάσῃ [l] τὸν κύρτον, οὐκ ἐθέλουσιν εἰσδύνειν οὐδὲ πλησιάζειν, ἐὰν δὲ νεαρῷ δελέατι καὶ [m] κεκνισωμένῳ, εὐθὺς φερόμενοι πόρρωθεν εἰσδύνουσιν. Μάλιστα δὲ φανερόν ἐστι 24
περὶ τῶν εἰρημένων ἐπὶ τῶν δελφίνων· οὗτοι [n] γὰρ τῆς ἀκοῆς αἰσθητήριον μὲν οὐδὲν ἔχουσι φανερόν, ἁλίσκονται [o] δὲ διὰ τὸ καρηβαρεῖν ὑπὸ τοῦ ψόφου, καθάπερ εἴρηται

[m] δελεάζονται Aª. [n] οἱ σάλποι P.Dª. [o] τῶν ἰχθύων om. P. [p] προκαλέσασθαι corr. Aª: ceteri προσκαλέσασθαι. [q] πρὸς τὴν θήραν] εἰς ἄγραν P.Dª. [r] οἱ om. pr. Aª. [s] ἐξέρχεται P.Dª. [t] δὲ] τε P. [v] γὰρ] δὲ Aª. [w] ἰθμόν Dª, ἰσθμόν Cª. [x] φέρονται π. θᾶττον Aª.Cª. [y] σηπίων Aª. [z] δὲ om. Cª. [a] προσέρχομαι Aª. [b] ὀπτήσαντας P.Aª.Cª. [c] τῆς om. Aª.Cª. [d] πήλυσμα P.Dª, πόλισμα γρ. Aª. [e] ὡς om. Cª. [f] αὐτῶν—c. 10. sect. 2. γένος] hæc post E. c. 1. sect. 7. κοινωνίας ponit Cª, post ἄρρενας Fª; Aª. folio 106 v—111 v, non, ut par erat, 101 r, ubi in margine ἐλλείπει ἐνταῦθα περὶ φύλλα δ. ζήτει τὸ ἐλλεῖπον μετὰ φύλλα ξξ, ὅπου σημεῖον. [g] δὴ Aª.Cª. [h] τάχιστα Aª.Cª. [i] αἷμα γένηται Aª.Cª. [k] μὲν ἐὰν P.Dª. [l] τὸν] εἰς τὸν P.Dª. [m] κεκνισσαμένῳ P. [n] γὰρ ἐπὶ τῆς Aª.Cª. [o] δὲ om. P.

Digitized by Google

πρότερον. Οὐδὲ δὴ τῆς ὀσφρήσεως [p] αἰσθητήριον οὐδὲν ἔχει φανερόν, ὀσφραίνεται δ' ὀξέως.

25 [u]Ὅτι μὲν οὖν πάσας τὰς αἰσθήσεις [q] ταῦτα [r] ἔχει τὰ ζῷα, φανερόν· τὰ δὲ λοιπὰ γένη τῶν ζώων [s] ἔστι μὲν τέτταρα [t] διῃρημένα εἰς γένη, ἃ περιέχει τὸ πλῆθος τῶν λοιπῶν ζώων, τά τε μαλάκια καὶ τὰ μαλακόστρακα [v] καὶ τὰ ὀστρακόδερμα καὶ ἔτι τὰ ἔντομα, [w] τούτων δὲ τὰ μὲν μαλάκια καὶ τὰ μα-
λακόστρακα καὶ τὰ ἔντομα ἔχει πάσας τὰς αἰσθήσεις· καὶ
26 γὰρ ὄψιν ἔχει καὶ ὄσφρησιν [x] καὶ γεῦσιν. Τά τε γὰρ ἔν-
τομα [y] ὄντα πόρρω συναισθάνεται, καὶ τὰ πτερωτὰ καὶ [z] τὰ ἄπτερα, οἷον [a] αἱ μέλιτται καὶ [b] οἱ κνῖπες τοῦ μέλιτος· ἐκ πολλοῦ γὰρ [c] αἰσθάνονται ὡς τῇ ὀσμῇ γινώσκοντα. Καὶ
27 ὑπὸ τῆς [d] τοῦ θείου ὀσμῆς πολλὰ [e] ἀπόλλυται. [v]Ἔτι δ' οἱ μύρμηκες ὑπ' ὀριγάνου καὶ θείου περιπαττομένων [f] λείων ἐκ-
λείπουσι [g] τὰς μυρμηκίας, καὶ ἐλαφείου κέρατος [h] θυμιωμένου τὰ πλεῖστα φεύγει τῶν τοιούτων· μάλιστα δὲ φεύγουσι
28 [h] θυμιωμένου τοῦ [i] στύρακος. [k] Αἵ τε [l] σηπίαι καὶ οἱ πολύ-
ποδες καὶ οἱ κάραβοι τοῖς δελέασιν ἁλίσκονται· καὶ οἵ γε πολύποδες οὕτω μὲν [m] προσέχονται ὥστε μὴ [n] ἀποσπᾶσθαι ἀλλ' ὑπομένειν [o] τεμνόμενοι, ἐὰν δέ τις [p] κόνυζαν προσενέγκῃ,
29 [q] ἀφιᾶσιν εὐθέως ὀσμώμενοι. [r]Ὁμοίως δὲ καὶ περὶ γεύ-
σεως· [r] τήν τε γὰρ τροφὴν ἑτέραν διώκουσι, καὶ οὐ τοῖς αὐ-
τοῖς πάντα χαίρει χυμοῖς, οἷον ἡ μέλιττα πρὸς οὐδὲν [s] προσ-
ιζάνει σαπρὸν ἀλλὰ πρὸς τὰ γλυκέα, ὁ δὲ κώνωψ πρὸς οὐδὲν γλυκὺ ἀλλὰ πρὸς τὰ ὀξέα. Τὸ δὲ τῇ ἁφῇ αἰσθάνε-

[p] οὐδὲν αἰσθητήριον Ca, οὐδὲ αἰσθητήριον Aa. [q] ταύτας P. [r] ἔχει ante τὰς Da, ante ταῦτα Aa.Ca. [s] ἔστι] ἐπὶ P.Da. [t] διῃρημένα εἰσὶν εἰς γένη ἅπερ ἔχει τὸ P.Da. [v] καὶ τὰ ὀστρακόδερμα—μαλακόστρακα om. P. [w] τούτων—ἔντομα om. Aa. [x] καὶ γεῦσιν om. Aa.Ca. [y] ὄντα] πεζὰ ὄντα Aa.Ca. [z] τὰ om. P.Da. [a] αἱ] αἵ τε P.Da. [b] αἱ P. [c] αἰσθάνεται Aa. [d] τοῦ om. Ca. [e] ἀπόλλυνται Da. [f] λείων om. Ca. [g] τοὺς μυρμηκιάς Aa. [h] θυμιουμένου Aa. [i] στόρακος Ca. [k] αἵ τε] ἔτι δὲ αἱ Aa.Ca. [l] σηπιῦαι Aa. [m] προσέχονται interpres vetus: codices προσέρχονται. [n] ἀποσπασθῆναι P.Da. [o] ἀποτεμνόμενοι P.Da. [p] κόρυζαν Aa. [q] ἀφιᾶσιν εὐθέως ὀσμώμενοι] ὥς φασιν εὐθὺς ὀσφραινόμενοι ἀφιᾶσιν P.Da. [r] τήν τε γὰρ] τήν τε Aa, ἐνίοτε γὰρ τήν τε P.Da. [s] προστρέχει σαπρὸν ἀλλὰ πρὸς γλυκέα. οἱ δὲ κώνωπες P.Da.

Digitized by Google

σθαι, [t]ὅπερ καὶ πρότερον εἴρηται, πᾶσιν ὑπάρχει τοῖς ζῴοις. Τὰ δ' ὀστρακόδερμα ὄσφρησιν μὲν [v]καὶ γεῦσιν ἔχει, φανε- 30
ρὸν δ' ἐκ τῶν [w]δελεασμῶν, οἷον ἐπὶ τῆς πορφύρας· αὕτη γὰρ δελεάζεται τοῖς σαπροῖς, καὶ προσέρχεται πρὸς τὸ τοιοῦτον δέλεαρ ὡς αἴσθησιν ἔχουσα πόρρωθεν. Καὶ τῶν χυμῶν δὲ 31
ὅτι αἴσθησιν ἔχει, φανερὸν [x]ἐκ τῶν αὐτῶν· πρὸς ἃ γὰρ διὰ τὰς ὀσμὰς [y]προσέρχεται [z]κρίνοντα, τούτων χαίρει [a]καὶ τοῖς χυμοῖς [b]ἕκαστα. [u]Ἔτι δὲ ὅσα ἔχει [c]στόμα, χαίρει καὶ λυπεῖται τῇ τῶν χυμῶν ἅψει. Περὶ δ' ὄψεως καὶ ἀκοῆς 32
βέβαιον μὲν οὐθέν ἐστιν οὐδὲ λίαν φανερόν, δοκοῦσι δ' οἵ τε σωλῆνες, ἄν [d]τις ψοφήσῃ, καταδύεσθαι, καὶ φεύγειν κατωτέρω, ὅταν αἴσθωνται τὸ σιδήριον [e]προσιόν (ὑπερέχει [f]γὰρ αὐτῶν μικρόν, τὸ δ' ἄλλο ὥσπερ ἐν θαλάμῃ ἐστίν), καὶ οἱ κτένες, ἐάν τις προσφέρῃ τὸν δάκτυλον, χάσκουσι καὶ συμμύουσιν [g]ὡς ὁρῶντες. Καὶ τοὺς [h]νηρείτας δ' οἱ θηρεύοντες 33
οὐ κατὰ πνεῦμα [i]προσιόντες θηρεύουσιν, ὅταν [k]θηρεύσωσιν αὐτοὺς εἰς τὸ δέλεαρ, [l]οὐδὲ φθεγγόμενοι ἀλλὰ σιωπῶντες [m]ὡς ὀσφραινομένων καὶ ἀκουόντων· ἐὰν δὲ φθέγγωνται, φασὶν ὑποφεύγειν αὐτούς. [v]Ἥκιστα δὲ τὴν ὄσφρησιν [n]τῶν ὀστρακοδέρμων φαίνεται ἔχειν τῶν μὲν πορευτικῶν ἐχῖνος, τῶν δ' ἀκινήτων [o]τήθυα [p]καὶ βάλανοι.

Περὶ μὲν [q]οὖν τῶν αἰσθητηρίων τοῦτον ἔχει τὸν τρόπον τοῖς ζῴοις πᾶσιν, περὶ δὲ φωνῆς τῶν ζῴων ὧδ' ἔχει. [r]Φωνὴ 9
καὶ ψόφος ἕτερόν ἐστι, καὶ τρίτον [s]τούτων διάλεκτος. Φωνεῖ μὲν [t]οὖν οὐδενὶ τῶν ἄλλων μορίων οὐδὲν πλὴν τῷ φάρυγγι· διὸ ὅσα μὴ ἔχει [v]πνεύμονα, [w]οὐδὲ φθέγγεται·

[t] ὥσπερ $A^a.C^a$. [v] ἔχει καὶ γεῦσιν D^a. [w] δελεασμάτων D^a. et corr. P. [x] ἐκ] διὰ P.D^a. [y] προσέρχονται $A^a.C^a$. [z] κρίναντα A^a. [a] καὶ om. A^a. [b] ἕκαστον C^a. [c] στόματα $A^a.C^a$. [d] τις] τι $A^a.C^a$. [e] προσφερόμενον P.D^a. [f] ὑπάρχει C^a. [g] ὡς] προσ A^a. [h] νειρείτας A^a, νηρίτας P.D^a. [i] προσιόντας $A^a.C^a$. [k] θηρεύσωσιν] θηρεύσειν D^a, θηρεύουσιν $A^a.C^a$. [l] οὐδὲ] οὐ C^a. [m] ὡς om. $A^a.C^a$. [n] φαίνεται τῶν ὀστρακοδέρμων $A^a.C^a$. [o] τήθεα $A^a.C^a$, οἷον τὰ τήθυα P.D^a. [p] καὶ οἱ βάλανοι P.D^a. [q] οὖν om. A^a. [r] φωνὴ δὲ καὶ P.D^a. [s] τούτων ante τρίτον $A^a.C^a$, om. P. [t] οὖν om. C^a. [v] πνεῦμα P.D^a. [w] οὐδὲν P.$C^a.D^a$.

Digitized by Google

διάλεκτος δ' ἡ τῆς φωνῆς ἐστὶ [x] τῇ γλώττῃ διάρθρωσις. 2 Τὰ μὲν οὖν φωνήεντα ἡ φωνὴ καὶ ὁ λάρυγξ ἀφίησιν, [y] τὰ δ' ἄφωνα ἡ γλῶττα καὶ τὰ χείλη· ἐξ ὧν ἡ διάλεκτός ἐστιν. Διὸ ὅσα γλῶτταν μὴ ἔχει [z] ἢ μὴ ἀπολελυμένην, [a] οὔτε φωνεῖ 3 οὔτε διαλέγεται· ψοφεῖν δ' ἔστι καὶ ἄλλοις μορίοις. Τὰ μὲν οὖν ἔντομα οὔτε φωνεῖ οὔτε διαλέγεται, ψοφεῖ δὲ τῷ ἔσω πνεύματι, οὐ τῷ θύραζε· οὐθὲν γὰρ ἀναπνεῖ αὐτῶν, ἀλλὰ τὰ μὲν [b] βομβεῖ, οἷον μέλιττα καὶ τὰ πτηνὰ αὐτῶν, τὰ δ' ᾄδειν λέγεται, οἷον [c] οἱ τέττιγες. Πάντα δὲ ταῦτα ψοφεῖ τῷ ὑμένι τῷ ὑπὸ τὸ ὑπόζωμα, [d] ὅσων διήρηται, [e] οἷον 4 τῶν τεττίγων τι γένος τῇ τρίψει τοῦ πνεύματος. Καὶ [f] αἱ μυῖαι δὲ καὶ αἱ μέλιτται καὶ τἆλλα πάντα, τῇ [g] πτήσει [h] αἴροντα καὶ συστέλλοντα· ὁ γὰρ ψόφος τρίψις [i] ἐστι τοῦ ἔσω πνεύματος. Αἱ δ' ἀκρίδες τοῖς πηδαλίοις τρίβουσαι ποιοῦσι τὸν ψόφον. [k] Οὐδὲ [l] δὴ τῶν μαλακίων οὐδὲν οὔτε φθέγγεται οὔτε ψοφεῖ οὐδένα φυσικὸν ψόφον, οὐδὲ τῶν 5 μαλακοστράκων. Οἱ δ' ἰχθύες ἄφωνοι μέν εἰσιν (οὔτε γὰρ πνεύμονα οὔτε ἀρτηρίαν καὶ φάρυγγα ἔχουσι), ψόφους δέ τινας ἀφιᾶσι καὶ [m] τριγμοὺς οὓς λέγουσι [n] φωνεῖν, οἷον λύρα καὶ [o] χρομίς (οὗτοι γὰρ ἀφιᾶσιν ὥσπερ [p] γρυλισμόν) καὶ ὁ κάπρος ὁ ἐν τῷ Ἀχελῴῳ, ἔτι δὲ χαλκὶς [q] καὶ κόκκυξ· [r] ἡ μὲν γὰρ ψοφεῖ οἷον [s] συριγμόν, ὁ [t] δὲ παραπλήσιον τῷ 6 κόκκυγι ψόφον, ὅθεν καὶ τοὔνομα ἔχει. Πάντα δὲ ταῦτα τὴν δοκοῦσαν φωνὴν ἀφιᾶσι τὰ μὲν τῇ τρίψει τῶν βραγχίων (ἀκανθώδεις γὰρ οἱ τόποι), τὰ δὲ τοῖς ἐντὸς τοῖς περὶ τὴν κοιλίαν· πνεῦμα γὰρ ἔχει τούτων ἕκαστον, [v] ὃ προστρίβοντα καὶ κινοῦντα ποιεῖ τοὺς ψόφους. Καὶ τῶν σελαχῶν

[x] τῇ γλώττῃ] καὶ ἡ τῆς γλώττης A^a. [y] τὰ] ὅσα P.D^a. [z] ἢ om. D^a. [a] οὔτε φωνεῖ—ἔντομα om. A^a. [b] βομβεῖν P.C^a. [c] οἱ om. D^a. [d] ὅσον P.A^a.D^a. [e] οἷον τὸ τῶν τεττίγων γένος P.D^a. [f] αἱ ante μυῖαι om. P. [g] πτήσει] τρίψει D^a. [h] αἴρονται καὶ συστέλλονται A^a.D^a. [i] ἔστι post πνεύματος P.A^a.C^a. [k] οὐδὲ] οὐ γὰρ pr. C^a, οὔτω corr. A^a, οὕτω P, οὔτε D^a. [l] δὲ D^a. [m] τρισμοὺς P.D^a. [n] φωνὴν A^a. [o] χρῶμις A^a. [p] γρυλλισμὸν D^a, τρυλλισμὸν A^a.C^a. [q] καὶ ὁ κ. P.D^a. [r] ὁ C^a. [s] τριγμὸν D^a. et corr. A^a, στρειγμὸς P. [t] δὲ om. pr. A^a. [v] ᾧ C^a.

Digitized by Google

δ' ἔνια δοκεῖ τρίζειν. Ἀλλὰ ταῦτα [w] φωνεῖν μὲν οὐκ ὀρθῶς 7
ἔχει φάναι, ψοφεῖν δέ. Καὶ γὰρ οἱ κτένες ὅταν [x] φέρωνται
[y] ἀπερειδόμενοι τῷ ὑγρῷ, ὃ καλοῦσι [z] πέτεσθαι, ῥοιζοῦσι, καὶ
αἱ χελιδόνες αἱ θαλάττιαι [a] ὁμοίως· καὶ γὰρ αὗται πέτονται
μετέωροι, οὐχ ἁπτόμεναι τῆς θαλάττης· τὰ γὰρ πτερύγια
ἔχουσι πλατέα καὶ μακρά. Ὥσπερ οὖν τῶν ὀρνίθων [b] πετο- 8
μένων ὁ γινόμενος [c] ταῖς πτέρυξι ψόφος οὐ [d] φωνή [e] ἐστιν,
οὕτως οὐδὲ τῶν τοιούτων [f] οὐδενός. Ἀφίησι δὲ καὶ ὁ δελφὶς
τριγμὸν καὶ μύζει, ὅταν [g] ἐξέλθῃ, ἐν τῷ ἀέρι, οὐχ ὁμοίως
[h] δὲ τοῖς εἰρημένοις· [i] ἔστι γὰρ τούτῳ φωνή· ἔχει γὰρ καὶ
πλεύμονα καὶ ἀρτηρίαν, ἀλλὰ τὴν γλῶτταν οὐκ ἀπολελυ-
μένην [k] οὐδὲ χείλη ὥστε ἄρθρον τι τῆς φωνῆς ποιεῖν. Τῶν 9
δ' ἐχόντων γλῶτταν καὶ πλεύμονα ὅσα μὲν ᾠοτόκα ἐστὶ καὶ
τετράποδα, [l] ἀφίησι [m] μὲν φωνήν, ἀσθενῆ [n] μέντοι, καὶ τὰ
μὲν συριγμόν, ὥσπερ οἱ ὄφεις, τὰ δὲ λεπτὴν καὶ [o] ἀσθενῆ
φωνήν, τὰ δὲ [o] σιγμὸν μικρόν, ὥσπερ αἱ χελῶναι. Ὁ δὲ 10
βάτραχος ἰδίαν ἔχει τὴν γλῶτταν· τὸ μὲν γὰρ ἔμπροσθεν
προσπέφυκεν ἰχθυωδῶς, [p] ὃ τοῖς ἄλλοις ἀπολέλυται, [q] τὸ δὲ
πρὸς τὸν φάρυγγα ἀπολέλυται καὶ [r] πέπτυκται, ᾧ τὴν ἰδίαν
ἀφίησι [r] φωνήν. Καὶ τὴν ὀλολυγόνα δὲ τὴν γινομένην ἐν 11
τῷ ὕδατι οἱ βάτραχοι οἱ ἄρρενες ποιοῦσιν, ὅταν ἀνακαλῶν-
ται τὰς θηλείας πρὸς τὴν ὀχείαν· εἰσὶ γὰρ ἑκάστοις τῶν
ζῴων ἴδιαι φωναὶ πρὸς τὴν ὁμιλίαν καὶ τὸν πλησιασμόν,
[s] οἷον καὶ [t] ὑσὶ καὶ τράγοις καὶ προβάτοις. Ποιεῖ δὲ τὴν 12
ὀλολυγόνα, ὅταν ἰσοχειλὴ τὴν κάτω σιαγόνα ποιήσας ἐπὶ τῷ
ὕδατι περιτείνῃ τὴν ἄνω. Δοκεῖ δὲ διαλαμπουσῶν τῶν σια-
γόνων ἐκ τῆς ἐπιτάσεως [v] ὥσπερ λύχνοι φαίνεσθαι οἱ ὀφθαλ-

[w] μὲν φωνὴν A^a. [x] φαίνωνται P.D^a. [y] ἐπερειδόμενοι A^a. [z] πέττεσθαι A^a. [a] ὁμοίως om. P.C^a.D^a. [b] πετ.] τῶν πετ. A^a.C^a. [c] ταῖς πτέρυξι om. A^a. [d] φωνεῖ A^a. [e] ἐστιν om. A^a.C^a. [f] οὐδὲν D^a, οὐδενὸς ἃ ἀφίησιν P. [g] ἔλθῃ A^a. [h] δὲ om. A^a.C^a. [i] ἔτι γὰρ τοῦτο φωνῆεν ἔχει καὶ P.D^a. [k] οὐδὲ τὰ χείλη A^a. [l] ἀφιᾶσι A^a.C^a. [m] μὲν om. P.D^a. [n] μέντοι] μὲν P, δὲ A^a.C^a. [o] ἀσθενὴν et συριγμὸν A^a. [p] ὃ] ἢ D^a. [q] τὸ] τὰ P.C^a.D^a. [r] ἐπέπτυκται et φωνὴν ἀεί. καὶ P.D^a. [s] οἷον] τοῦτον P. [t] τράγοις καὶ ὑσὶ A^a.C^a. [v] ὥσπερ οἱ λύχνοι C^a.

Digitized by Google

μοί· ἡ γὰρ ὀχεία τὰ πολλὰ [w]γίγνεται νύκτωρ. Τὸ δὲ τῶν ὀρνίθων γένος ἀφίησι φωνήν· καὶ μάλιστα ἔχει διάλεκτον [x]ὅσοις ὑπάρχει [y]μετρίως ἡ γλῶττα πλατεῖα, καὶ [z]ὅσοι ἔχουσι λεπτὴν τὴν γλῶτταν αὐτῶν. Ἔνια μὲν οὖν [a]τὴν αὐτὴν ἀφιᾶσι φωνὴν τά τε θήλεα καὶ τὰ ἄρρενα, ἔνια δ' ἑτέραν. Πολύφωνα δ' ἐστὶ καὶ λαλίστερα τὰ ἐλάττω τῶν μεγάλων· καὶ μάλιστα περὶ τὴν ὀχείαν [b]ἕκαστον γίνεται τῶν ὀρνέων τοιοῦτον, καὶ τὰ μὲν [c]μαχόμενα φθέγγεται, οἷον ὄρτυξ, τὰ δὲ πρὸ τοῦ μάχεσθαι [d]προκαλούμενα, ἢ νικῶντα, οἷον ἀλεκτρυόνες. Αἰδουσι δ' ἔνια μὲν ὁμοίως τὰ ἄρρενα τοῖς θήλεσιν, οἷον [e]καὶ ἀηδὼν ᾄδει [f]καὶ ὁ ἄρρην καὶ ἡ θήλεια, πλὴν ἡ θήλεια παύεται ὅταν ἐπῳάζῃ καὶ τὰ νεόττια ἔχῃ· ἐνίων [g]δὲ τὰ ἄρρενα μᾶλλον, οἷον ἀλεκτρυόνες [h]καὶ ὄρτυγες, αἱ δὲ θήλειαι οὐκ ᾄδουσιν. Τὰ δὲ ζῳοτόκα καὶ [i]τετράποδα ζῷα ἄλλο ἄλλην [k]ἀφίησι φωνήν, διάλεκτον δ' οὐδὲν ἔχει, ἀλλ' ἴδιον [l]τοῦτ' ἀνθρώπου ἐστίν· ὅσα μὲν γὰρ διάλεκτον ἔχει, καὶ φωνὴν ἔχει, ὅσα δὲ φωνήν, οὐ πάντα διάλεκτον. Ὅσοι δὲ [m]κωφοὶ γίνονται [n]ἐκ γενετῆς, πάντες καὶ ἐνεοὶ γίνονται· φωνὴν μὲν οὖν [o]ἀφιᾶσι, διάλεκτον δ' οὐδεμίαν. Τὰ δὲ παιδία ὥσπερ καὶ τῶν ἄλλων μορίων οὐκ ἐγκρατῆ ἐστίν, οὕτως οὐδὲ τῆς γλώττης τὸ πρῶτον, καὶ ἔστιν ἀτελῆ, καὶ ἀπολύεται ὀψιαίτερον, ὥστε ψελλίζουσι καὶ [p]τραυλίζουσι τὰ πολλά. Διαφέρουσι δὲ [q]κατὰ τόπους καὶ αἱ φωναὶ καὶ [r]αἱ διάλεκτοι. Ἡ μὲν οὖν φωνὴ ὀξύτητι καὶ βαρύτητι μάλιστα ἐπίδηλος, τὸ δ' εἶδος οὐδὲν διαφέρει τῶν αὐτῶν γενῶν· ἡ δ' ἐν τοῖς ἄρθροις, ἣν ἄν τις ὥσπερ διάλεκτον [s]εἴπειεν, καὶ τῶν ἄλλων

[w] φαίνεται νύκτωρ οὖσα. τὸ P.D[a]. [x] οἷς P. [y] μετρίως om. A[a].C[a]. [z] ὅσα ἔχουσι τὴν γλῶτταν αὐτῶν λεπτήν A[a].C[a]. [a] ἀφίησι τὴν αὐτὴν P.D[a]. [b] γίνεται ἕκαστον D[a]. [c] φθεγγόμενα μάχεται A[a].C[a]. [d] προσκαλούμενα P.D[a]. [e] καὶ ἡ ἀηδὼν P.D[a]. [f] καὶ ἄρρην καὶ θῆλυς A[a]. [g] δὲ καὶ τὰ P.D[a]. [h] καὶ] τε καὶ P.D[a]. [i] καὶ τὰ τετράποδα P. [k] φωνὴν ἀφίησι A[a].C[a]. [l] τοῦτο τοῦ ἀνθρώπου P.D[a]. [m] γίνονται κωφοὶ A[a].C[a]. [n] πάντες ἐκ γενετῆς D[a]. [o] ἀφίησι P.D[a]. [p] τραυλίζονται P. [q] κατὰ τοὺς τόπους C[a]. κατὰ τόπους post φωναὶ P.D[a]. [r] ἡ διάλεκτος A[a].C[a]. [s] εἴποιε A[a], εἴποι C[a], εἴποιεν P.D[a].

Digitized by Google

[t]ζώων διαφέρει καὶ τῶν ἐν ταὐτῷ γένει ζώων [v]κατὰ τόπους, οἷον [w]τῶν περδίκων οἱ μὲν [x]κακκαβίζουσιν οἱ δὲ τρίζουσιν. Καὶ τῶν μικρῶν [y]ὀρνιθίων ἔνια οὐ τὴν αὐτὴν [z]ἀφίησι φωνὴν 19
ἐν τῷ ᾄδειν τοῖς γεννήσασιν, ἂν [a]ἀπότροφα γένωνται [b]καὶ ἄλλων [c]ἀκούσωσιν [d]ὀρνίθων ᾀδόντων. [u]Ἤδη δ' ὤπται καὶ ἀηδὼν νεοττὸν προδιδάσκουσα, [e]ὡς οὐχ [f]ὁμοίας φύσει [g]τῆς διαλέκτου οὔσης καὶ τῆς φωνῆς, ἀλλ' ἐνδεχόμενον πλάττεσθαι. Καὶ οἱ ἄνθρωποι φωνὴν μὲν τὴν αὐτὴν ἀφιᾶσι, διά- 20
λεκτον δ' οὐ τὴν αὐτήν. [t]Ὁ δ' ἐλέφας φωνεῖ [h]ἄνευ μὲν τοῦ μυκτῆρος αὐτῷ τῷ στόματι πνευματῶδες ὥσπερ [i]ὅταν ἄνθρωπος ἐκπνέῃ καὶ αἰάζῃ, μετὰ δὲ τοῦ μυκτῆρος ὅμοιον σάλπιγγι [k]τετραχυσμένῃ.

Περὶ δὲ ὕπνου καὶ ἐγρηγόρσεως τῶν ζώων, ὅτι [l]μὲν ὅσα 1
πεζὰ καὶ ἔναιμα πάντα καθεύδει καὶ [m]ἐγρήγορεν, φανερὸν ποιοῦσι κατὰ τὴν αἴσθησιν. Πάντα γὰρ ὅσα ἔχει [n]βλε- 2
φαρίδας, μύοντα ποιεῖται τὸν ὕπνον. [u]Ἔτι δ' ἐνυπνιάζειν φαίνονται οὐ μόνον ἄνθρωποι, ἀλλὰ καὶ ἵπποι καὶ κύνες καὶ βόες, ἔτι δὲ πρόβατα καὶ αἶγες καὶ πᾶν τὸ τῶν ζωοτόκων καὶ τετραπόδων γένος· δηλοῦσι δ' οἱ κύνες τῷ ὑλαγμῷ. Περὶ δὲ τῶν ᾠοτοκούντων τοῦτο μὲν ἄδηλον, ὅτι [o]δὲ καθεύδουσι, φανερόν. [t]Ὁμοίως δὲ [p]καὶ τὰ ἔννυδρα, οἷον οἵ τε 3
ἰχθύες καὶ τὰ [q]μαλάκια καὶ τὰ μαλακόστρακα κάραβοί τε καὶ τὰ τοιαῦτα. Βραχύυπνα μὲν οὖν [r]ἐστὶ [s]ταῦτα πάντα, [t]φαίνεται δὲ καθεύδοντα. Σημεῖον δὲ κατὰ μὲν τὰ ὄμματα [v]οὐκ ἔστι λαβεῖν ([w]οὐδὲν γὰρ ἔχει [x]βλέφαρα αὐτῶν), ἀλλὰ

[t] ζώων om. P. [v] κατὰ τοὺς τόπους $A^a.C^a$. [w] τῶν] τῶν τε D^a, τε τῶν P, τὸ τῶν (addito γένος post περδίκων) $A^a.C^a$. [x] κακαβίζουσιν οἱ δὲ τρίβουσι P. [y] ὀρνίθων P.$C^a.D^a$. [z] φωνὴν ἀφιᾶσιν $A^a.C^a$. [a] ἀπόστροφα C^a. [b] καὶ τῶν ἄλλων D^a. [c] ἀκούωσιν P.D^a. [d] ᾀδόντων ὀρνίθων P.$C^a.D^a$. [e] ὡς om. A^a. [f] ὁμοίως P.D^a. [g] οὔσης τῆς διαλέκτου D^a. [h] μὲν ἄνευ $A^a.C^a$, ἄνευ μέντοι P.D^a. [i] ὅτ' ἄνθρωπος ἐκπνέει καὶ λαλεῖ P.D^a. [k] τετραχυμένῃ A^a. [l] μὲν] δὴ C^a, om. P.D^a. [m] ἐγρηγορεῖ P.D^a. [n] βλεφαρίδα P.A^a. [o] δὲ om. P. [p] καὶ post δὲ om. C^a. [q] μαλακόστρακα καὶ τὰ μαλάκια καὶ καραβοί τε A^a. [r] εἰσὶ C^a. [s] πάντα ταῦτα C^a, πάντα τὰ τοιαῦτα D^a, ἅπαντα τὰ τοιαῦτα P. [t] φαίνονται $A^a.C^a$. [v] λαβεῖν οὐκ ἔστιν P.D^a. [w] οὐδὲ A^a. [x] βλέφαρον αὐτῶν C^a, τούτων βλέφαρον D^a, βλέφαρυν P.

Digitized by Google

4 ταῖς ἀτρεμίαις. [t]Ἁλίσκονται [y]γὰρ οἱ ἰχθύες, [z]εἰ μὴ διὰ τοὺς φθείρας καὶ [a]τοὺς καλουμένους ψύλλους, κἂν ὥστε τῇ χειρὶ [b]λαμβάνειν ῥᾳδίως· νῦν δ', ἂν [c]χρονίζωσιν, οὗτοι τῆς νυκτὸς κατεσθίουσι προσπίπτοντες, πολλοὶ τὸ πλῆθος ὄντες. 5 Γίνονται δ' ἐν τῷ βυθῷ τῆς θαλάττης, καὶ τοσοῦτοι τὸ πλῆθος ὥστε καὶ τὸ δέλεαρ, [d]ὅ τι ἂν ἰχθύος ᾖ, ἐὰν χρονίσῃ ἐπὶ τῆς γῆς, κατεσθίουσιν· καὶ ἀνέλκουσι πολλάκις οἱ ἁλιεῖς [e]περὶ τὸ δέλεαρ ὥσπερ σφαῖραν [f]συνεχομένων αὐτῶν. 6 [g]Ἀλλ' ἐκ τῶν [g]τοιῶνδε [h]μᾶλλον ἔστι τεκμήρασθαι ὅτι καθεύδουσιν· πολλάκις γὰρ ἔστιν [i]ἐπιπεσόντα [k]τοῖς ἰχθύσι λαθεῖν οὕτως ὥστε [l]καὶ τῇ χειρὶ λαβεῖν ἢ πατάξαντα λαθεῖν· ὑπὸ δὲ τὸν καιρὸν τοῦτον ἠρεμοῦσι σφόδρα, καὶ κινοῦσιν 7 οὐθὲν πλὴν ἠρέμα τὸ οὐραῖον. [m]Δῆλον δὲ γίνεται ὅτι [n]καθεύδει καὶ ταῖς φοραῖς, ἄν τι κινηθῇ [o]ἡσυχαζόντων· φέρεται γὰρ ὥσ[p]περ ἐξ ὕπνου ὄντα. [q]Ἔτι δ' ἐν ταῖς [q]πυρίαις 8 ἁλίσκονται διὰ τὸ καθεύδειν. Πολλάκις δὲ [r]καὶ οἱ [s]θυννοσκόποι περιβάλλονται καθεύδοντας· δῆλον δ' ἐκ τοῦ ἡσυχάζοντας καὶ τὰ λευκὰ ὑποφαίνοντας ἁλίσκεσθαι. Καθεύδουσι δὲ τῆς νυκτὸς μᾶλλον ἢ τῆς ἡμέρας οὕτως [t]ὥστε βαλλόντων 9 μὴ κινεῖσθαι. Τὰ δὲ πλεῖστα [v]καθεύδουσι τῆς γῆς ἢ τῆς ἄμμου ἢ λίθου τινὸς ἐχόμενοι ἐν τῷ βυθῷ, ἢ ἀποκρύψαντες [w]ὑπὸ πέτραν ἢ θῖνα ἑαυτούς, οἱ δὲ πλατεῖς ἐν τῇ ἄμμῳ· γινώσκονται δὲ τῇ σχηματίσει τῆς ἄμμου, καὶ λαμβάνονται 10 τυπτόμενοι τοῖς [x]τριώδουσιν. Λαμβάνονται δὲ καὶ [y]λάβραξ καὶ χρύσοφρυς καὶ κεστρεὺς καὶ ὅσοι τοιοῦτοι [x]τριώ-

[y] γὰρ] μὲν γὰρ D^a. [z] εἰ μὲν μὴ P.D^a. [a] τοὺς καλουμένους ψύλους A^a, τοὺς λεγομένους ψύλλους D^a, τὰς ψύλας P. [b] λαβεῖν D^a, λαμβάνῃ A^a. [c] χρονίσωσιν D^a, χρονίσουσιν P. [d] ὅταν ἰχθύος ᾖ ἂν P.D^a. [e] παρὰ A^a. [f] συνεχομένην P.A^a. [g] τοιούτων P.D^a. [h] ἔστι τεκμαίρεσθαι μᾶλλον D^a, μᾶλλον ἔστι τεκμαίρεσθαι P. [i] ἐπιπεσόντες pr. A^a. [k] τοὺς ἰχθῦς D^a. [l] καὶ om. A^a.C^a. [m] δῆλα P. [n] καθεύδουσι fortasse C^a. [o] ἡσυχαζόντων αὐτῶν· φέρεται A^a.C^a. [p] περ om. D^a. [q] πέτραις P.D^a. [r] καὶ om. D^a. [s] θυνοσκόποι P. [t] ὥστε om. P. [v] καθεύδουσιν ἢ τῆς ἄμμου ἢ τῆς γῆς P.D^a. [w] ὑπὸ τὴν πέτραν A^a. [x] τριώδουσι et mox τριώδοντι P.D^a. [y] λάβρακες καὶ χρυσόφρυες καὶ κεστρεῖς P.D^a.

Digitized by Google

δοντι ἡμέρας πολλάκις διὰ τὸ καθεύδειν· εἰ δὲ μή, οὐθὲν δοκεῖ τῶν τοιούτων [z]ληφθῆναι ἂν τριώδοντι. Τὰ δὲ σελάχη οὕτω καθεύδει ἐνίοτε ὥστε καὶ λαμβάνεσθαι τῇ χειρί. [a]Δελ- 11
φὶς δὲ [b] καὶ [c] φάλαινα, καὶ ὅσα αὐλὸν ἔχει, ὑπερέχοντα [d] τὸν αὐλὸν καθεύδει τῆς θαλάττης, δι' οὗ [e] καὶ ἀναπνέουσιν ἠρέμα κινοῦντες τὰς πτέρυγας· καὶ δελφῖνός [f] γε καὶ [g] ῥέγχοντος ἤδη ἠκρόανταί [h] τινες. Καθεύδει δὲ καὶ τὰ μαλάκια τὸν αὐτὸν τρόπον ὅνπερ [i] οἱ ἰχθύες· ὁμοίως δὲ καὶ τὰ μαλακόστρακα τούτοις. Καὶ τὰ ἔντομα δὲ τῶν ζῴων ὅτι τυγχάνει 12
ὕπνου, διὰ τοιούτων σημείων ἐστὶ φανερόν· ἡσυχάζουσί τε γὰρ καὶ ἀκινητίζουσιν ἐπιδήλως. [k] Μάλιστα δ' ἐπὶ τῶν μελιττῶν τοῦτο δῆλον· ἠρεμοῦσί [l] τε γὰρ καὶ παύονται βομβοῦσαι τῆς νυκτός. Δῆλον δὲ καὶ ἐπὶ τῶν [m] ἐν ποσὶ 13
μάλιστα τῶν τοιούτων· οὐ γὰρ μόνον διὰ τὸ μὴ ὀξὺ βλέπειν ἡσυχάζουσι τῆς νυκτός (ἅπαντα γὰρ ἀμυδρῶς [n] βλέπουσι τὰ σκληρόφθαλμα), ἀλλὰ καὶ πρὸς τὸ φῶς [o] τὸ τῶν λύχνων ἡσυχάζοντα [p] φαίνονται οὐδὲν ἧττον. [q] Ἐνυπνιάζει δὲ τῶν ζῴων μάλιστα ἄνθρωπος. Καὶ νέοις μὲν οὖσι καὶ παιδίοις 14
ἔτι πάμπαν οὐ γίνεται ἐνύπνιον, ἀλλ' [q] ἄρχεται τοῖς πλείστοις περὶ τέτταρα ἔτη ἢ πέντε· [r] ἤδη δὲ γεγόνασι καὶ ἄνδρες καὶ γυναῖκες οἳ [s] ὅλως οὐθὲν πώποτε ἐνύπνιον εἶδον. Συνέβη δέ τισι τῶν τοιούτων προϊούσης τῆς ἡλικίας ἰδεῖν ἐνύπνιον, καὶ μετὰ ταῦτα γενέσθαι περὶ τὸ σῶμα [t] μεταβολὴν τοῖς μὲν εἰς θάνατον τοῖς δ' εἰς ἀρρωστίαν.

Περὶ μὲν [v] οὖν αἰσθήσεως καὶ ὕπνου καὶ [w] ἐγρηγόρσεως τοῦτον ἔχει τὸν τρόπον· τὸ δ' ἄρρεν καὶ θῆλυ τοῖς μὲν 11
[x] ὑπάρχει τῶν ζῴων, τοῖς δ' οὐχ [x] ὑπάρχει, ἀλλὰ καθ' ὁμοιότητά τινα καὶ τίκτειν λέγονται καὶ κύειν. [y] Ἔστι δ' οὐθὲν

[z] ἂν ληφθῆναι ἐν τῷ τριόδοντι Da, ληφθῆναι ἂν τῷ τριόδοντι P. [a] ὁ δὲ δελφὶς Da, ὁ δελφὶς δὲ P. [b] καὶ om. Aa. [c] φάλλαινα Aa.Ca. [d] τὸν αὐλὸν] τὸν αὐτὸν Aa. [e] καὶ om. Aa.Ca. [f] τε P, δὲ Da. [g] ῥέγκοντος Da. [h] τινος P. [i] οἱ] καὶ οἱ P.Da. [k] μάλιστα] καὶ μάλιστα P. [l] τε om. P.Ca.Da. [m] ἐν om. Ca. [n] βλέπουσι] βλέπει P. [o] τὸ ante τῶν om. Aa.Ca. [p] φαίνεται P. [q] ἄρχονται Aa.Ca. [r] ἤδη γεγονόσιν. εἰσὶ δὲ καὶ P.Da. [s] ὅλως om. P.Da. [t] μεταβολὴ Da. [v] οὖν om. P. [w] ἐγρηγόρσεως καὶ ὕπνου Da. [x] ὑπάρχουσι Aa.

Digitized by Google

ἄρρεν καὶ θῆλυ ἐν τοῖς μονίμοις, οὐδ' ὅλως ἐν τοῖς ὀστρακο-
2 δέρμοις. [y] Ἐν δὲ τοῖς μαλακίοις καὶ τοῖς μαλακοστράκοις
ἔστι τὸ μὲν θῆλυ τὸ δ' ἄρρεν, καὶ ἐν τοῖς πεζοῖς καὶ ἐν τοῖς
δίποσι καὶ [z] τετράποσι καὶ [a] πᾶσιν ὅσα ἐκ συνδυασμοῦ τίκτει
3 ζῷον ἢ ᾠὸν ἢ σκώληκα. Ἐν μὲν οὖν τοῖς ἄλλοις [b] γένεσιν
[c] ἁπλῶς [d] ἢ ἔστιν ἢ οὐκ ἔστιν, οἷον ἐν μὲν τοῖς τετράποσι
[e] πᾶσιν ἔστι τὸ μὲν θῆλυ τὸ δ' ἄρρεν, ἐν δὲ τοῖς ὀστρακοδέρμοις
οὐκ ἔστιν, ἀλλ' ὥσπερ ἐν φυτοῖς τὰ μὲν [f] εὔφορά ἐστι τὰ
4 [g] δ' ἄφορα, οὕτω καὶ ἐν [h] τούτοις. Ἐν δὲ τοῖς ἐντόμοις καὶ
[i] τοῖς ἰχθύσιν ἐστὶ τὰ μὲν [k] ὅλως οὐκ ἔχοντα ταύτην τὴν
διαφορὰν ἐπ' οὐδέτερον, [l] οἷον ἐγχέλυς οὔτε ἄρρεν ἐστὶν οὔτε
θῆλυ, οὐδὲ γεννᾷ ἐξ [m] αὑτῆς οὐδέν, ἀλλ' οἱ [n] μὲν [o] λέγοντες
ὅτι τριχώδη καὶ ἑλμινθώδη [p] προσπεφυκότ' ἔχουσαί ποτέ
τινες φαίνονται, οὐ [q] προσθεωρήσαντες τὸ ποῦ ἔχουσιν
5 ἀσκέπτως λέγουσιν. Οὔτε γὰρ ζῳοτοκεῖ ἄνευ ᾠοτοκίας
οὐδὲν [r] τῶν τοιούτων, ᾠὸν δ' οὐδεμία πώποτε ὤφθαι ἔχουσα·
ὅσα τε ζῳοτοκεῖ, ἐν τῇ ὑστέρᾳ ἔχει [s] καὶ προσπεφυκότα,
ἀλλ' οὐκ ἐν τῇ γαστρί· ἐπέττετο γὰρ [t] ἂν ὥσπερ ἡ τροφή.
6 [u] Ἣν δὲ λέγουσι διαφορὰν [v] ἄρρενος ἐγχέλυος καὶ θηλείας
[w] τῷ τὸν μὲν μείζω κεφαλὴν [x] ἔχειν καὶ μακροτέραν, τὴν δὲ
θήλειαν [y] μικρὰν καὶ σιμοτέραν, οὐ τοῦ θήλεος [z] ἢ [a] ἄρρενος
7 λέγουσιν, ἀλλὰ τοῦ γένους. Εἰσὶ δέ τινες ἰχθύες οἳ κα-
λοῦνται [b] ἐπιτραγίαι, γίνονται δὲ [c] τῶν ποταμίων τοιοῦτοι
κυπρῖνος καὶ [d] βάλαγρος· οὐκ ἔχουσι δὲ οἱ τοιοῦτοι οὔτε ᾠὸν
οὔτε θορὸν οὐδέποτε, ἀλλ' ὅσοι στερεοί εἰσι καὶ πίονες,

[y] ἐν δὲ] οὐ δὲ P. [z] τετρ.] ἐν τοῖς τετρ. P.D[a]. [a] πᾶσιν om. D[a], ἐν πᾶσιν P. [b] γένεσιν] ζώοις P.D[a]. [c] ἁπλοῦν P.C[a].D[a]. [d] ἢ ante ἔστιν om. D[a]. [e] ἅπασιν P.D[a]. [f] φορᾷ P. [g] δ'] δ' ἀλλ' A[a].C[a]. [h] τοῖς τοιούτοις A[a]. [i] τοῖς ἰχθ.] ἐν τοῖς ἰχθ. P. [k] οὐκ ἔχοντα ὅλως A[a]. [l] οἷον ἡ ἐγχέλυς A[a].C[a]. [m] αὐτοῦ A[a].C[a].D[a], αὐτῷ P. [n] μὲν om. P.D[a]. [o] φάσκοντες A[a].C[a]. [p] προσπεφυκότ'] πρασώδη τ' A[a].C[a]. [q] προθεωρήσαντες D[a]. [r] τῶν—ὤφθαι] ᾠὸν δ' οὐδεμία τούτων πώποτε ὤφθαι A[a]. [s] καὶ τάγε οὐ προσπεφ. ἐν P.D[a]. [t] ἂν om. P. [u] ἄρρενός τε καὶ θηλείας ἐγ. P.D[a]. [w] τῷ] τὸ P. [x] καὶ μακροτέραν ἔχειν P.D[a]. [y] μικρὰν καὶ om. P.D[a], καὶ σιμοτέραν om. C[a]. [z] ἢ] καὶ P.D[a]. [a] ἄρρενα P.D[a]. [b] ἐπιτραγέαι P.D[a]. [c] τοιοῦτοι τῶν ποταμίων P.C[a].D[a]. [d] βάλλαγρος C[a], βαρῆνος D[a], κάρινος P.

Digitized by Google

[e] ἕντερον μικρὸν ἔχουσι, καὶ [f] δοκοῦσιν [g] ἄριστοι οὗτοι εἶναι. [h] Ἔτι δ' ἔνια, καθάπερ ἐν τοῖς ὀστρακοδέρμοις καὶ φυτοῖς 8
τὸ μὲν τίκτον ἐστὶ [i] καὶ γεννῶν, τὸ δ' ὀχεῦον οὐκ ἔστιν, οὕτω
[k] καὶ ἐν τοῖς ἰχθύσι τὸ τῶν ψηττῶν γένος καὶ τὸ τῶν [l] ἐρυ-
θρίνων καὶ αἱ χάνναι· [m] πάντα γὰρ τὰ τοιαῦτα φὰ φαίνεται
ἔχοντα. [1] Ἐν μὲν οὖν τοῖς πεζοῖς καὶ ἐναίμοις τῶν ζῴων 9
[n] ὅσα μὴ ᾠοτοκεῖ, τὰ πλεῖστα μείζω καὶ μακροβιώτερα τὰ
ἄρρενα τῶν θηλειῶν [o] εἰσί, πλὴν ἡμίονος, τούτων δ' αἱ θήλειαι
μακροβιώτεραι καὶ μείζους· ἐν [p] δὲ τοῖς ᾠοτόκοις καὶ τοῖς
σκωληκοτόκοις, οἷον ἕν [q] τε τοῖς ἰχθύσι καὶ ἐπὶ τῶν ἐντόμων,
μείζω τὰ θήλεα τῶν ἀρρένων ἐστίν, [r] οἷον ὄφεις καὶ φαλάγ-
για καὶ ἀσκαλαβῶται [s] καὶ βάτραχοι. Καὶ ἐπὶ τῶν ἰχθύων δ' 10
ὡσαύτως, οἷον τά τε σελάχη τὰ μικρὰ καὶ τῶν ἀγελαίων τὰ
πλεῖστα, [t] τὰ δὲ πετραῖα πάντα. [v] Ὅτι δὲ [v] μακροβιώτεροι
τῶν ἰχθύων αἱ θήλεις τῶν ἀρρένων, δῆλον ἐκ τοῦ [w] παλαιότερα
ἁλίσκεσθαι τὰ θήλεα τῶν ἀρρένων. [x] Ἔστι δὲ τὰ μὲν ἄνω καὶ 11
πρόσθια πάντων τῶν ζῴων [x] τὰ ἄρρενα κρείττω καὶ ἰσχυρότερα
[y] καὶ εὐοπλότερα, τὰ δ' ὡς ἂν ὀπίσθια καὶ κάτω [z] λεχθέντα τῶν
[a] θηλέων. [b] Τοῦτο δὲ καὶ ἐπ' ἀνθρώπων καὶ ἐπὶ τῶν ἄλλων
ζῴων τῶν πεζῶν καὶ ζῳοτόκων πάντων [c] ἔχει τὸν αὐτὸν τρό-
πον. Καὶ ἀνευρότερον [d] δὲ καὶ [e] ἀναρθρότερον τὸ θῆλυ μᾶλ- 12
λον, καὶ λεπτοτριχώτερον, [f] ὅσα τρίχας ἔχει· τὰ δὲ μὴ τρί-
χας ἔχοντα [g] κατὰ τὸ ἀνάλογον. Καὶ [h] ὑγροσαρκότερα δὲ
τὰ θήλεα τῶν ἀρρένων καὶ [i] γοννκροτώτερα, καὶ [k] αἱ κνῆμαι
λεπτότεραι· τοὺς δὲ πόδας γλαφυρωτέρους, ὅσα [l] τὰ μόρια

[e] ἕτερον P. [f] δοκοῦσιν] εἰσὶν P.D[a], omisso mox εἶναι. [g] οὗτοι ἄριστοι C[a]. [h] ἔστι A[a].C[a]. [i] καὶ τὸ γεννῶν A[a]. [k] καὶ om. A[a].C[a]. [l] ἐρυθρινῶν nonnulli. [m] πάντα γὰρ] καὶ πάντα P.D[a]. [n] ὅσα μὴ ᾠοτοκεῖ] ἅμα ζῳοτοκεῖ P.D[a]. [o] ἐστί A[a].C[a]. [p] δὲ] μὲν A[a]. [q] τε om. P.D[a]. [r] οἷον ὁ ὄφις A[a]. [s] καὶ οἱ βάτραχοι C[a], καὶ οἱ βατράχων A[a]. [t] τὰ δὲ] τά τε A[a].C[a]. [v] μακρ. εἰσι τῶν P.D[a]. [w] παλαιοτέρου A[a]. [x] τὰ ἄρρενα om. P.D[a]. [y] καὶ ἐκπλευρότερα P, om. D[a]. [z] λεχθέντα] ἔνια A[a].C[a]. [a] θηλείων A[a].C[a], θηλείων D[a]. [b] τοῦτο δὲ] ταὐτὸν A[a].C[a]. [c] τοῦτον ἔχει τὸν P.D[a]. [d] δὲ] τε P.D[a], om. A[a]. [e] ἄναρθρον C[a], ἀνανδρότερον A[a]. [f] ὅσον D[a]. [g] κατὰ om. P.D[a]. [h] ὑγροσαρκότερον δὲ τὸ θῆλυ A[a]. [i] γονυκροτώτερον A[a]. [k] αἱ om. A[a].C[a]. [l] ἔχει ταῦτα τὰ μόρια D[a], ταῦτα ἔχει τὰ μόρια P.

Digitized by Google

13 ταῦτ' ἔχει τῶν ζῴων. Καὶ περὶ φωνῆς [m] δέ, πάντα τὰ θήλεα λεπτοφωνότερα καὶ ὀξυφωνότερα, πλὴν βοός, ὅσα ἔχει φωνήν· οἱ δὲ βόες [n] βαρύτερον φθέγγονται [o] αἱ θήλειαι
14 τῶν ἀρρένων. Τὰ δὲ πρὸς ἀλκὴν ἐν τῇ φύσει ὑπάρχοντα [p] μόρια, οἷον ὀδόντες καὶ [q] χαυλιόδοντες καὶ κέρατα [r] καὶ πλῆκτρα καὶ ὅσα ἄλλα τοιαῦτα μόρια, [s] ἐν ἐνίοις μὲν γένεσιν ὅλως τὰ μὲν ἄρρενα ἔχει τὰ δὲ θήλεα οὐκ ἔχει, οἷον [t] κέρατα ἔλαφος θήλεια οὐκ ἔχει καὶ τῶν ὀρνίθων [v] τῶν πλῆκτρα ἐχόντων ἐνίων αἱ θήλειαι ὅλως πλῆκτρα οὐκ ἔχουσιν· ὁμοίως δὲ
15 καὶ [w] χαυλιόδοντας [x] αἱ θήλειαι οὐκ ἔχουσι τῶν [y] ὑῶν. [1]Ἐν ἐνίοις δὲ ὑπάρχει μὲν ἀμφοῖν, ἀλλὰ [z] κρείττω καὶ μᾶλλον τοῖς ἄρρεσιν, οἷον τὰ κέρατα τῶν ταύρων [a] ἰσχυρότερα τῶν θηλειῶν βοῶν.

E.

[b] Ὅσα μὲν οὖν ἔχουσι μόρια τὰ ζῷα πάντα [c] καὶ τῶν ἐντὸς καὶ τῶν ἐκτός, ἔτι δὲ περί [d] τε [e] τῶν αἰσθήσεων καὶ φωνῆς καὶ ὕπνου, καὶ ποῖα θήλεα καὶ ποῖα ἄρρενα, πρότερον εἴρηται περὶ [f] πάντων· [g] περὶ δὲ [h] τῶν γενέσεων αὐτῶν λοιπὸν
2 διελθεῖν, καὶ πρῶτον περὶ τῶν [i] πρώτων. Εἰσὶ δὲ πολλαὶ καὶ πολλὴν ἔχουσαι ποικιλίαν, [k] καὶ τῇ μὲν [l] ἀνόμοιοι, [m] τῇ δὲ τρόπον τινὰ προσεοίκασιν ἀλλήλαις. [1]Ἐπεὶ δὲ διῄρηται τὰ γένη [n] πρῶτον, τὸν αὐτὸν τρόπον καὶ νῦν πειρατέον ποιεῖσθαι τὴν θεωρίαν· πλὴν τότε μὲν τὴν ἀρχὴν ἐποιούμεθα σκοποῦντες περὶ τῶν μερῶν ἀπ' ἀνθρώπου, νῦν δὲ περὶ τούτου τελευταῖον λεκτέον διὰ τὸ πλείστην ἔχειν πραγματείαν.
3 Πρῶτον δ' [o] ἀρκτέον ἀπὸ τῶν ὀστρακοδέρμων, μετὰ δὲ ταῦτα

[m] δέ om. A^a.C^a. [n] βαρύτερα A^a. [o] αἱ δὲ θήλειαι A^a. [p] μόριά ἐστιν οἷον A^a.C^a. [q] χαυλιώδοντες C^a. [r] καὶ τὰ πλῆκτρα A^a.C^a.P. [s] ἐν om. P.D^a. [t] ἔλαφος κέρατα A^a. [v] τῶν τὰ πλ. D^a. [w] χαυλιώδοντας C^a. [x] οὐκ ἔχουσιν αθήλειαι D^a. [y] ὑῶν] ἐνίων A^a. [z] κρείττω μᾶλλον τοῖς ἄρρεσι P.D^a. [a] ἰσχ. ἢ τὰ τῶν P.D^a. [b] ὅσα—λοιπὸν διελθεῖν] hæc libro quarto dat C^a, utrique m. [c] καὶ τῶν ἐντὸς om. A^a. [d] τε om. A^a. [e] τῶν om. D^a. [f] ἁπάντων A^a.C^a. [g] περὶ δὲ] τὸ δὲ περὶ P. [h] τὰς γενέσεις P.D^a. [i] πρώτων λεκτέον. εἰσὶ P. [k] καὶ τῇ] πῇ P.D^a. [l] ἀνόμοια A^a.C^a. [m] πῇ P.D^a. [n] πρότερον C^a. [o] ἀρκτέον] λεκτέον A^a.

Digitized by Google

περὶ τῶν μαλακοστράκων, καὶ τὰ ἄλλα [p]δὲ τοῦτον τὸν τρόπον [q]ἐφεξῆς· ἔστι δὲ τά τε μαλάκια καὶ τὰ ἔντομα, καὶ μετὰ ταῦτα τὸ τῶν ἰχθύων γένος, τό τε ζῳοτόκον καὶ τὸ ᾠοτόκον αὐτῶν, εἶτα τὸ τῶν ὀρνίθων· μετὰ δὲ ταῦτα [r]περὶ τῶν [s]πεζῶν λεκτέον, ὅσα τε [t]ζῳοτόκα καὶ [v]ὅσα ᾠοτόκα. Ζῳοτόκα 4
δ' [w]ἐστὶ τῶν τετραπόδων ἔνια, καὶ ἄνθρωπος τῶν διπόδων μόνον. Κοινὸν μὲν οὖν συμβέβηκε καὶ ἐπὶ τῶν ζῴων, ὥσπερ καὶ ἐπὶ τῶν φυτῶν· τὰ μὲν γὰρ ἀπὸ σπέρματος ἑτέρων φυτῶν, τὰ δ' αὐτόματα γίνεται, [x]συστάσης τινὸς τοιαύτης ἀρχῆς, καὶ τούτων τὰ μὲν ἐκ τῆς γῆς λαμβάνει τὴν τροφήν, τὰ δ' ἐν ἑτέροις ἐγγίνεται φυτοῖς, ὥσπερ εἴρηται ἐν τῇ θεωρίᾳ τῇ [y]περὶ φυτῶν. Οὕτω καὶ τῶν ζῴων τὰ μὲν ἀπὸ ζῴων 5
γίνεται κατὰ συγγένειαν τῆς μορφῆς, τὰ δ' αὐτόματα [z]καὶ οὐκ ἀπὸ συγγενῶν, καὶ τούτων τὰ μὲν [a]ἐκ γῆς σηπομένης καὶ φυτῶν, ὥσπερ πολλὰ συμβαίνει τῶν ἐντόμων, τὰ δ' ἐν τοῖς ζῴοις αὐτοῖς [b]ἐκ τῶν ἐν τοῖς μορίοις περιττωμάτων. Τῶν [c]δὴ τὴν γένεσιν ἐχόντων ἀπὸ συγγενῶν ζῴων [d]ἐν οἷς 6
μὲν αὐτῶν ἐστὶ τὸ θῆλυ καὶ τὸ ἄρρεν, ἐκ συνδυασμοῦ [e]γίνονται· ἐν δὲ τῷ τῶν ἰχθύων γένει ἔνια γίνεται οὔτε [f]ἄρρενα οὔτε θήλεα, τῷ γένει μὲν ὄντα ἑτέροις τῶν ἰχθύων τὰ αὐτά, τῷ [g]εἴδει δ' ἕτερα, ἔνια δὲ καὶ πάμπαν ἴδια. Τὰ δὲ θήλεα 7
μέν ἐστιν, ἄρρενα δ' [h]οὐκέτι· ἐξ ὧν γίνεται ὥσπερ ἐν τοῖς ὄρνισι τὰ ὑπηνέμια. Τὰ μὲν οὖν τῶν ὀρνίθων [i]ἄγονα πάντα [k]ἐστὶ [l]ταῦτα ([m]μέχρι γὰρ τοῦ [n]ᾠοῦ γέννησιν δύναται ἡ φύσις αὐτῶν ἐπιτελεῖν), ἐὰν μή τις αὐτοῖς συμβῇ τρόπος ἄλλος τῆς κοινωνίας πρὸς τοὺς ἄρρενας· περὶ ὧν ἀκριβέστερον ἔσται δῆλον ἐν τοῖς ὕστερον. Τῶν δὲ ἰχθύων ἐνίοις, ὅταν 8

p δὴ A^a. q ἑξῆς A^a. r περί τε τῶν C^a. s πεζῶν καὶ λεκτέον P.D^a. t ᾠοτόκα A^a.C^a. v ὅσα ζωοτόκα A^a.C^a, ᾠοτόκα ὅσα D^a. w ἐστὶ om. A^a. x συστραφείσης A^a.C^a. y περὶ τῶν φ. P.D^a. z καὶ om. A^a. a ἐκ τῆς γῆς A^a.C^a. b ἐκ] καὶ D^a, καὶ ἐκ P. c δὲ A^a.C^a. d ἐν οἷς] ὅσοις P.D^a. e γίνεται P.D^a. f θήλεα οὔτε ἄρρενα P.D^a. g δ' εἴδει P.D^a. h οὐκέτι] οὔ A^a.C^a. i ἄγονα πάντα] ἅπαντα A^a.C^a. k εἰσὶ P.D^a. l ταῦτα] δῆλα A^a.C^a. m μέχρι γὰρ] ἀλλὰ μέχρι P.D^a. n ᾠὸν γεννῆσαι A^a, ᾠοῦ γεννῆσαι C^a.

Digitized by Google

αὐτόματα γεννήσωσιν ᾠά, συμβαίνει ἐκ τούτων καὶ ζῷα γίνεσθαι, πλὴν τῶν μὲν καθ' αὑτά, τῶν δ' οὐκ ἄνευ [o]ἄρρενος· ὃν δὲ τρόπον, καὶ περὶ τούτων ἐν τοῖς [p]ἐχομένοις ἔσται φανερόν· σχεδὸν γὰρ [q]παραπλήσια συμβαίνει καὶ ἐπὶ τῶν ὀρ-
9 νίθων. [v]Ὅσα [r]δ' ἀπὸ [s]ταὐτομάτου γίνεται [t]ἐν ζῴοις [v]ἢ γῇ ἢ φυτοῖς ἢ τοῖς τούτων μορίοις, ἔχουσι δὲ τὸ ἄρρεν καὶ [w]τὸ θῆλυ, ἐκ τούτων συνδυαζομένων γίνεται μέν [x]τι, [y]οὐ ταὐτὸ δ' ἐξ οὐθενὸς ἀλλ' ἀτελές, οἷον ἔκ [z]τε τῶν φθειρῶν ὀχευομένων αἱ καλούμεναι κονίδες καὶ ἐκ τῶν [a]μυιῶν σκώληκες καὶ ἐκ τῶν [b]ψυχῶν σκώληκες ᾠοειδεῖς, ἐξ ὧν οὔτε τὰ γεννήσαντα γίνεται οὔτε ἄλλο οὐθὲν ζῷον, ἀλλὰ [c]τὰ τοιαῦτα
10 μόνον. Πρῶτον [d]μὲν οὖν περὶ τῆς ὀχείας λεκτέον, [e]ὅσα ὀχεύεται, εἶτα μετὰ ταῦτα περὶ τῶν ἄλλων ἐφεξῆς, τά τε καθ' ἕκαστα καὶ [f]τὰ κοινῇ συμβαίνοντα [g]περὶ αὐτῶν.

2 [1]Ὀχεύεται μὲν οὖν ταῦτα τῶν ζῴων ἐν οἷς ὑπάρχει τὸ θῆλυ καὶ τὸ ἄρρεν, εἰσὶ δ' αἱ ὀχεῖαι οὔθ' ὅμοιαι πᾶσιν οὔθ' ὁμοίως
2 ἔχουσαι. Τὰ μὲν γὰρ ζφοτόκα καὶ πεζὰ τῶν ἐναίμων ἔχει μὲν ὄργανα [h]πάντα τὰ ἄρρενα πρὸς τὴν πρᾶξιν τὴν γεννητικήν, οὐ μὴν ὁμοίως γε [i]πάντα πλησιάζουσιν, ἀλλὰ τὰ μὲν ὀπισθουρητικὰ [k]συνιόντα πυγηδόν, οἷον λέοντες [l]καὶ δασύποδες καὶ [m]λύγκες· [n]τῶν δὲ δασυπόδων καὶ πολλάκις ἡ θή-
3 λεια προτέρα ἀναβαίνει ἐπὶ τὸν ἄρρενα. Τῶν δ' ἄλλων τῶν μὲν πλείστων ὁ αὐτὸς τρόπος· τὸν ἐνδεχόμενον [o]γὰρ ποιοῦνται συνδυασμὸν τά [p]τε πλεῖστα τῶν τετραπόδων, ἐπιβαίνοντος ἐπὶ τὸ θῆλυ τοῦ ἄρρενος, καὶ τὸ τῶν ὀρνίθων ἅπαν
4 γένος οὕτω τε καὶ μοναχῶς. Εἰσὶ [q]δὲ διαφοραί τινες καὶ

o ἀρρένων Aa.Ca. p δεχομένοις ἔσται φανερώτερον Aa. q παραπλησίως Aa. r δ' om. Aa. s τοῦ αὐτομάτου P.Da. t ἐν τοῖς ζῴοις P. v ἢ ἐν γῇ ἢ ἐν φυτοῖς ἢ ἐν τοῖς P.Da. w τὸ om. P. x τι] τοι Da. y οὐ ταὐτὸ] τοῦτο αὐτὸ P.Da. et corr. Aa. z τε om. Aa.Ca. a μυῶν P.Aa. b ψυλῶν P, ψυλλῶν Da. c τὰ om. P.Da. d μὲν om. Aa. e πόσα Da. f τὰ om. P.Da. g περὶ] τά τε περὶ Aa. h πρὸς τὴν τοιαύτην πρᾶξιν (πρόσαξιν P.) ἅπαντα τὰ ἄρρενα τὴν γ. P.Da. i πάντα om. Da. k ἀνιόντα Ca. l καὶ] τε καὶ Aa.Ca. m λύγγες P.Aa.Ca.Da. n τῶν δασυπόδων δὲ πολλάκις P.Da. o γὰρ ἕνα ποιοῦνται P. p τε om. P.Da. q δὲ] δὲ καὶ Aa.Ca.

Digitized by Google

περὶ τοὺς ὄρνιθας· τὰ μὲν γὰρ συγκαθείσης τῆς θηλείας ἐπὶ τὴν γῆν ἐπιβαίνει τὸ ἄρρεν, ὥσπερ αἱ [r]ὠτίδες καὶ [s]οἱ ἀλεκτρυόνες, τὰ [t]δ' οὐ συγκαθείσης τῆς θηλείας, οἷον [v]αἱ γέρανοι· ἐν τούτοις γὰρ ὁ ἄρρην [w]ἐπιπηδῶν ὀχεύει τὴν θήλειαν, καὶ συγγίνεται ὥσπερ [x]καὶ τὰ στρουθία ὀξέως. Τῶν δὲ 5
τετραπόδων αἱ ἄρκτοι παρακεκλιμέναι τὸν αὐτὸν τρόπον ὅνπερ [y]τἆλλα ἐπὶ τῶν ποδῶν [z]ποιούμενα τὴν ὀχείαν, πρὸς τὰ πρανῆ τῶν θηλειῶν τὰ ὕπτια τῶν ἀρρένων· οἱ δὲ χερσαῖοι ἐχῖνοι ὀρθοὶ τὰ ὕπτια πρὸς ἄλληλα ἔχοντες. Τῶν δὲ ζῳο- 6
τόκων καὶ [a]μέγεθος ἐχόντων οὔτε τοὺς ἄρρενας ἐλάφους αἱ θήλειαι [b]ὑπομένουσιν, εἰ μὴ ὀλιγάκις, οὔτε τοὺς ταύρους αἱ βόες διὰ τὴν τοῦ αἰδοίου συντονίαν, ἀλλ' [c]ὑπάγοντα τὰ [d]θήλεα [e]δέχονται τὴν γονήν· [f]καὶ γὰρ ἐπὶ τῶν [g]ἐλάφων ὦπται τοῦτο συμβαῖνον, τῶν [h]γε τιθασσῶν. Λύκος [i]δ' 7
ὀχεύει [k]καὶ ὀχεύεται τὸν αὐτὸν τρόπον [l]ὅνπερ καὶ κύων. Οἱ δ' αἴλουροι οὐκ ὄπισθεν συνιόντες, ἀλλ' ὁ μὲν ὀρθός, ἡ δὲ θήλεια [m]ὑποτίθησιν [n]ἑαυτήν· εἰσὶ δὲ [o]τῇ φύσει αἱ θήλειαι ἀφροδισιαστικαί, καὶ προσάγονται τοὺς ἄρρενας εἰς τὰς ὀχείας, καὶ [p]συνοῦσαι κράζουσιν. Αἱ δὲ κάμηλοι ὀχεύ- 8
ονται τῆς θηλείας καθημένης· περιβεβηκὼς [q]δὲ ὁ ἄρρην ὀχεύει οὐκ ἀντίπυγος, ἀλλὰ καθάπερ καὶ [r]τὰ ἄλλα τετράποδα· καὶ διημερεύει τὸ μὲν ὀχεῦον τὸ δ' ὀχευόμενον. [s]Ἀποχωροῦσι δ' εἰς ἐρημίαν, ὅταν ποιῶνται τὴν ὀχείαν, καὶ οὐκ ἔστι πλησιάσαι ἀλλ' ἢ τῷ βόσκοντι. Τὸ δ' αἰδοῖον ἔχει ὁ κάμηλος 9
[s]νεῦρον οὕτως ὥστε καὶ νευρὰν [t]ἐκ τούτου ποιεῖσθαι τοῖς τόξοις. Οἱ δ' ἐλέφαντες ὀχεύονται μὲν ἐν ταῖς ἐρημίαις, μάλιστα δὲ περὶ τοὺς ποταμοὺς καὶ οὗ διατρίβειν εἰώθασιν·

[r] νεοτίδες P, νεόττιδες D^a. [s] οἱ om. $A^a.C^a$. [t] δὲ οὐδὲ καθείσης A^a. [v] αἱ] καὶ αἱ C^a, καὶ οἱ $P.D^a$. [w] ἐπὶ ποδῶν editiones primæ. [x] καὶ om. $P.C^a.D^a$. [y] τἆλλα] καὶ τὰ ἄλλα $P.D^a$. [z] ποιοῦσι $A^a.C^a$. [a] μεγέθη D^a. [b] ὑπομένωσιν A^a. [c] ὑποπεσόντα $A^a.C^a$. [d] θήλεια A^a. [e] δέχεται C^a. [f] καὶ γὰρ καὶ ἐπὶ $A^a.C^a$. [g] ἐλεφάντων A^a. [h] γε om. $A^a.C^a$. [i] δ' om. P. [k] καὶ ὀχεύεται om. D^a. [l] ὅνπερ καὶ] ὥσπερ $P.D^a$. [m] ὑποτιθεῖσα $P.D^a$. [n] αὐτήν C^a. [o] τὴν φύσιν $A^a.C^a$. [p] συνιοῦσαι κολάζουσιν $P.D^a$. [q] δὲ om. $A^a.C^a$. [r] τὰ ἄλλα τὰ τ. C^a. [s] νευρῶδες Camotiana. [t] ποιοῦνται ἐκ τούτου $A^a.C^a$.

Digitized by Google

ὀχεύεται δ' ἡ μὲν θήλεια [v] συγκαθιεῖσα καὶ διαβαίνουσα, ὁ δ'
10 ἄρρην [w] ἐπαναβαίνων ὀχεύει. Ὀχεύεται δὲ καὶ ἡ φώκη καθάπερ τὰ ὀπισθουρητικὰ τῶν ζῴων, καὶ συνέχονται [x] ἐν τῇ ὀχείᾳ πολὺν χρόνον, ὥσπερ [y] καὶ [z] αἱ κύνες· ἔχουσι [a] δὲ τὸ αἰδοῖον [b] μέγα οἱ ἄρρενες.

3 Τὸν αὐτὸν δὲ τρόπον καὶ τῶν πεζῶν τὰ τετράποδα καὶ ᾠοτόκα [c] ποιεῖται τὴν ὀχείαν. Τὰ μὲν γὰρ ἐπιβαίνοντα καθάπερ τὰ ζῳοτόκα, οἷον χελώνη καὶ ἡ θαλαττία καὶ ἡ χερσαία. Ἔχουσι δέ τι εἰς ὃ οἱ πόροι συνάπτουσιν καὶ ᾧ ἐν τῇ ὀχείᾳ πλησιάζουσιν, οἷον τρυγόνες καὶ βάτραχοι καὶ πᾶν τὸ τοιοῦτον γένος.

4 Τὰ δ' ἄποδα καὶ μακρὰ τῶν ζῴων, οἷον [d] ὄφεις τε καὶ σμύραιναι, [e] περιπλεκόμενοι τοῖς ὑπτίοις πρὸς τὰ ὕπτια. Οὕτω [f] δὲ σφόδρα [g] οἱ ὄφεις περιελίττονται [h] ἀλλήλοις, ὥστε δοκεῖν ἑνὸς ὄφεως [i] δικεφάλου [k] εἶναι τὸ σῶμα ἅπαν. Τὸν αὐτὸν δὲ τρόπον καὶ τὸ τῶν [l] σαύρων γένος· [m] ὁμοίᾳ γὰρ περιπλοκῇ ποιοῦνται τὴν ὀχείαν.

5 Οἱ δ' ἰχθύες [n] πάντες, ἔξω τῶν πλατέων σελαχῶν, παραπίπτοντες τὰ ὕπτια πρὸς τὰ ὕπτια ποιοῦνται τὸν [o] συνδυασμόν. Τὰ δὲ πλατέα καὶ [p] κερκοφόρα, οἷον βάτος καὶ τρυγὼν καὶ τὰ τοιαῦτα, οὐ μόνον [q] παραπίπτοντα ἀλλὰ καὶ ἐπιβαίνοντα τοῖς ὑπτίοις ἐπὶ τὰ πρανῆ τῶν θηλειῶν, [r] ὅσοις μὴ
2 ἐμποδίζει τὸ οὐραῖον οὐθὲν [s] ἔχον [t] πάχος. Αἱ δὲ [v] ῥῖναι, καὶ ὅσοις τῶν τοιούτων πολὺ τὸ οὐραῖον, παρατριβόμενα μόνον [w] ὀχεύεται τὰ ὕπτια πρὸς τὰ ὕπτια. Εἰσὶ δέ τινες οἳ ἑωρακέναι φασὶ καὶ συνεχόμενα τῶν σελαχῶν ἔνια [x] ὄπι-
3 σθεν, ὥσπερ τοὺς [y] κύνας. Ἔστι [z] δ' ἐν πᾶσι τοῖς σελαχώ-

v συγκαθεῖσα Aa. w ἐπάνω βαίνων Aa. x ἐπὶ Aa. y καὶ om. Aa.Ca. z οἱ Da. a δὲ καὶ τὸ Aa.Ca. b μέγα οἱ ἄρνες P, οἱ ἄρρενες μέγα Aa.Ca. c ποιεῖ Aa. d ὄφις τε καὶ μύραινα Da. et corr. Ca. e περιπλεκόμεναι Aa. f τε Da. g οἱ] οἵ τε Aa, οἵ γε Ca. h ἀλλήλους Ca, ἀλλήλων Aa. i δικέφαλον P. k τὸ σῶμα εἶναι Aa.Ca. l σαυρῶν Aa. m ὁμοίαν γὰρ τῇ π. Aa.Ca. n ἅπαντες Aa.Ca. o συνδοιασμόν Aa. p κερωφόρα P. q ἐπιπίπτοντα P.Da. r ὅσοις ἂν μὴ ἐμποδίζῃ P.Da. s ἔχουσι Aa. t πάθος P.Da. v ῥῖνες Aa. w ὀχεύονται Ca. x ὄπισθεν ante συνεχόμενα P.Da. y κύνας φασίν. ἔστι P.Ca.Da. z δ'] γὰρ Ca.

Digitized by Google

δεσι [a] μείζον τὸ θῆλυ τοῦ ἄρρενος· σχεδὸν δὲ καὶ ἐν τοῖς ἄλλοις ἰχθύσι τὰ θήλεα μείζω τῶν ἀρρένων. Σελάχη δ' ἐστὶ τά [b] τε εἰρημένα καὶ βοῦς καὶ λάμια καὶ [c] ἀετὸς καὶ νάρκη καὶ βάτραχος καὶ πάντα τὰ [d] γαλεώδη. Τὰ μὲν οὖν 4
σελάχη πάντα [e] τεθεώρηται ὑπὸ πολλῶν τούτους ποιούμενα τοὺς τρόπους τὴν ὀχείαν· χρονιωτέρα γὰρ ἡ συμπλοκὴ πάντων τῶν ζωοτόκων [f] ἢ τῶν ᾠοτόκων. Καὶ δελφῖνες δὲ καὶ πάντα τὰ κητώδη τὸν αὐτὸν τρόπον· παραπίπτοντα γὰρ ὀχεύει [g] παρὰ τὸ θῆλυ τὸ ἄρρεν, καὶ χρόνον οὔτε ὀλίγον οὔτε λίαν πολύν. Διαφέρουσι δ' ἔνιοι τῶν [h] σελαχωδῶν 5
ἰχθύων οἱ ἄρρενες τῶν θηλειῶν τῷ τοὺς μὲν ἔχειν [i] ἀποκρεμώμενα [k] ἄττα δύο περὶ τὴν ἔξοδον τῆς περιττώσεως, τὰς δὲ θηλείας ταῦτα μὴ ἔχειν, οἷον ἐν τοῖς γαλεώδεσιν· ἐπὶ γὰρ τούτων ὑπάρχει πάντων τὸ εἰρημένον. [l] Ὄρχεις μὲν οὖν οὔτε 6
[l] ἰχθὺς οὔτε ἄλλο τῶν ἀπόδων ἔχει οὐθέν, πόρους δὲ δύο καὶ [m] οἱ ὄφεις καὶ οἱ ἰχθύες οἱ ἄρρενες ἔχουσιν, οἳ γίνονται [n] θοροῦ πλήρεις περὶ τὴν τῆς ὀχείας ὥραν, καὶ προΐενται ὑγρότητα γαλακτώδη πάντες. Οὗτοι δ' οἱ πόροι εἰς ἓν συνάπτου- 7
σιν, ὥσπερ καὶ τοῖς ὄρνισιν· οἱ γὰρ ὄρνιθες ἐντὸς ἔχουσι τοὺς ὄρχεις, καὶ τὰ ἄλλα πάντα ὅσα ᾠοτοκεῖ πόδας ἔχοντα. Τοῦτο [o] δὴ συμπεραίνει καὶ ἐπεκτείνεται εἰς τὴν τοῦ θήλεος χώραν καὶ ὑποδοχήν. [l] Ἔστι δὲ τοῖς μὲν ζωοτόκοις καὶ πεζοῖς ὁ 8
αὐτὸς πόρος τοῦ [p] τε σπέρματος καὶ τῆς τοῦ ὑγροῦ περιττώσεως ἔξωθεν, [q] ἔσωθεν δ' ἕτερος πόρος, ὥσπερ ἐλέχθη [r] καὶ πρότερον ἐν τῇ διαφορᾷ τῇ τῶν μορίων. Τοῖς δὲ μὴ ἔχουσι κύστιν ὁ αὐτὸς καὶ τῆς ξηρᾶς περιττώσεως πόρος ἔξωθεν· [s] ἔσωθεν δὲ σύνεγγυς ἀλλήλων. Ὁμοίως δὲ ταῦτα ἔχει 9
τοῖς θήλεσιν αὐτῶν καὶ τοῖς ἄρρεσιν· οὐ γὰρ ἔχουσι κύστιν

[a] μείζων ὁ θῆλυς P.D[a]. [b] τε om. A[a].C[a]. [c] αἰετὸς P.D[a]. [d] γαλεειδῆ A[a], γαλεοειδῆ C[a]. [e] τεθεώρηται μᾶλλον ὑπὸ P.D[a]. [f] ἢ] ἐστὶν ἢ A[a].C[a]. [g] παρὰ om. A[a].C[a]. [h] σελαχοειδῶν D[a]. [i] ἀποκρεμόμενα D[a], ἀποκρεμμόμενα P.A[a]. [k] ἄττα] τὰ μόρια τὰ A[a].C[a]. [l] ἰχθύες A[a]. [m] οἱ ante ὄφεις om. A[a]. [n] θόρου τε πλ. A[a], καὶ θόρου πλ. P.D[a]. [o] δὲ A[a].C[a]. [p] τε om. P.A[a].D[a]. [q] εἴσωθεν δ' ἕτερος ὥσπερ A[a].C[a]. [r] καὶ om. P.D[a]. [s] ἔσωθεν om. A[a].

Digitized by Google

πλὴν [t]ἐπὶ χελώνης, τούτων δ' ἡ θήλεια ἕνα πόρον ἔχει, καίτοι κύστιν [v]ἔχουσα· αἱ χελῶναι δὲ τῶν [w]ῳοτόκων εἰσίν. [1]Ἡ δὲ τῶν [w]ῳοτόκων ἰχθύων ὀχεία ἥττον γίνεται κατάδηλος· διόπερ οἱ πλεῖστοι νομίζουσι πληροῦσθαι τὰ [x]θήλεα τῶν 10 ἀρρένων [y]ἀνακάπτοντα [z]τὸν θορόν. Τοῦτο γὰρ πολλάκις ὁρᾶται γινόμενον· περὶ [a]μὲν γὰρ τὴν τῆς ὀχείας ὥραν αἱ θήλειαι τοῖς ἄρρεσιν ἑπόμεναι τοῦτο δρῶσι, καὶ κόπτουσιν ὑπὸ τὴν γαστέρα τοῖς στόμασιν, οἱ δὲ θᾶττον προΐενται καὶ μᾶλλον· κατὰ δὲ τὸν τόκον οἱ ἄρρενες τοῖς θήλεσι, [b]καὶ ἀποτικτουσῶν δ' [y]ἀνακάπτουσι τὰ ᾠά· ἐκ δὲ τῶν παραλει- 11 πομένων γίνονται οἱ ἰχθύες. Περὶ δὲ τὴν Φοινίκην καὶ θήραν ποιοῦνται δι' ἀλλήλων· ἄρρενας [c]μὲν γὰρ ὑπάγοντες κεστρέας τὰς θηλείας περιβάλλονται συνάγοντες, θηλείας δὲ 12 τοὺς ἄρρενας. Τοῦτο μὲν [d]οὖν διὰ τὸ πολλάκις ὁρᾶσθαι τὴν δόξαν ἐποίησε τῆς ὀχείας [e]ταύτην, ποιεῖ δὲ [f]τοῦτο καὶ τὰ τετράποδα τῶν ζῴων· περὶ γὰρ τὴν ὥραν τῆς ὀχείας ἀπορραίνουσι καὶ τὰ ἄρρενα καὶ τὰ θήλεα, καὶ τῶν [g]αἰδοίων 13 ὀσμῶνται ἀλλήλων. [h]Αἱ δὲ πέρδικες ἂν κατὰ [i]ἄνεμον στῶσιν αἱ θήλειαι τῶν ἀρρένων, ἔγκυοι γίνονται· πολλάκις δὲ καὶ τῆς φωνῆς, ἐὰν ὀργῶσαι τύχωσι, καὶ ὑπερπετομένων ἐκ τοῦ καταπνεῦσαι τὸν ἄρρενα· χάσκει δὲ καὶ ἡ θήλεια καὶ ὁ ἄρρην, καὶ τὴν γλῶτταν ἔξω ἔχουσι περὶ τὴν τῆς ὀχείας 14 ποίησιν. [1]Ἡ δὲ ἀληθινὴ σύνοδος τῶν ῳοτόκων ἰχθύων ὀλιγάκις ὁρᾶται διὰ τὸ ταχέως ἀπολύεσθαι [k]παραπεσόντας, ἐπεὶ ὦπται [l]καὶ ἡ ἐπὶ τούτων ὀχεία γινομένη [m]τὸν εἰρημένον τρόπον.

6 Τὰ δὲ μαλάκια, [n]οἷον [o]οἱ πολύποδες καὶ σηπίαι καὶ τευθίδες, τὸν αὐτὸν τρόπον [p]πάντα πλησιάζουσιν ἀλλήλοις·

[t] ἐπὶ om. D^a. [v] ἔχουσαι D^a, ἔχουσιν A^a. [w] ὠοτοκούντων utrobique P.C^a.D^a. [x] θήλεα τὸν δὲ τῶν C^a. [y] ἀνακάπτοντα intpp: codices ἀνεκάμπτοντα. perinde sect. 10. [z] τὸν om. C^a. [a] μὲν om. P.D^a. [b] καὶ et δ' om. P.D^a. [c] μὲν om. A^a.C^a. [d] οὖν om. D^a. [e] ταύτης P.D^a. [f] τοῦτο] τὸ τοιοῦτον A^a.C^a. [g] ἄρθρων A^a.C^a. [h] οἱ P.D^a. [i] ἀνέμων P. [k] παραπεσόντα C^a. [l] ἡ ὀχεία καὶ ἐπὶ τούτων A^a.C^a. [m] τὸν εἰρημένον] τοῦτον τὸν P.D^a. [n] οἷον om. P.A^a.C^a. [o] οἱ om. A^a.C^a.D^a. [p] πλησιάζουσι πάντα D^a.

Digitized by Google

κατὰ [q]τὸ στόμα γὰρ συμπλέκονται, τὰς πλεκτάνας πρὸς τὰς πλεκτάνας [r]συναρμόττοντες. [t]Ὁ μὲν οὖν πολύπους 2
ὅταν τὴν λεγομένην κεφαλὴν ἐρείσῃ πρὸς [s]τὴν γῆν καὶ διατετάσῃ τὰς πλεκτάνας, ἄτερος ἐφαρμόττει ἐπὶ τὸ πέτασμα τῶν πλεκτανῶν, καὶ συνεχεῖς [t]ποιοῦνται τὰς κοτυληδόνας πρὸς ἀλλήλας. Φασὶ δέ τινες καὶ τὸν ἄρρενα ἔχειν αἰδοιῶδές 3
τι ἐν μιᾷ τῶν πλεκτανῶν, ἐν ᾗ δύο [v]αἱ μέγισται κοτυληδόνες εἰσίν· εἶναι δὲ τὸ τοιοῦτον ὥσπερ νευρῶδες, μέχρι εἰς μέσην τὴν πλεκτάνην προσπεφυκὸς ἅπαν, [w]ᾗ ἐσπιφράναι εἰς τὸν μυκτῆρα τῆς θηλείας. Αἱ δὲ [x]σηπίαι καὶ αἱ τευθίδες νέου- 4
σιν ἅμα συμπεπλεγμέναι, τὰ στόματα καὶ τὰς πλεκτάνας [y]ἐφαρμόττουσαι καταντικρὺ [z]ἀλλήλαις, νέουσαι ἐναντίως· ἐναρμόττουσι δὲ καὶ τὸν καλούμενον μυκτῆρα εἰς τὸν μυκτῆρα. Τὴν δὲ νεῦσιν ἡ μὲν ἐπὶ τὸ [a]ὄπισθεν ἡ δ' ἐπὶ τὸ στόμα ποιεῖται. [b]Ἐκτίκτει δὲ κατὰ τὸν φυσητῆρα καλούμενον, καθ' [c]ὃν ἔνιοι καὶ ὀχεύεσθαί φασιν αὐτάς.

Τὰ δὲ μαλακόστρακα ὀχεύεται, οἷον κάραβοι καὶ ἀστακοὶ 7
καὶ καρίδες καὶ τὰ τοιαῦτα, [d]ὥσπερ καὶ τὰ ὀπισθουρητικὰ τῶν τετραπόδων, ὅταν ὁ μὲν ὑπτίαν [e]ὁ δ' ἐπὶ [f]ταύτης ποιήσῃ τὴν κέρκον. [g]Ὀχεύεται δὲ [h]τοῦ ἔαρος [i]ἀρχομένου πρὸς τῇ γῇ (ἤδη γὰρ ὥπται ἡ ὀχεία πάντων τῶν τοιούτων), ἐνιαχοῦ δὲ καὶ ὅταν τὰ σῦκα [k]ἄρχηται πεπαίνεσθαι. Τὸν 2
αὐτὸν δὲ τρόπον καὶ οἱ ἀστακοὶ καὶ αἱ καρίδες ὀχεύονται. Οἱ δὲ καρκίνοι κατὰ τὰ πρόσθια ἀλλήλων συνδυάζονται, τὰ ἐπικαλύμματα [l]τὰ πτυχώδη πρὸς ἄλληλα συμβάλλοντες. Πρῶτον δ' [l]ὁ καρκίνος ἀναβαίνει ὁ ἐλάττων ἐκ 3
[m]τοῦ ὄπισθεν· ὅταν δ' ἀναβῇ οὗτος, ὁ μείζων [n]πλάγιος ἐπιστρέφει. [o]Ἄλλῳ μὲν οὖν [p]οὐδενὶ ἡ θήλεια τοῦ ἄρρενος

q τὸ om. P.D[a]. r προσαρμόττοντες P.C[a]. s τῇ γῇ D[a]. t ποιοῦσι A[a].C[a]. v αἱ om. A[a].C[a]. w ἦν ἐσπιφράναι C[a], ᾗ εἰσπιφράναι A[a], om. P.D[a]. x σηπίαι A[a]. y ἐναρμόττουσαι A[a]. z ἀλλήλοις νέοντες P.D[a]. a ὁ δ' C[a]. b ἐκτείνει δὲ καὶ τὸν A[a].C[a]. c ὥσπερ—τετραπόδων om. C[a]. d ὁ δ'] ὅ τε A[a]. e ταύτην A[a].C[a]. f τοῦ om. D[a]. g ἔαρος post γῇ P.D[a]. h ἐρχομένου C[a]. i ἄρξηται C[a]. k τὰ om. A[a].C[a]. l δ' ὅ τε καρκίνος A[a].C[a]. m τῶν P.D[a]. n πλαγίως P.D[a]. o ἄλλα P.C[a].D[a]. p οὐθὲν P.C[a].D[a]. et rc. A[a]: pr. om.

Digitized by Google

διαφέρει· τὸ δ' ἐπικάλυμμα μεῖζόν [q] ἐστι τὸ τῆς θηλείας καὶ μᾶλλον ἀφεστηκὸς καὶ συνηρεφέστερον, [r] εἰς ὃ ἐκτίκτουσι καὶ ᾗ τὸ περίττωμα ἐξέρχεται. Μόριον δ' οὐθὲν προΐεται θάτερον εἰς θάτερον.

8 Τὰ δ' ἔντομα συνέρχεται μὲν ὄπισθεν, εἶτ' ἐπιβαίνει τὸ ἔλαττον ἐπὶ τὸ μεῖζον· τοῦτο δ' ἐστὶ τὸ ἄρρεν. [s] Ἐναφίησι δὲ τὸν [t] πόρον κάτωθεν τὸ θῆλυ εἰς [v] τὸ ἄρρεν τὸ ἐπάνω, ἀλλ' οὐ τὸ ἄρρεν εἰς τὸ θῆλυ, ὥσπερ ἐπὶ τῶν ἄλλων.

2 Καὶ τοῦτο τὸ μόριον ἐπὶ μὲν ἐνίων [w] καὶ φαίνεται μεῖζον ὂν ᾗ [x] κατὰ λόγον [y] τοῦ ὅλου σώματος, καὶ πάνυ μικρῶν ὄντων, ἐπ' ἐνίων δ' ἧττον. Τοῦτο δ' ἐστὶ φανερόν, ἐάν τις [z] διαιρῇ

3 τὰς ὀχευομένας μυίας. [a] Ἀπολύονται δ' ἀπ' ἀλλήλων μόλις· πολὺν γὰρ χρόνον ὁ συνδυασμός ἐστι τῶν τοιούτων. Δῆλον δ' ἐπὶ τῶν ἐν ποσίν, οἷον [a] μυιῶν τε καὶ κανθαρίδων. Πάντα δὲ [b] τὸν τρόπον τοῦτον [c] ὀχεύεται, αἵ τε μυῖαι καὶ αἱ κανθαρίδες καὶ αἱ [d] σπονδύλαι καὶ τὰ φαλάγγια, [e] καὶ εἴ τι

4 ἄλλο τοιοῦτόν ἐστι τῶν ὀχευομένων. Ποιοῦνται δὲ τὰ φαλάγγια [f] τὴν ὀχείαν τόνδε τὸν τρόπον, [g] ὅσα γε ὑφαίνει ἀράχνια· ὅταν ἡ θήλεια σπάσῃ τῶν ἀποτεταμένων ἀραχνίων [h] ἀπὸ τοῦ μέσου, πάλιν ὁ ἄρρην ἀντισπᾷ· τοῦτο δὲ ποιήσαντα πολλάκις οὕτω [i] συνέρχεται καὶ συμπλέκεται [k] ἀντίπυγα· διὰ γὰρ [l] τὴν περιφέρειαν τῆς κοιλίας οὗτος ἁρμόττει ὁ συνδυασμὸς αὐτοῖς.

5 [m] Ἡ μὲν οὖν ὀχεία τῶν ζῴων τοῦτον [m] γίνεται τὸν τρόπον [n] πάντων, ὧραι δὲ καὶ ἡλικίαι [o] τῆς ὀχείας ἑκάστοις εἰσὶν [p] ὡρισμέναι τῶν ζῴων. Βούλεται μὲν [q] οὖν ἡ φύσις τῶν

[q] ἐστι τὸ τῆς θηλείας post ἀφεστηκὸς P.C[a]. et omisso τὸ D[a]. [r] εἰς ὃ ἐκτίκτουσι καὶ om. C[a]. [s] ἀφίησι P.D[a]. [t] πόρον τὸ κάτωθεν A[a].C[a]. [v] τὸν ἄρρενα τὸν P.D[a]. [w] καὶ om. D[a]. [x] κατὰ τὸν λόγον A[a].C[a]. [y] ὅλου τοῦ A[a]. [z] διαιρῆται P.C[a].D[a]. [a] μυῶν τε καὶ ἀκανθαρίδων P. [b] τοῦτον τὸν τρόπον A[a]. [c] ὀχεύονται D[a]. [d] σφονδύλαι P.D[a]. [e] καὶ εἴ] κἂν εἴ A[a].C[a]. [f] τοῦτον τὸν τρόπον τὴν ὀχείαν P.D[a]. [g] ὅσα ὑφαίνει τὸ ἀράχνιον A[a].C[a]. [h] ἀπὸ τοῦ μέσου om. P.D[a]. [i] συμπλέκεται καὶ συνέρχεται A[a]. [k] ἀντίπυγα om. pr. A[a]. [l] τὴν om. P. [m] γίνεται] ἔχει A[a].C[a]. [n] πάντων ante τοῦτον D[a]. [o] ἑκάστοις τῆς ὀχ. P.D[a]. [p] διωρισμέναι A[a].C[a]. [q] οὖν om. A[a].

Digitized by Google

πλείστων περὶ τὸν αὐτὸν χρόνον ποιεῖσθαι τὴν ὁμιλίαν ταύτην, ὅταν ἐκ τοῦ χειμῶνος [r] μεταβάλλῃ πρὸς τὸ θέρος· αὕτη δ' ἐστὶν ἡ τοῦ ἔαρος ὥρα, ἐν ᾗ τὰ πλεῖστα καὶ πτηνὰ καὶ πεζὰ καὶ πλωτὰ ὁρμᾷ [s] πρὸς συνδυασμόν. Ποιεῖται δ' ἔνια 6
τὴν ὀχείαν καὶ τὸν τόκον καὶ μετοπώρου καὶ χειμῶνος, οἷον τῶν τ' ἐνύδρων [t] γένη ἄττα καὶ τῶν πτηνῶν· ἄνθρωπος δὲ μάλιστα πᾶσαν ὥραν, καὶ τῶν συνανθρωπευομένων [v] ζώων πολλὰ διὰ τὴν [w] ἀλέαν καὶ εὐτροφίαν, ὅσων [x] καὶ αἱ κυήσεις [y] ὀλιγοχρόνιοί εἰσιν, οἷον ὑὸς καὶ κυνός, καὶ τῶν πτηνῶν ὅσα πλεονάκις ποιοῦνται τοὺς τόκους. Πολλὰ δὲ καὶ πρὸς τὰς 7
ἐκτροφὰς τῶν τέκνων στοχαζόμενα [z] ποιοῦνται τὸν συνδυασμὸν ἐν τῇ ἀπαρτιζούσῃ ὥρᾳ. [1]Ὀργᾷ [a] δὲ πρὸς τὴν ὁμιλίαν [b] τῶν ἀνθρώπων τὸ μὲν ἄρρεν ἐν τῷ χειμῶνι μᾶλλον, τὸ δὲ θῆλυ ἐν τῷ θέρει. Τὸ δὲ τῶν ὀρνίθων γένος, ὥσπερ 8
εἴρηται, τὸ πλεῖστον περὶ τὸ ἔαρ ποιεῖται καὶ ἀρχομένου τοῦ θέρους τὴν [c] ὀχείαν καὶ τοὺς τόκους, πλὴν ἀλκυόνος. [1]Ἡ δὲ ἀλκυὼν τίκτει περὶ τροπὰς [d] τὰς χειμερινάς. Διὸ καὶ 9
καλοῦνται, ὅταν εὐδιειναὶ [e] γένωνται αἱ τροπαί, [f] ἀλκυόνειοι ἡμέραι ἑπτὰ μὲν πρὸ τροπῶν, ἑπτὰ δὲ [g] μετὰ τροπάς, καθάπερ καὶ Σιμωνίδης ἐποίησεν

ὡς ὁπόταν [h] χειμέριον κατὰ μῆνα
[i] πινύσκῃ Ζεὺς ἤματα [k] τεσσαρακαίδεκα,
[l] λαθάνεμόν τέ μιν ὥραν
καλέουσιν ἐπιχθόνιοι, ἱερὰν
παιδοτρόφον ποικίλας [m] ἀλκυόνος.

Γίνονται δ' εὐδιειναί, ὅταν συμβῇ νοτίους [n] γίνεσθαι τὰς 10
τροπάς, τῆς Πλειάδος [o] βορείου [p] γενομένης. Λέγεται δ'

[r] μεταβάλῃ Aª. [s] πρὸς τὸν συνδυασμόν P.Cª.Dª. [t] ἄττα γένη P.Dª. [v] ζώων πεζῶν πολλὰ P.Dª. [w] ἀλέαν καὶ εὐτραφίαν ὅσον Aª. [x] καὶ om. Aª.Cª. [y] ὀλιγοχρόνιαί P.Dª. [z] ποιεῖται Cª. [a] δὲ] γὰρ Cª. [b] τῶν] καὶ τῶν P. [c] ὀχείαν ποιεῖται καὶ Aª. [d] τὰς om. P.Dª. [e] γίνωνται P.Dª. [f] ἀλκυόνειαι P, ἀλκυονίδες Aª.Cª. [g] μετὰ τὰς τροπάς Aª. [h] κατὰ μῆνα χειμέριον Aª.Cª. [i] πινύσκει Aª, τιτύσκῃ Schneiderus. [k] τεσσαρεσκαίδεκα P.Dª. [l] λανθάνεμόν P.Cª.Dª. [m] ἀλκυόνας Aª. [n] γενέσθαι Aª.Cª. [o] μορείου P. [p] γινομένης Aª.

Digitized by Google

ἐν ἑπτὰ μὲν ἡμέραις ποιεῖσθαι τὴν [q] νεοττίαν, [r] ἐν δὲ ταῖς λοιπαῖς ἑπτὰ ἡμέραις τίκτειν [s] τὰ νεόττια καὶ ἐκτρέφειν.
11 Περὶ μὲν [t] οὖν τοὺς ἐνταῦθα τόπους οὐκ [v] ἀεὶ συμβαίνει γίνεσθαι ἀλκυονίδας ἡμέρας περὶ [w] τὰς τροπάς, ἐν δὲ τῷ Σικελικῷ πελάγει σχεδὸν [x] ἀεί. Τίκτει δ' ἡ ἀλκυὼν περὶ
9 πέντε ᾠά. [1] Ἡ δ' [y] αἴθυια καὶ οἱ λάροι τίκτουσι μὲν ἐν ταῖς [z] περὶ θάλατταν πέτραις, τὸ μὲν πλῆθος δύο ἢ τρία· ἀλλ' ὁ μὲν λάρος τοῦ θέρους, ἡ δ' [y] αἴθυια ἀρχομένου τοῦ ἔαρος εὐθὺς ἐκ τροπῶν, καὶ ἐπικαθεύδει ὥσπερ αἱ ἄλλαι ὄρνιθες.
2 Οὐδέτερον δὲ [a] φωλεύει τούτων τῶν ὀρνέων. [b] Πάντων δὲ σπανιώτατον ἰδεῖν [c] ἀλκυόνα ἐστίν· σχεδὸν γὰρ περὶ Πλειάδος δύσιν καὶ τροπὰς ὁρᾶται μόνον, καὶ ἐν τοῖς ὑφόρμοις [d] πρῶτον ὅσον [e] περιιπταμένη περὶ τὸ πλοῖον ἀφανίζεται εὐθύς, διὸ [f] καὶ Στησίχορος τοῦτον τὸν τρόπον ἐμνή-
3 σθη περὶ αὐτῆς. Τίκτει [g] δὲ καὶ ἡ ἀηδὼν τοῦ θέρους ἀρχομένου, τίκτει [h] δὲ πέντε καὶ ἓξ ᾠά· [a] φωλεύει δὲ ἀπὸ τοῦ μετοπώρου μέχρι τοῦ ἔαρος. Τὰ δὲ ἔντομα καὶ τοῦ χειμῶνος ὀχεύεται καὶ γίνεται, ὅταν εὐημερίαι [i] γένωνται καὶ νότια, ὅσα μὴ [a] φωλεύει αὐτῶν, οἷον [k] μυῖαι καὶ μύρμηκες. Τίκτει δ' ἅπαξ τοῦ ἐνιαυτοῦ τὰ πολλὰ τῶν ἀγρίων, ὅσα μὴ ἐπικυΐσκεται ὥσπερ δασύπους.
4 [1] Ὁμοίως δὲ καὶ τῶν ἰχθύων οἱ πλεῖστοι ἅπαξ, οἷον οἱ [l] χυτοί (καλοῦνται [m] δὲ χυτοὶ οἱ τῷ δικτύῳ [n] περιεχόμενοι), θύννος, πηλαμύς, κεστρεύς, χαλκίδες, [o] κοχλίαι, [p] χρόμις, ψῆττα [q] καὶ τὰ τοιαῦτα, πλὴν ὁ λάβραξ· οὗτος δὲ δὶς τούτων μόνος, γίνεται δ' [r] ὁ τόκος αὐτῷ ὁ ὕστερος ἀσθενέστερος.

[q] νεοττείαν Ca. [r] ἐν ταῖς λοιπαῖς δὲ Aa. [s] καὶ ἐκτρέφειν τὰ νεόττια Ca.Da, καὶ ἐκτρέφει τὰ νεόττια P. [t] οὖν om. Ca. [v] αἰεὶ P.Da. [w] τὰς om. P.Da. [x] αἰεί P.Ca. [y] αἴθυα Aa. [z] περὶ τὴν θάλασσαν πέτραις. τὸ δὲ πλῆθος P.Da. [a] φωλεῖ Aa. et fortasse Ca. [b] πάντων] ὀρνίθων Aa.Ca. [c] ἀλκυόνας P. [d] πρῶτον om. Aa.Ca. [e] περιπταμένη Aa. [f] καὶ ὁ στησίχορος ἐμνήσθη τοῦτον τὸν τρόπον Aa. [g] δὲ καὶ om. P. [h] δὲ] δὲ καὶ P. [i] γίνωνται καὶ νοτίαι P.Da. [k] μύες Aa. [l] χυταῖοι P. [m] δὲ] δὲ οἱ P.Aa.Ca. [n] περιεχόμενοι οἷον θύννος πηλαμίς Da. [o] κολίαι intpp: κοχλίαι P.Da, κτ'. κόλλαιναι Ca, κοιλίαι κόλλαιναι Aa. [p] χρομὶς ψῆτται P.Da. [q] καὶ τὰ τοιαῦτα om. Aa. [r] αὐτῷ ὁ τόκος P.Da.

Digitized by Google

Καὶ ὁ τριχίας δὲ καὶ τὰ πετραῖα [s]δίς, ἡ δὲ τρίγλη [t]μόνη τρίς. 5
Τεκμαίρονται δ' ἐκ τοῦ γόνου· τρὶς γὰρ φαίνεται ὁ γόνος περί
[v]τινας τόπους. [1]Ὁ δὲ σκορπίος τίκτει δίς. Τίκτει δὲ [w]καὶ ὁ
[x]σάργος δίς, ἔαρος καὶ μετοπώρου· ἡ δὲ [y]σάλπη μετοπώρου
ἅπαξ. [2]Ἡ δὲ θυννὶς ἅπαξ τίκτει, ἀλλὰ διὰ τὸ τὰ μὲν [z]πρώϊα 6
τὰ δ' ὄψια προΐεσθαι δὶς δοκεῖ τίκτειν· ἔστι δ' ὁ μὲν πρῶ-
τος τόκος περὶ τὸν Ποσειδεῶνα πρὸ τροπῶν, ὁ δ' ὕστερος
τοῦ ἔαρος. Διαφέρει δ' ὁ θύννος ὁ ἄρρην τοῦ θήλεος, ὅτι ἡ
μὲν ἔχει ὁ δ' οὐκ ἔχει ὑπὸ τῇ γαστρὶ πτερύγιον, ὃ καλοῦσιν
[a]ἀφαρέα. Τῶν δὲ σελαχῶν ἡ ῥίνη μόνη τίκτει δίς· τίκτει 10
γὰρ [b]καὶ ἀρχομένου τοῦ φθινοπώρου καὶ περὶ Πλειάδος δύ-
σιν, εὐημερεῖ δ' ἐν τῷ φθινοπώρῳ μᾶλλον· ὁ δ' εἰς τόκος γί-
νεται περὶ ἑπτὰ ἢ ὀκτώ. Δοκοῦσι δ' ἔνιοι τῶν γαλεῶν, οἷον
[c]ὁ ἀστερίας, δὶς τοῦ μηνὸς τίκτειν· τοῦτο δὲ συμβαίνει, ὅτι
[d]οὐχ ἅμα πάντα λαμβάνει τελέωσιν τὰ ᾠά. [3]Ἔνια δὲ τίκτει 2
πᾶσαν ὥραν, οἷον [e]ἡ [f]σμύραινα. Τίκτει δ' αὕτη ᾠὰ πολλά,
καὶ [g]ἐκ [h]μικροῦ ταχεῖαν τὴν αὔξησιν λαμβάνουσι [i]τὰ [k]γε-
νόμενα, ὥσπερ καὶ τὰ τοῦ ἱππούρου· καὶ γὰρ ταῦτα ἐξ ἐλα-
χίστου μέγιστα γίνεται τάχιστα, πλὴν ἡ μὲν [l]σμύραινα πᾶ-
σαν ὥραν τίκτει, ὁ δ' ἵππουρος ἔαρος. Διαφέρει δ' ὁ [m]σμῦ- 3
ρος καὶ ἡ σμύραινα· ἡ μὲν γὰρ [n]σμύραινα ποικίλον καὶ ἀσθε-
νέστερον, ὁ δὲ σμῦρος [o]ὁμόχρους καὶ ἰσχυρός, καὶ τὸ χρῶμα
[p]ἔχει ὅμοιον τῇ [q]πίτυϊ, καὶ ὀδόντας ἔχει καὶ ἔσωθεν καὶ ἔξω-
θεν. Φασὶ δ' ὥσπερ καὶ ταῦλλα, τὸν μὲν ἄρρενα τὴν δὲ θή-
λειαν εἶναι. [4]Ἐξέρχεται δὲ ταῦτα εἰς [r]τὴν ξηράν, καὶ λαμβά-
νονται πολλάκις. Συμβαίνει μὲν οὖν σχεδὸν πᾶσι ταχεῖαν 4
γίνεσθαι τὴν αὔξησιν τοῖς ἰχθύσιν, οὐχ ἥκιστα δὲ κορακίνῳ

[s] δίς, ἡ δὲ τρίγλη] δὴ τρίγλα P, δὴ τρίγλα δὲ D^a, ἡ δὲ τρίγλη $A^a.C^a$. [t] μόνον $A^a.C^a$. [v] τινας τοὺς τόπους A^a. [w] καὶ om. pr. A^a. [x] σαργὸς $A^a.C^a$. [y] σάλπη τοῦ μ. C^a, σάλπιγξ τοῦ μ. A^a. [z] πρῶτμα τὰ δ' ὄψιμα ποιεῖσθαι P.D^a. [a] ἀφορέα A^a. [b] καὶ om. P. [c] οἱ ἀστερίαι P.D^a. [d] οὐχ ἅπαντα λαμβάνει τελείωσιν P.D^a. [e] ἡ] καὶ ἡ $A^a.C^a$. [f] μύραινα $C^a.D^a$. [g] ἐκ om. C^a. et pr. A^a. [h] μικρῇ pr. A^a. [i] τὰ om. $A^a.C^a$. [k] γεννώμενα ὥσπερ καὶ τὸ P.D^a. [l] μύραινα P.$C^a.D^a$. [m] σμύρος P.$A^a.D^a$. [n] μύραινα διαφόρως ποικίλον D^a. [o] ὁμόχροος P, ὁμόχρως A^a. [p] ὅμοιον ἔχει P.D^a. [q] πιτύϊ P. [r] ἐξέρχονται C^a. [s] τὸ ξηρόν $A^a.C^a$.

Digitized by Google

[t] τῶν μικρῶν· τίκτει δὲ πρὸς τῇ γῇ [v] καὶ βρυώδεσι καὶ δασέ-
5 σιν. Ταχὺ δὲ καὶ ὁ [w] ὀρφὼς ἐκ μικροῦ γίνεται μέγας. Αἱ δὲ πηλαμύδες καὶ οἱ θύννοι τίκτουσιν ἐν τῷ Πόντῳ, [x] ἄλλοθι δ' οὔ· [y] κεστρεῖς δὲ καὶ χρυσόφρυες καὶ λάβρακες μάλιστα οὗ [z] ἂν ποταμοὶ ῥέωσιν· οἱ δ' ὄρκυνες καὶ [a] σκορπίδες καὶ ἄλλα πολ-
11 λὰ γένη ἐν τῷ πελάγει. Τίκτουσι δ' οἱ πλεῖστοι τῶν ἰχθύων ἐν [b] μησὶ τρισί, [c] Μουνυχιῶνι, [d] Θαργηλιῶνι, Σκιρροφοριῶνι· μετοπώρου δ' [e] ὀλίγοι, οἷον σάλπη καὶ [f] σάργος καὶ [g] ὅσα ἄλλα τοιαῦτα μικρὸν πρὸ ἰσημερίας τῆς φθινοπωρινῆς, καὶ
2 νάρκη καὶ [h] ῥίνη. Τίκτει δ' ἔνια καὶ χειμῶνος καὶ θέρους, ὥσπερ ἐλέχθη πρότερον, [i] οἷον χειμῶνος μὲν λάβραξ κεστρεὺς [k] βελόνη, θέρους δὲ περὶ τὸν [l] Ἑκατομβαιῶνα [l] θυννίς, περὶ τροπάς θερινάς· τίκτει δὲ θυλακοειδές, ἐν ᾧ [m] πολλὰ ἐγγίνεται καὶ μικρὰ ᾠά. Καὶ οἱ [n] ῥυάδες τοῦ θέρους τίκτουσιν.
3 [o] Ἄρχονται [p] δὲ [p] κύειν τῶν κεστρέων οἱ μὲν [q] χελῶνες τοῦ Ποσειδεῶνος καὶ ὁ [r] σάργος καὶ ὁ [s] σμύξων καλούμενος καὶ ὁ κέφαλος· [t] κύουσι δὲ τριάκοντα ἡμέρας. [u] Ἔνιοι δὲ τῶν κε-
4 στρέων οὐ γίνονται ἐκ συνδυασμοῦ, ἀλλὰ φύονται ἐκ τῆς [i] ἰλύος [v] καὶ τῆς [w] ἄμμου. [x] Ὡς μὲν οὖν ἐπὶ τὸ πολὺ τοῦ ἔαρος τὰ πλεῖστα κυΐσκεται, οὐ μὴν ἀλλά, [x] καθάπερ εἴρηται, καὶ θέρους ἔνια καὶ φθινοπώρου καὶ χειμῶνος· ἀλλ' οὔτε ἅπασιν ὁμοίως τοῦτο συμβαίνει οὔθ' ἁπλῶς οὔτε καθ' ἕκαστον [y] γένος, ὥσπερ τοῖς πλείστοις τοῦ ἔαρος· οὐδὲ δὴ κύουσι πολλὰ κυή-
5 ματα [z] ὁμοίως ἐν τοῖς ἄλλοις χρόνοις. [a] Ὅλως δὲ δεῖ μὴ λελῆθέναι ὅτι, ὥσπερ [a] καὶ τῶν φυομένων καὶ τῶν ζῴων τῶν

[t] τῷ μικρῷ D^a, μικρῷ $A^a.C^a$. [v] καὶ πρὸς τοῖς βρ. P.D^a. [w] ὀρφὸς P.D^a. [x] ἄλλοθεν A^a. [y] οἱ δὲ κεστρεῖς καὶ οἱ χρυσόφρυες καὶ οἱ λάβρακες P.D^a. [z] ἂν] ἄν ποτε P.D^a. [a] σκομβρίδες $A^a.C^a$. [b] τρισὶ μησὶ P.D^a. [c] μουνυχίωνι P. [d] θαργηλιῶνι σκιροφοριῶνι D^a, θαργηλίωνι σκιροφορίωνι P, καὶ σκιρροφοριῶνι θαργηλιῶνι $A^a.C^a$. [e] ὀλίγη σάλπη P, omisso οἷον. [f] σαργὸς C^a, σαρὼς A^a. [g] ὅσα om. P.D^a. [h] ῥίνα D^a. [i] οἷον om. D^a. [k] βελώνη P, βελλόνη δὲ A^a. [l] θυννίδες $A^a.C^a$, θυννὶς δὲ P.D^a. [m] πολλὰ ἐγγίνεται μικρὰ $A^a.C^a$, μικρὰ γίνεται καὶ πολλὰ P.D^a. [n] ῥοάδες C^a. [o] δὲ] δὲ καὶ P.D^a. [p] τίκτειν A^a. [q] χάλωνες P.D^a. [r] σαργὸς $A^a.C^a$. [s] σμύζων C^a, μύξων P.D^a. [t] μύουσι A^a. [u] καὶ ἐκ τῆς A^a. [w] ψάμμου ὡς μὲν ἐπὶ P.D^a. [x] καθὼς P.D^a. [y] γένος οὔτε τοῖς πλείστοις ὥσπερ $A^a.C^a$. [z] ὅμοια A^a. [a] καὶ post ὥσπερ om. P.D^a.

Digitized by Google

τετραπόδων πολλὴν αἱ χῶραι ποιοῦσι διαφορὰν οὐ μόνον πρὸς τὴν ἄλλην τοῦ σώματος εὐημερίαν ἀλλὰ καὶ πρὸς [b] τὸ πλεονάκις ὀχεύεσθαι καὶ γεννᾶν, οὕτω καὶ περὶ τοὺς [c] ἰχθῦς πολλὴν ποιοῦσι τὴν διαφορὰν. [d] αὐτοὶ οἱ τόποι οὐ μόνον κατὰ μέγεθος καὶ εὐτροφίαν ἀλλὰ καὶ κατὰ τοὺς τόκους καὶ τὰς ὀχείας, τοῦ ἔνθα μὲν πλεονάκις ἔνθα δ' ἐλαττονάκις γεννᾶν τὰ αὐτά.

Τίκτει δὲ καὶ τὰ μαλάκια τοῦ ἔαρος, καὶ ἐν τοῖς πρώτοις 12
[e] τίκτει τῶν θαλαττίων ἡ [f] σηπία. Τίκτει δὲ πᾶσαν ὥραν, ἀποτίκτει δ' ἐν ἡμέραις [g] πέντε καὶ δέκα. [v]Οταν [h] δὲ τέκῃ τὰ ᾠά, ὁ ἄρρην [i] παρακολουθῶν καταφυσᾷ τὸν [k] θολόν, καὶ γίνεται [l] στιφρά. Βαδίζουσι δὲ κατὰ ζυγά· ἔστι δὲ ὁ ἄρρην τῆς θηλείας ποικιλώτερος καὶ μελάντερος τὸν νῶτον. [t]Ο δὲ 2
πολύπους [m] ὀχεύεται τοῦ χειμῶνος, τίκτει [n] δὲ τοῦ ἔαρος, [o] ὅτε καὶ [p] φωλεύει περὶ δύο μῆνας. Τίκτει δὲ τὸ ᾠὸν καθάπερ βοστρύχιον, ὅμοιον τῷ τῆς λεύκης καρπῷ. [u]Εστι δὲ πολύγονον τὸ ζῷον· ἐκ γὰρ τοῦ ἀποτικτομένου ἄπειρον γίνεται τὸ πλῆθος. Διαφέρει δ' ὁ ἄρρην τῆς θηλείας τῷ τε τὴν 3
κεφαλὴν ἔχειν προμηκεστέραν καὶ τὸ καλούμενον ὑπὸ τῶν ἁλιέων αἰδοῖον ἐν τῇ πλεκτάνῃ λευκόν. [x]Επῳάζει δέ, ὅταν τέκῃ· διὸ καὶ χείριστοι γίνονται· οὐ γὰρ νέμονται κατὰ [q] τοῦτον τὸν χρόνον. Γίνονται δὲ καὶ αἱ πορφύραι [r] περὶ τὸ ἔαρ, καὶ οἱ κήρυκες λήγοντος τοῦ χειμῶνος. Καὶ ὅλως τὰ 4
ὀστρακόδερμα ἔν τε τῷ ἔαρι [s] φαίνεται τὰ καλούμενα ᾠὰ ἔχοντα καὶ ἐν τῷ μετοπώρῳ, πλὴν τῶν ἐχίνων τῶν ἐδωδίμων· οὗτοι δὲ μάλιστα [t] μὲν [v] ἐν ταύταις ταῖς ὥραις, οὐ μὴν ἀλλὰ καὶ ἀεὶ ἔχουσι, καὶ μάλιστα ταῖς πανσελήνοις καὶ ταῖς ἀλεεινα ῖς ἡμέραις, πλὴν τῶν ἐν τῷ εὐρίπῳ τῶν [w] Πυρραίων· ἐκεῖνοι δὲ ἀμείνους τοῦ χειμῶνος. Εἰσὶ δὲ μικροὶ μέν, πλήρεις δὲ τῶν 5

[b] τὸ om. C[a]. [c] ἰχθύας C[a]. [d] αὐτοῖς A[a].C[a]. [e] τίκτει δὲ τῶν P.D[a]. [f] σηπύα A[a], σιπύα C[a]. [g] δέκα πέντε P.D[a]. [h] δ' ἐπιτέκῃ P. [i] κατακολουθῶν A[a].C[a]. [k] θορόν A[a]. [l] στρυφνά A[a], στριφνά C[a]. [m] ὀχεύει A[a].D[a]. [n] δὲ τοῦ—τίκτει om. P. [o] ὅτε om. D[a]. [p] φωλεῖ A[a]. [q] τὸν καιρὸν τοῦτον A[a].C[a]. [r] περὶ om. P.D[a]. [s] φαίνονται A[a].D[a]. [t] μὲν om. A[a]. [v] ἐν om. P.D[a]. [w] πυρέων A[a].C[a], πυρείων P.

Digitized by Google

ᾠῶν. [x] Κύοντες δὲ φαίνονται καὶ οἱ κοχλίαι πάντες ὁμοίως τὴν αὐτὴν ὥραν.

13 Τῶν δ' [y] ὀρνέων τὰ μὲν ἄγρια, ὥσπερ εἴρηται, ἅπαξ [z] ὀχεύεται καὶ τίκτει τὰ πλεῖστα, χελιδὼν δὲ δὶς τίκτει [a] καὶ [b] κόττυφος. Τὰ μὲν οὖν πρῶτα τοῦ κοττύφου ὑπὸ χειμῶνος ἀπόλλυται ([c] πρωϊαίτατα γὰρ τίκτει [d] τῶν ὀρνέων ἁπάντων), 2 τὸν δ' ὕστερον τόκον εἰς τέλος ἐκτρέφει. [v] Ὅσα [e] δὲ ἥμερα ἢ ἡμεροῦσθαι δύναται, ταῦτα [f] δὲ πλεονάκις, οἷον αἱ περιστεραὶ [g] καθ' ἅπαν τὸ θέρος, καὶ τὸ τῶν ἀλεκτορίδων γένος· ὀχεύουσι [h] γὰρ οἱ ἄρρενες καὶ [i] ὀχεύονται αἱ θήλειαι τῶν ἀλεκτορίδων καὶ τίκτουσιν ἀεί, πλὴν [k] τῶν [l] ἐν χειμῶνι τροπικῶν 3 ἡμερῶν. Τῶν δὲ περιστεροειδῶν [m] πλείω τυγχάνει [n] ὄντα γένη· ἔστι γὰρ ἕτερον [o] περιστερὰ καὶ πελειάς. [1] Ἐλάττων μὲν οὖν ἡ πελειάς, τιθασσὸν δὲ γίνεται μᾶλλον ἡ περιστερά· ἡ δὲ πελειὰς καὶ μέλαν καὶ μικρὸν καὶ ἐρυθρόπουν καὶ 4 τραχύπουν, διὸ καὶ οὐθεὶς τρέφει. Μέγιστον μὲν οὖν τῶν τοιούτων [p] ἡ φάττα ἐστί, δεύτερον δὲ ἡ οἰνάς· αὕτη δὲ [q] μικρῷ μείζων ἐστὶ τῆς περιστερᾶς· ἐλάχιστον δὲ τῶν τοιούτων [r] ἡ τρυγών. Τίκτουσι δ' αἱ περιστεραὶ πᾶσαν ὥραν καὶ ἐκτρέφουσιν, ἐὰν τόπον ἔχωσιν ἀλεεινὸν καὶ τὰ ἐπιτήδεια· εἰ δὲ μή, τοῦ θέρους μόνον. Τὰ δ' [s] ἔγγονα [t] τοῦ ἔαρος βέλτιστα [v] καὶ τοῦ φθινοπώρου· τὰ δὲ τοῦ θέρους καὶ [w] ἐν ταῖς θερμημερίαις χείριστα.

14 Διαφέρουσι δὲ [x] καὶ κατὰ τὴν ἡλικίαν τὰ ζῷα πρὸς τὴν ὀχείαν. Πρῶτον μὲν οὖν οὐχ ἅμα τοῖς πολλοῖς ἄρχεταί [y] τε τὸ σπέρμα ἐκκρίνεσθαι καὶ γεννᾶν δύναται, ἀλλ' ὕστερον· [z] τὸ

[x] κύονες P, ποιοῦντες Da. [y] ὀρνίθων P.Da. [z] τίκτει καὶ ὀχεύεται P.Aa.Ca. [a] καὶ] καὶ ὁ P.Aa.Da. [b] κότυφος P.Da. [c] πρώτιστα P.Da. [d] πάντων τῶν ὀρνέων Da, τῶν ὀρνέων πάντων P. [e] δὲ] δὲ ἡ Ca. [f] δὲ om. P. [g] κατὰ παντὸς τοῦ θέρους Da. et omisso τοῦ P. [h] γὰρ] δὲ Ca, γὰρ καὶ P.Da. [i] ὀχεύονται om. P.Da. [k] τῶν post χειμῶνι P.Da. [l] ἐν] ἐν τῷ P.Ca.Da. [m] τυγχάνει πλείω P.Aa.Da. [n] ὄντα τὰ γένη P.Da. [o] πελειὰς καὶ περιστερά P.Da. [p] ἡ om. Da. [q] μικρὸν μεῖζόν Aa. [r] ἡ om. Aa.Ca. [s] ἔγγονα P.Aa.Ca. [t] βέλτιστα τοῦ ἔαρος P.Ca.Da. [v] καὶ] ἢ Da. [w] ἐν om. Aa.Ca. [x] καὶ om. Aa. [y] τό τε P.Da. [z] τὰ Ca.

Digitized by Google

γὰρ τῶν νέων ἐν πᾶσι τοῖς ζῴοις τὸ [a]μὲν πρῶτον [b]ἄγονον, γονίμων δ' ὄντων ἀσθενέστερα καὶ ἐλάττω τὰ [c]ἔκγονα. Τοῦ- 2
το δὲ μάλιστα δῆλον ἐπί τε [d]τῶν ἀνθρώπων καὶ τῶν ζῳοτόκων τετραπόδων καὶ ἐπὶ τῶν ὀρνίθων· τῶν μὲν γὰρ τὰ [c]ἔκγονα ἐλάττω, τῶν δὲ τὰ ᾠά. Αἱ δ' ἡλικίαι [e]τοῖς ὀχεύουσιν αὐτοῖς μὲν πρὸς [f]αὐτοὺς τοῖς γένεσι τοῖς πλείστοις σχεδὸν κατὰ τὸν αὐτὸν γίνονται χρόνον, ἐὰν μή τι [g]προτερῇ διά τι τερατῶδες [h]πάθος ἢ διὰ βλάβην τῆς φύσεως. Τοῖς μὲν οὖν 3
ἀνθρώποις ἐπισημαίνει κατά τε τὴν τῆς φωνῆς μεταβολὴν καὶ τῶν αἰδοίων οὐ μόνον μεγέθει ἀλλὰ καὶ εἴδει, καὶ ἐπὶ τῶν [i]μαστῶν ὡσαύτως, μάλιστα δὲ τῇ τριχώσει τῆς ἥβης. [j]Ἄρχεται [k]δὲ φέρειν τὸ σπέρμα περὶ τὰ δὶς ἑπτὰ ἔτη, [l]γεννητικὸς δὲ περὶ τὰ τρὶς ἑπτά. Τοῖς δ' ἄλλοις ζῴοις ἥβη μὲν οὐ 4
γίνεται (τὰ μὲν γὰρ ὅλως οὐκ ἔχει τρίχας, τὰ δ' οὐκ ἔχει ἐν τοῖς ὑπτίοις, ἢ ἐλάττους τῶν ἐν τοῖς πρανέσιν), ἡ δὲ φωνὴ [m]μεταβάλλουσα ἐν ἐνίοις ἐπίδηλός ἐστιν· τοῖς δ' ἕτερα τοῦ σώματος μόρια ἐπισημαίνει τήν [n]τ' ἀρχὴν [o]τοῦ σπέρμα ἔχειν καὶ [p]τοῦ τὸ γόνιμον [p]ἤδη. Τὴν [q]δὲ φωνὴν [r]ὅλως ἔχει τὸ 5
θῆλυ [s]ἐν τοῖς πλείστοις ὀξυτέραν, καὶ τὰ νεώτερα τῶν [t]πρεσβυτέρων, [v]ἐπεὶ καὶ οἱ ἔλαφοι οἱ ἄρρενες τῶν θηλειῶν φθέγγονται [w]βαρύτερον. Φθέγγονται δ' οἱ μὲν ἄρρενες, ὅταν ἡ ὥρα τῆς ὀχείας ᾖ, αἱ δὲ θήλειαι, ὅταν φοβηθῶσιν. [j]Ἔστι δ' 6
ἡ μὲν τῆς θηλείας φωνὴ βραχεῖα, ἡ δὲ τοῦ ἄρρενος ἔχει μῆκος. Καὶ ἡ τῶν κυνῶν δὲ γηρασκόντων γίνεται βαρυτέρα φωνή. Καὶ τῶν ἵππων δὲ διαφέρουσιν αἱ φωναί· εὐθὺς [x]μὲν 7
γὰρ [y]γενόμεναι [z]ἀφιᾶσι φωνὴν [a]λεπτὴν καὶ μικρὰν αἱ θή-

[a] μὲν γὰρ πρῶτον Ca. [b] ἄγονα Ca, ἀγῶνα Aa. [c] utrobique ἔγγονα P.Aa. [d] τῶν post τε om. Ca. [e] τοῖς om. Aa. [f] αὐτοῖς Aa.Ca. [g] προτερῇ ἡ διά P. [h] πάθος] πρᾶγμα P.Da. [i] μασθῶν ὁμοίως Aa. [k] δὲ φέρειν] διαφέρειν Da. [l] γεννητικὸς Sylburgius: codices γεννητικά. [m] μεταβάλλουσα ἐνίοις ἔνδηλός P.Da. [n] τ' om. Da. [o] τοῦ] τὸ P.Da. [p] τοῦ et ἤδη om. P.Da. [q] δὲ om. P. [r] ὅλως om. P.Da. [s] ὀξυτέραν ἐν τοῖς πλείστοις Aa. [t] πρεσβυτέρων] ὀξυτέρων Aa. [v] ἐπεὶ—ἄρρενες] καὶ οἱ ἄρρενες ἔλαφοι Da. [w] τραχύτερον Ca. [x] μὲν om. P.Aa.Da. [y] γινόμεναι Aa.Ca, γεννώμεναι Da, γεννώμενα P. [z] ἀφίησι P. [a] μικρὰν καὶ λεπτὴν Ca.

Digitized by Google

λειαι, οἱ δ' ἄρρενες μικρὰν μέν, μείζω [b] μέντοι γε καὶ βαρυτέραν τῆς θηλείας· τοῦ δὲ χρόνου [c] προϊόντος μείζονα· [d] διετὴς δ' ἐπειδὰν γένηται καὶ τῆς ὀχείας ἄρξηται, φωνὴν ἀφίησιν ὁ μὲν ἄρρην μεγάλην καὶ βαρεῖαν, ἡ δὲ θήλεια μείζω καὶ λαμπροτέραν ἢ τέως, ἄχρι ἐτῶν εἴκοσιν ὡς ἐπὶ τὸ πολύ· μετὰ μέντοι τὸν χρόνον τοῦτον ἀσθενεστέραν ἀφιᾶσι καὶ οἱ ἄρρενες
8 καὶ αἱ [e] θήλειαι. Ὡς μὲν [f] οὖν ἐπὶ τὸ πολύ, καθάπερ εἴπομεν, διαφέρει ἡ φωνὴ τῶν ἀρρένων καὶ τῶν θηλειῶν [g] ἐν τῷ βαρύτερον φθέγγεσθαι τὰ ἄρρενα τῶν θηλειῶν, [h] ὅσων ἐστὶν [i] ἀπόστασις τῆς φωνῆς· οὐ μὴν ἐν πᾶσί [k] γε τοῖς ζῴοις, ἀλλ' ἐνίοις τοὐναντίον, οἷον ἐπὶ τῶν βοῶν· ἐπὶ γὰρ τούτων τὸ θῆλυ τοῦ ἄρρενος βαρύτερον φθέγγεται, καὶ οἱ μόσχοι τῶν τελείων.
9 Διὸ καὶ τὰς φωνὰς τὰ ἐκτεμνόμενα μεταβάλλουσιν ἐναντίως· εἰς τὸ θῆλυ γὰρ μεταβάλλουσι τὰ ἐκτεμνόμενα.
10 Οἱ δὲ χρόνοι τῆς ὀχείας κατὰ τὴν ἡλικίαν ἔχουσιν ὧδε τοῖς ζῴοις. Πρόβατον μὲν καὶ αἴξ αὐτοετὲς [l] ὀχεύεται καὶ κύει, μᾶλλον δὲ ἡ αἴξ· καὶ οἱ ἄρρενες δ' ὀχεύουσιν ὡσαύτως. Τὰ δ' [m] ἔκγονα τῶν ἀρρένων διαφέρει ἐπὶ τούτων καὶ τῶν ἄλλων· οἱ γὰρ ἄρρενες βελτίους [n] γίνονται [o] ἢ τῷ ὕστερον
11 [p] ἔτει, ὅταν [q] γηράσκωσιν. Ὑς δ' [r] ὀχεύει μὲν καὶ ὀχεύεται πρῶτον ὀκτάμηνος, τίκτει δ' [s] ἡ θήλεια [t] μὲν [v] ἐνιαυσία (οὕτω γὰρ συμβαίνει ὁ χρόνος τῆς κυήσεως), ὁ δ' ἄρρην γεννᾷ μὲν
12 ὀκτάμηνος, φαῦλα μέντοι πρὶν γενέσθαι ἐνιαύσιος. Οὐ πανταχοῦ δέ, ὥσπερ εἴρηται, [w] ὁμοίως συμβαίνουσιν αἱ ἡλικίαι· ἐνιαχοῦ [x] μὲν γὰρ [y] αἱ [z] ὗες ὀχεύονται μὲν καὶ ὀχεύουσι τετράμηνοι, ὥστε δὲ γεννᾶν καὶ ἐκτρέφειν ἑξάμηνοι, ἐνιαχοῦ δ' οἱ κάπροι δεκάμηνοι ἄρχονται ὀχεύειν, [a] ἀγαθοὶ δὲ μέχρι [b] ἐπὶ
13 [c] τριετές. Κύων δ' ὡς ἐπὶ τὸ πολὺ [d] μὲν ὀχεύεται [e] ἐνιαυσία

[b] μέντοι γε] δὲ A^a. [c] περιόντος A^a. [d] διέτης A^a. [e] θήλεις D^a. [f] οὖν om. $P.D^a$. [g] ἐν—θηλειῶν om. $A^a.C^a$. [h] ὅσον $P.A^a$. [i] ἀπόστασις $P.D^a$, ἀπότασίς τις C^a. [k] τε D^a. [l] ὀχεύονται $P.D^a$. [m] ἔγγονα $P.A^a$. [n] γίνεται A^a. [o] ἢ om. $A^a.C^a$. [p] ἔτι P. [q] γηράσωσιν A^a. [r] ὀχεύεται μὲν καὶ ὀχεύει A^a. [s] ἡ om. $P.D^a$. [t] μὲν om. $A^a.C^a$. [v] hic et sect. 13, et 16. ἐνιαύσια $P.D^a$. [w] ὁμοίως om. $P.D^a$. [x] μὲν om. $P.C^a.D^a$. [y] οἱ C^a, om. $P.D^a$. [z] ὗς D^a. [a] ἀγαθὴ A^a. [b] ἐπὶ om. $P.D^a$. [c] τριετίας $P.C^a.D^a$. [d] μὲν om. $A^a.C^a$. [e] ἐνιαύσια $P.D^a$.

Digitized by Google

καὶ ὀχεύει ἐνιαύσιος, ἐνίοτε δὲ συμβαίνει ταῦτα καὶ ὀκταμήνοις· μᾶλλον δὲ [f]τοῦτο γίνεται ἐπὶ τῶν [g]ἀρρένων [h]ἢ τῶν θηλειῶν. Κύει δ' ἐξήκοντα καὶ μίαν [h]ἢ [h]καὶ δύο [i]ἢ τρεῖς ἡμέρας τὸ μακρότατον· [k]ἔλαττον δ' οὐ φέρει τῶν [l]ἑξήκονθ' ἡμερῶν, ἀλλ' ἄν τι [m]καὶ γένηται, οὐκ ἐκτρέφεται εἰς τέλος. Τεκοῦ- 14
σα δὲ πάλιν ὀχεύεται ἕκτῳ μηνί, καὶ οὐ πρότερον. [v]Ἵππος δ' ὀχεύειν ἄρχεται [n]διετὴς καὶ [o]ὀχεύεσθαι, ὥστε καὶ γεννᾶν· τὰ μέντοι [p]ἔκγονα [q]τὰ κατὰ τούτους τοὺς χρόνους ἐλάττω καὶ ἀσθενικώτερα. [r]Ὡς δ' ἐπὶ τὸ πλεῖστον [r]τριετὴς ὀχεύει καὶ ὀχεύεται. Καὶ ἐπιδίδωσι δ' ἀεὶ ἐπὶ [s]τὸ [t]βελτίω τὰ [p]ἔκγονα [v]γεννᾶν μέχρι ἐτῶν εἴκοσιν. [w]Ὀχεύει δ' ὁ ἵππος ὁ ἄρρην 15
[w]μέχρι ἐτῶν τριάκοντα [x]καὶ τριῶν, ἡ δὲ θήλεια ὀχεύεται [y]μέχρι τετταράκοντα ἐτῶν, ὥστε συμβαίνει σχεδὸν διὰ βίου γίνεσθαι τὴν ὀχείαν· ζῇ γὰρ ὡς ἐπὶ τὸ πολὺ ὁ μὲν ἄρρην περὶ [z]πέντε καὶ τριάκοντα ἔτη, ἡ δὲ θήλεια [a]πλείω τῶν [b]τετταράκοντα· ἤδη δέ τις ἐβίωσεν ἵππος [c]ἔτη ἑβδομήκοντα καὶ πέντε. [d]Ὄνος δὲ τριακοντάμηνος ὀχεύει καὶ ὀχεύεται. Οὐ 16
μέντοι γεννῶσί γε ὡς ἐπὶ τὸ πολὺ [d]ἀλλ' ἢ τριετὴς ἢ διετὴς καὶ ἑξάμηνος. [e]Ἤδη δὲ καὶ [e]ἐνιαυσία ἐκύησεν ὥστε καὶ [f]ἐκτραφῆναι. [g]Καὶ βοῦς ἐνιαυσία ἔτεκεν ὥστε [h]καὶ ἐκτραφῆναι· καὶ τὸ μέγεθος ηὐξήθη ὅσον ἔμελλε, καὶ οὐκέτι. Αἱ μὲν οὖν ἀρχαὶ τοῖς ζῴοις τούτοις τῆς [i]γεννήσεως τοῦτον ἔχουσι τὸν τρόπον. Γεννᾷ [k]δ' [l]ἄνθρωπος [m]μὲν τὸ ἔσχατον μέχρι ἑβδο- 17
μήκοντα ἐτῶν ὁ ἄρρην, γυνὴ [n]δὲ μέχρι πεντήκοντα. [o]Ἀλλὰ τοῦτο μὲν [o]σπάνιον· ὀλίγοις γὰρ [p]γεννᾶται ἐν ταύταις ταῖς

[f] ταῦτα P.D[a]. [g] θηλειῶν ἢ τῶν ἀρρένων P.D[a]. [h] καὶ ante δύο om. P.D[a]. [i] ἢ] ἢ καὶ A[a].C[a]. [k] ἔλαττον om. pr. A[a]. [l] ἑξηκονθημέρων A[a]. [m] καὶ om. P.D[a]. [n] διέτης C[a]. [o] ὀχεύεται P.D[a]. [p] ἔγγονα utrobique P.A[a]. [q] τὰ om. P.D[a]. [r] τριέτης P.C[a], καὶ τριέτης A[a]. [s] τὰ A[a].C[a]. [t] βέλτιον D[a]. [v] γεννᾷ δὲ μέχρι A[a].C[a], γεννᾶν ἄχρι P. [w] ἄχρι P. [x] καὶ om. P. [y] ἄχρι ἐτῶν τεσσαράκοντα P.D[a]. [z] τριάκοντα πέντε P.D[a]. [a] πλέον A[a]. [b] τεσσαράκοντα P.D[a]. [c] καὶ ἑβδομήκοντα πέντε ἔτη P.D[a], ἔτη ἑβδομήκοντα πέντε C[a]. [d] ἀλλὰ διετεῖς ἢ καὶ τριετεῖς καὶ ἑξάμηνοι P.D[a]. [e] ἐνιαύσια P.D[a]. [f] τραφῆναι A[a]. [g] καὶ βοῦς—ἐκτραφῆναι om. A[a]. [h] καὶ post ὥστε om. P. [i] γενέσεως A[a].C[a]. [k] δ'] δὲ ὁ P.C[a]. [l] ἄνθρωπος] ἄρρην C[a], omissis mox ὁ ἄρρην. [m] μὲν] μετὰ C[a], om. P.D[a]. [n] δὲ] δὲ τὸ D[a]. [o] σπάνιον γίνεται. ὀλίγοις P. [p] γεγένηται P.D[a].

Digitized by Google

ἡλικίαις [q] τέκνα· ὡς δ' ἐπὶ τὸ πολὺ τοῖς μὲν πέντε καὶ ἑξήκοντα ὅρος, [r] ταῖς δὲ πέντε καὶ [s] τετταράκοντα. Πρόβατον δὲ τίκτει μέχρι ἐτῶν ὀκτώ, ἐὰν δὲ θεραπεύηται καλῶς, καὶ μέχρι ἕνδεκα· σχεδὸν [t] δὲ διὰ βίου [v] συμβαίνει ὀχεύειν καὶ ὀχεύεσθαι [w] ἀμφοτέροις. Οἱ δὲ τράγοι πίονες ὄντες ἧττον γόνιμοι εἰσιν (ἀφ' ὧν καὶ τὰς ἀμπέλους, ὅταν μὴ φέρωσι, [x] τραγᾶν καλοῦσιν), ἀλλὰ [y] παρισχναινόμενοι δύνανται [z] ὀχεύοντες γεννᾶν. [1] Ὀχεύουσι δ' οἱ κριοὶ [a] τὰς πρεσβυτάτας πρῶτον, τὰς δὲ νέας [b] οὐ διώκουσιν. Τίκτουσι δ', ὥσπερ εἴρηται ἐν τοῖς [c] πρότερον, αἱ νέαι ἐλάττω τὰ [d] ἔγγονα τῶν πρεσβυτέρων. Κάπρος δ' ἀγαθὸς μὲν [e] ὀχεύειν μέχρι ἐπὶ [f] τριετές, τῶν δὲ πρεσβυτέρων χείρω τὰ ἔγγονα· οὐ γὰρ ἔτι γίνεται αὐτῷ [g] ἐπίδοσις οὐδὲ ῥώμη. [1] Ὀχεύειν δ' εἴωθε χορτασθεὶς καὶ [h] μὴ προβιβάσας ἄλλην· εἰ δὲ μή, [i] ὀλιγοχρονιώτερα ἡ ὀχεία γίνεται καὶ μικρότερα τὰ [k] ἔγγονα. Τίκτει δ' ἐλάχιστα μὲν ὗς, ὅταν [l] ᾖ πρωτοτόκος· δευτεροτόκος δ' οὖσα ἀκμάζει· γηράσκουσα δὲ τίκτει μὲν ὁμοίως, ὀχεύεται δὲ βραδύτερον· ὅταν δὲ πεντεκαιδεκαετεῖς ὦσιν, οὐκέτι γεννῶσιν ἀλλὰ [m] γραῖαι γίνονται. [1] Ἐὰν δ' [n] εὐτραφὴς ᾖ, θᾶττον ὁρμᾷ πρὸς τὰς ὀχείας καὶ νέα καὶ γηράσκουσα· ἔγκυος δ' οὖσα ἐὰν πιαίνηται σφόδρα, ἔλαττον [o] ἴσχει τὸ γάλα μετὰ τὸν τόκον. Τὰ δ' ἔγκυα κατὰ μὲν τὴν ἡλικίαν βέλτιστα ἐν ἀκμῇ, κατὰ δὲ τὰς ὥρας, ὅσα τοῦ χειμῶνος ἀρχομένου γίνεται· χείριστα δὲ τὰ θερινά· καὶ γὰρ [p] μικρὰ καὶ λεπτὰ καὶ ὑγρά. [1] Ὁ δ' ἄρρην, ἐὰν μὲν [n] εὐτραφὴς ᾖ, πᾶσαν ὥραν ὀχεύειν δύναται, καὶ μεθ' ἡμέραν καὶ νύκτωρ· εἰ δὲ μή, μάλιστα τό [q] γ' ἔωθεν·

[q] τέκνον C^a. [r] ταῖς] τοῖς A^a, τῶν P. [s] τεσσαράκοντα $C^a.D^a$, σαράκοντα P. [t] δὲ καὶ διὰ D^a. [v] ὀχεύειν συμβαίνει A^a, συμβαίνει καὶ ὀχεύειν P. [w] ἀμφότερα C^a. [x] τράγαν A^a. [y] παρισχραινόμενοι C^a. [z] ὀχεύεσθαι καὶ γ. $A^a.C^a$. [a] τὰς πρεσβυτέρας A^a, ταῖς πρεσβυτάταις P.D^a. [b] οὐ om. P.D^a. [c] προτέροις C^a. [d] ἔγγονα P. [e] ὀχεύει $A^a.C^a$. [f] τριετοῦς P.D^a. [g] ἐπίρρωσις C^a. [h] μὴ om. P.D^a. [i] ὀλίγον χρονιωτέρα P. et γρ. A^a, ὀλιγοχειροτέρα C^a, ὀλιγοχοιροτέρα A^a. [k] ἔγγονα A^a. [l] ᾖ πρωτότοκος C^a, πρωτότοκος ᾖ P, πρωτόγονος ᾖ D^a. [m] γραῖα γίνονται C^a, ἀγριαίνονται P.D^a. [n] εὐτροφήσῃ $A^a.C^a$. [o] ἔχει D^a. [p] μικρὰ καὶ om. D^a. [q] γ' om. P.D^a.

Digitized by Google

καὶ γηράσκων ἧττον ἀεί, ὥσπερ εἴρηται καὶ πρότερον. Πολ- 23
λάκις δ' οἱ ἀδύνατοι [r] ἢ διὰ τὴν ἡλικίαν ἢ [s] δι' ἀσθένειαν, οὐ
δυνάμενοι ταχέως [t] ὀχεύειν, κατακλινομένης τῆς θηλείας διὰ τὸ
κάμνειν τῇ [v] στάσει συγκατακλιθέντες πλησιάζουσιν. Κυΐ-
σκεται δὲ μάλιστα [w] ἡ ὗς, ἐπειδὰν θυῶσα καταβάλλῃ τὰ ὦτα·
εἰ δὲ [x] μή, [y] ἀναθυᾷ πάλιν. [z] Αἱ δὲ κύνες ὀχεύονται οὐ διὰ βίου 24
ἀλλὰ μέχρι [a] ἀκμῆς τινός· ὡς [b] μὲν ἐπὶ τὸ πολὺ μέχρι ἐτῶν
δώδεκα αἵ τ' ὀχεῖαι συμβαίνουσι καὶ αἱ κυήσεις αὐτῶν· οὐ μὴν
ἀλλ' ἤδη τισὶ καὶ ὀκτωκαίδεκα ἔτη [c] γεγονόσι καὶ εἴκοσι [d] συν-
έβη καὶ θηλείαις [e] ὀχευθῆναι καὶ ἄρρεσι γεννῆσαι. [1] Ἀφαιρεῖ- 25
ται δὲ καὶ τὸ γῆρας ὥστε μὴ γεννᾶν μηδὲ τίκτειν, καθάπερ
[f] καὶ ἐπὶ τῶν ἄλλων. [2] Ἡ δὲ κάμηλος ἔστι μὲν [g] ὀπισθουρητι-
κόν, καὶ ὀχεύεται ὥσπερ εἴρηται πρότερον· τῆς δ' ὀχείας ὁ
χρόνος ἐν τῇ [h] Ἀραβίᾳ κατὰ τὸν Μαιμακτηριῶνα μῆνα. Κύει
δὲ δώδεκα μῆνας, τίκτει δὲ ἕν· ἔστι γὰρ μονοτόκον. [3] Ἄρχεται 26
δὲ τῆς ὀχείας ἡ θήλεια τριετὴς οὖσα καὶ ὁ ἄρρην τριετὴς [i] ὤν·
μετὰ δὲ τὸν τόκον ἓν ἔτος διαλιποῦσα ὀχεύεται ἡ θήλεια. [4] Ὁ
δ' ἐλέφας ἄρχεται μὲν βαίνεσθαι ὁ μὲν νεώτατος δέκ' ἐτῶν,
ὁ δὲ πρεσβύτατος πεντεκαίδεκα· ὁ δ' ἄρρην βαίνει [k] πεντέτης
ὢν ἢ ἑξέτης. Χρόνος δὲ τῆς ὀχείας τὸ ἔαρ. Πάλιν δὲ βαίνει 27
μετὰ τὴν ὀχείαν διὰ τρίτου ἔτους· ὃν δ' ἂν ἐγκύμονα ποιήσῃ,
τούτου πάλιν οὐχ ἅπτεται. Κύει δ' ἔτη δύο, τίκτει δ' ἕν·
ἔστι γὰρ μονοτόκον· τὸ δ' ἔμβρυον γίνεται [l] ὅσον μόσχος
δίμηνος ἢ τρίμηνος.

Περὶ μὲν οὖν τῆς ὀχείας τῶν ζῴων τῶν ὀχευομένων τοῦτον
ἔχει τὸν τρόπον· Περὶ δὲ τῆς γενέσεως [m] καὶ τῶν ὀχευομένων 15
καὶ τῶν ἀνοχεύτων λεκτέον, καὶ πρῶτον περὶ τῶν ὀστρακοδέρ-
μων· τοῦτο γάρ ἐστιν ἀνόχευτον μόνον ὡς εἰπεῖν [n] ὅλον τὸ

[r] ἢ ante διὰ om. P.D[a]. [s] δι' om. P.D[a]. [t] ὀχεύειν διὰ τὴν ἀδυναμίαν κατ' P. [v] συστάσει P.D[a]. [w] ἡ om. A[a].C[a]. [x] μή] μὴ ὅταν A[a].C[a], μὴ οὖ P, μὴ οὖ ἀλλ' D[a]. [y] ἀναθυμιᾷ P.D[a]. [z] οἱ C[a]. [a] τινὸς ἀκμῆς A[a].C[a]. [b] μὲν οὖν ἐπὶ C[a]. [c] γεγόνασι C[a]. [d] συμβέβηκε θηλείαις A[a].C[a]. [e] κυῆσαι D[a]. [f] καὶ post καθάπερ om. A[a].C[a]. [g] ὀπισθουρητικὴ A[a]. [h] ἀρραβίᾳ P.A[a].D[a]. [i] ὤν om. D[a]. [k] πέντε ἢ καὶ ἓξ ἐτῶν ὢν D[a], πέντε ἐτῶν ἢ καὶ ἓξ ὤν P. [l] οἷον A[a]. [m] καὶ om. P.D[a]. [n] ὅλον] ἄνω A[a].

Digitized by Google

γένος. Αἱ μὲν οὖν πορφύραι τοῦ ἔαρος συναθροιζόμεναι εἰς
2 ταὐτὸ ποιοῦσι τὴν καλουμένην [o] μελίκηραν. Τοῦτο δ' ἐστὶν
οἷον κηρίον, πλὴν οὐχ οὕτω [p] γλαφυρόν, ἀλλ' ὥσπερ ἂν εἰ ἐκ
λεπυρίων [q] ἐρεβίνθων λευκῶν πολλὰ [r] συμπαγείη. Οὐκ ἔχει δ'
ἀνεῳγμένον πόρον οὐθὲν τούτων, οὐδὲ γίνονται ἐκ τούτων
αἱ πορφύραι, ἀλλὰ φύονται καὶ [s] αὗται καὶ [t] τἆλλα τὰ
3 ὀστρακόδερμα ἐξ ἰλύος καὶ [v] συσσήψεως. Τοῦτο δὲ συμ-
βαίνει ὥσπερ ἀποκάθαρμα καὶ ταύταις καὶ [w] τοῖς κήρυξιν·
κηριάζουσι γὰρ καὶ οἱ κήρυκες. Γίνονται μὲν οὖν καὶ τὰ
κηριάζοντα τῶν ὀστρακοδέρμων τὸν αὐτὸν τρόπον [x] τοῖς
ἄλλοις ὀστρακοδέρμοις, οὐ μὴν ἀλλὰ μᾶλλον ὅταν προϋ-
4 πάρχῃ τὰ [y] ὁμοιογενῆ. Ἀφιᾶσι γὰρ ἀρχόμενα κηριάζειν
γλισχρότητα μυξώδη, ἐξ [z] ἧς τὰ λεπυριώδη συνίσταται. Ταῦ-
τα μὲν οὖν [a] ἅπαντα διαχεῖται, ἀφίησι δ' ὃ εἶχεν εἰς τὴν
γῆν· καὶ ἐν τούτῳ τῷ τόπῳ γίνεται ἐν τῇ γῇ συστάντα
πορφύρια μικρά, ἃ ἔχουσαι ἁλίσκονται αἱ πορφύραι [b] ἐπ'
5 αὐτῶν, ἔνια δ' οὔπω διηκριβωμένα τὴν μορφήν. Ἐὰν δὲ
πρὶν ἐκτεκεῖν ἁλῶσιν, ἐνίοτε ἐν ταῖς φορμίσιν [c] οὐχ ὅπου
[d] ἔτυχον [e] ἐκτίκτουσιν, ἀλλ' εἰς ταὐτὸ ἰοῦσαι, ὥσπερ [f] καὶ ἐν
τῇ θαλάττῃ, [g] καὶ διὰ τὴν στενοχωρίαν [h] γίνονται [i] οἱονεὶ
6 βότρυς. Εἰσὶ δὲ τῶν πορφυρῶν γένη [k] πλείω, καὶ ἔνιαι μὲν
μεγάλαι, οἷον [l] αἱ περὶ τὸ Σίγειον καὶ Λεκτόν, αἱ δὲ μικραί,
οἷον ἐν τῷ Εὐρίπῳ καὶ περὶ τὴν [m] Καρίαν, καὶ αἱ μὲν ἐν τοῖς
κόλποις μεγάλαι καὶ τραχεῖαι, καὶ τὸ ἄνθος αὐτῶν αἱ μὲν
πλεῖσται μέλαν [n] ἔχουσιν, ἔνιαι δ' ἐρυθρὸν [o] καὶ μικρόν· γί-
νονται δ' ἔνιαι τῶν μεγάλων καὶ [p] μναῖαι· αἱ δ' ἐν τοῖς αἰγια-
λοῖς καὶ περὶ τὰς ἀκτὰς τὸ μὲν μέγεθος γίνονται μικραί, τὸ

[o] μελικήραν P, μελικηράν D^a. [p] γλαφυρόν. ὥσπερ γὰρ εἰ A^a. [q] ἐρεβινθίων A^a, ἐρεβινθίνων C^a. [r] συκπλακεῖεν P.D^a. [s] αὐταὶ P, αὐτὰ D^a. [t] τὰ ἄλλα ὀστρακόδερμα P.D^a. [v] σήψεως P.D^a. [w] ταῖς A^a. [x] τοῖς] καὶ τοῖς A^a.C^a. [y] ὁμογενῆ. ἀφίησι A^a.C^a. [z] ἧς] ὧν P.C^a.D^a. [a] διαχεῖται ἅπαντα D^a. [b] ἐπ' om. P. [c] οὐχ om. P.D^a. [d] ἔτυχεν A^a.C^a.D^a. [e] ἐκτίκτουσιν ἅλις ἐν τῷ αὐτῷ οὖσαι P.D^a. [f] καὶ om. P.D^a. [g] καὶ διὰ] ἀλλὰ διὰ A^a.C^a, καὶ P. [h] γίνεται A^a. [i] οἷον A^a.C^a. [k] πολλὰ P.D^a. [l] αἱ ante περὶ om. A^a.C^a. [m] καρέαν P. [n] ἔχουσαι P.C^a. [o] καὶ om. P.D^a. [p] μναῖαι A^a.C^a.

Digitized by Google

δ' ἄνθος ἐρυθρὸν ἔχουσιν. Ἔτι δ' ἐν [q] μὲν τοῖς [r] προσβο- 7
ρείοις μέλαιναι, ἐν δὲ τοῖς νοτίοις ἐρυθραὶ ὡς ἐπὶ τὸ πλεῖστον
εἰπεῖν. [t] Ἁλίσκονται δὲ τοῦ ἔαρος, ὅταν κηριάζωσιν· ὑπὸ
κύνα δ' οὐχ ἁλίσκονται· οὐ γὰρ νέμονται, ἀλλὰ κρύπτουσιν
ἑαυτὰς καὶ [s] φωλεύουσιν. Τὸ δ' ἄνθος ἔχουσιν ἀνὰ μέσον 8
τῆς μήκωνος καὶ τοῦ τραχήλου· τούτων δ' ἐστὶν ἡ σύμφυσις
πυκνή, τὸ [t] δὲ χρῶμα ἰδεῖν ὥσπερ ὑμὴν λευκός, [v] ὃν ἀφαι-
ροῦσιν· θλιβόμενος δὲ βάπτει καὶ ἀνθίζει τὴν χεῖρα. Δια-
τείνει δ' [w] αὐτὴν [x] οἷον φλέψ· τοῦτο δὲ δοκεῖ εἶναι τὸ ἄνθος.
Ἡ δ' ἄλλη [y] φύσις οἷον στυπτηρία. [v] Ὅταν δὲ κηριάζωσιν 9
αἱ πορφύραι, τότε χείριστον ἔχουσι τὸ ἄνθος. Τὰς μὲν οὖν
μικρὰς μετὰ τῶν ὀστράκων κόπτουσιν· οὐ γὰρ ῥᾴδιον ἀφε-
λεῖν· τῶν δὲ μειζόνων περιελόντες τὸ ὄστρακον ἀφαιροῦσι
τὸ ἄνθος. Διὸ καὶ χωρίζεται ὁ τράχηλος καὶ ἡ μήκων· 10
μεταξὺ γὰρ τούτων τὸ ἄνθος, ἐπάνω τῆς καλουμένης κοιλίας·
ἀφαιρεθέντος [z] οὖν ἀνάγκη διῃρῆσθαι. Σπουδάζουσι δὲ ζώ-
σας κόπτειν· ἐὰν [a] γὰρ πρότερον ἀποθάνῃ, συνεξεμεῖ τὸ
ἄνθος· διὸ καὶ φυλάττουσιν ἐν [b] τοῖς [c] κύρτοις, [d] ἕως ἂν
[e] ἀθροίσωσι καὶ σχολάσωσιν. Οἱ μὲν οὖν ἀρχαῖοι πρὸς 11
τοῖς δελέασιν οὐ καθίεσαν οὐδὲ προσῆπτον τοὺς [f] κύρτους,
ὥστε [g] συνέβαινεν ἀνεσπασμένην ἤδη πολλάκις ἀποπίπτειν·
οἱ δὲ νῦν προσάπτουσιν, ὅπως ἐὰν ἀποπέσῃ, μὴ [h] ἀπολλύη-
ται. Μάλιστα δ' [i] ἀποπίπτει, ἐὰν πλήρης ᾖ· κενῆς δ' οὔσης
[k] καὶ [l] ἀποσπάσαι χαλεπόν. Ταῦτα μὲν οὖν τὰ συμβαί-
νοντα ἴδια περὶ τὰς πορφύρας ἐστίν. Τὸν αὐτὸν δὲ τρόπον 12
[m] γίνονται ταῖς πορφύραις καὶ οἱ κήρυκες, καὶ τὴν αὐτὴν
ὥραν. Ἔχουσι δὲ καὶ τὰ ἐπικαλύμματα κατὰ ταὐτὰ ἀμ-
φότερα, καὶ τἆλλα [n] τὰ στρομβώδη, ἐκ γενετῆς [o] ἅπαντα·

q τοῖς μὲν P.D[a]. r προσβορρείοις C[a]. s φωλοῦσιν A[a].C[a]. t χρῶμα δὲ P.D[a]. v ὃν] ὃν ἂν P.D[a]. w αὖτη A[a].C[a]. x ὥσπερ φλέβα P.D[a]. y σύμφυσις οἷον στυπτηρίας P.D[a]. z οὖν] τοίνυν P. a γὰρ πρὶν κόπτειν πρότερον P.D[a]. b τοῖς om. A[a].C[a]. c κυρτοῖς P.D[a]. d ἕως ἂν] ἐὰν A[a]. e ἀθροισθῶσιν P.D[a]. f κυρτοὺς P.D[a]. g συμβαίνειν A[a].C[a]. h ἀπολύηται P.D[a]. i ἀποπίπτουσιν ὅταν A[a].C[a]. k καὶ om. P.D[a]. l ἀποσπᾶσθαι P.C[a].D[a]. m ἐγγίνονται P.D[a]. n τὰ om. P. o πάντα P.D[a].

Digitized by Google

νέμονται δ' [p] ἐξαίροντα τὴν καλουμένην γλῶτταν ὑπὸ τὸ κά-
13 λυμμα. Τὸ δὲ μέγεθος τῆς γλώττης ἔχει ἡ πορφύρα μεῖζον δακτύλου, ᾧ νέμεται καὶ [q] διατρυπᾷ τὰ κογχύλια καὶ τὸ αὐτῆς ὄστρακον. Ἔστι δὲ [r] καὶ ἡ πορφύρα καὶ ὁ κῆρυξ ἀμφότερα μακρόβια· ζῇ γὰρ ἡ πορφύρα περὶ ἔτη ἕξ, καὶ καθ' ἕκαστον ἐνιαυτὸν φανερά ἐστιν ἡ αὔξησις τοῖς διαστήμασι τοῖς ἐν τῷ ὀστράκῳ τῆς ἕλικος. Κηριάζουσι δὲ καὶ οἱ μύες.
14 Τὰ δὲ [s] λιμνόστρεα καλούμενα, ὅπου ἂν βόρβορος ᾖ, ἐνταῦθα συνίσταται πρῶτον αὐτῶν ἡ ἀρχή. Αἱ δὲ κόγχαι καὶ [t] αἱ χῆμαι καὶ [t] οἱ σωλῆνες καὶ [t] οἱ κτένες ἐν τοῖς ἀμμώδεσι λαμ-
15 βάνουσι τὴν σύστασιν. Αἱ δὲ [v] πίνναι ὀρθαὶ φύονται ἐκ τοῦ βυσσοῦ ἐν τοῖς ἀμμώδεσι καὶ βορβορώδεσιν. Ἔχουσι δ' ἐν αὐταῖς [w] πιννοφύλακα, [x] αἱ μὲν καρίδιον αἱ δὲ καρκίνιον· οὗ
16 στερισκόμεναι διαφθείρονται θᾶττον. Ὅλως δὲ πάντα τὰ ὀστρακώδη γίνεται καὶ αὐτόματα ἐν τῇ ἰλύϊ, κατὰ τὴν [y] διαφορὰν τῆς ἰλύος [z] ἕτερα, ἐν μὲν τῇ βορβορώδει τὰ ὄστρεα, ἐν δὲ τῇ ἀμμώδει κόγχαι καὶ τὰ εἰρημένα, περὶ δὲ τὰς σήραγγας τῶν [a] πετριδίων [b] τήθυα καὶ βάλανοι καὶ τὰ ἐπιπο-
17 λάζοντα, οἷον αἱ [c] λεπάδες καὶ οἱ [d] νηρεῖται. Ἅπαντα μὲν οὖν τὰ τοιαῦτα τὴν αὔξησιν ἔχει ταχεῖαν, μάλιστα δ' αἵ τε [e] πορφύραι καὶ οἱ κτένες· ταῦτα γὰρ [f] ἐν ἐνιαυτῷ γίνεται τέλεια. Ἐμφύονται δ' [f] ἐν ἐνίοις τῶν ὀστρακοδέρμων καρκίνοι [g] λευκοί, τὸ μέγεθος μικροὶ πάμπαν, πλεῖστοι μὲν ἐν τοῖς μυσὶ τοῖς [h] πυελώδεσιν, ἔπειτα καὶ ἐν ταῖς [i] πίνναις οἱ
18 καλούμενοι [k] πιννοτῆραι. Γίνονται δὲ καὶ ἐν τοῖς [l] κτεσὶ καὶ ἐν τοῖς [m] λιμνοστρέοις· αὔξησιν δ' [n] οὐδεμίαν οὗτοι ἐπίδηλον λαμβάνουσιν. Φασὶ δ' [o] αὐτοὺς οἱ ἁλιεῖς ἅμα συγγίνεσθαι

[p] ἐξεγείροντα P.D[a]. [q] διατρύπτει P. [r] καὶ ante ἡ om. D[a]. [s] λιμόστρεα P.A[a].C[a].D[a]. [t] αἱ ante χ. et οἱ utrobique om. P.D[a]. [v] πίναι D. [w] πινοφύλακα P.D[a]. [x] αἱ μὲν] καὶ αἱ μὲν A[a].C[a]. [y] διαφθορὰν A[a]. [z] ἕτερα δὲ ἐν P.D[a]. [a] πετρίδων C[a]. [b] τήθυαι C[a], τηθύα D[a], τιθύα P. [c] λεπίδες A[a]. [d] νηρῖται D[a], νηρέται P. [e] πορφύρες A[a]. [f] ἐν priorem om. D[a], alteram om. A[a].C[a]. [g] λεπτοί D[a]. [h] πυλώδεσιν A[a].C[a]. [i] πίναις P.D[a]. [k] πιννοθῆραι A[a].C[a], πινοθῆραι P.D[a]. [l] κτένεσι P.D[a]. et corr. A[a]. [m] λιμοστρέοις P.D[a]. [n] ἐπίδηλον οὐδεμίαν οὗτος A[a].C[a]. [o] αὐτοῖς P, αὐτὸν A[a].

Digitized by Google

γινομένοις. [a]Ἀφανίζονται δέ τινα χρόνον ἐν τῇ ἄμμῳ καὶ
οἱ κτένες, ὥσπερ καὶ αἱ πορφύραι. [p]Φύεται μὲν οὖν τὰ 19
ὄστρεα καθάπερ εἴρηται, [p]φύεται [q]δ' αὐτῶν τὰ μὲν ἐν τοῖς
[r]τενάγεσι, [s]τὰ δ' ἐν τοῖς αἰγιαλοῖς, τὰ δ' ἐν τοῖς [t]σπιλώ-
δεσι τόποις, ἔνια δ' ἐν τοῖς σκληροῖς καὶ [v]τραχέσι, τὰ δ' ἐν
τοῖς ἀμμώδεσιν. Καὶ τὰ μὲν μεταβάλλει [w]τοὺς τόπους,
τὰ δ' οὔ. Τῶν δὲ μὴ μεταβαλλόντων αἱ μὲν [x]πίνναι ἐρρί- 20
ζωνται, οἱ δὲ σωλῆνες καὶ αἱ κόγχαι [y]ἀρρίζωτοι διαμένουσιν·
ὅταν δ' ἀνασπασθῶσιν, οὐκέτι δύνανται ζῆν. [a]Ὁ δὲ καλού-
μενος ἀστὴρ [z]οὕτω θερμός ἐστι τὴν φύσιν, ὥσθ' ὅ τι ἂν
λάβῃ, παραχρῆμα ἐξαιρούμενον διέφθον εἶναι. Φασὶ δὲ καὶ
[a]σίνος [b]μέγιστον εἶναι τοῦτο ἐν τῷ εὐρίπῳ τῷ τῶν Πυρ-
ραίων. Τὴν δὲ μορφὴν [c]ὅμοιόν ἐστι τοῖς γραφομένοις. 21
Γίνονται δὲ καὶ οἱ καλούμενοι [d]πλεύμονες [e]αὐτόματοι. [f]Ὧι
δ' οἱ γραφεῖς [f]ὀστρέῳ χρῶνται, πάχει τε [g]πολὺ ὑπερβάλλει,
καὶ ἔξωθεν τοῦ ὀστράκου τὸ ἄνθος ἐπιγίνεται· εἰσὶ δὲ τὰ
τοιαῦτα μάλιστα περὶ τοὺς τόπους τοὺς [h]περὶ Καρίαν. Τὸ 22
δὲ καρκίνιον γίνεται μὲν τὴν ἀρχὴν ἐκ τῆς γῆς καὶ ἰλύος, εἶτ'
εἰς τὰ κενὰ τῶν ὀστράκων εἰσδύεται, καὶ αὐξανόμενον [i]με-
τεισδύνει πάλιν εἰς ἄλλο μεῖζον ὄστρακον, οἷον εἴς τε τὸ τοῦ
[k]νηρείτου καὶ [l]τὸ τοῦ στρόμβου [m]καὶ τῶν ἄλλων τῶν τοι-
ούτων, πολλάκις [n]δ' εἰς τοὺς κήρυκας τοὺς μικρούς. [v]Ὅταν
δ' [o]εἰσδύσῃ, [p]συμπεριφέρει τοῦτο καὶ ἐν τούτῳ [q]τρέφεται
πάλιν· καὶ αὐξανόμενον [r]πάλιν εἰς ἄλλο [s]μετεισδύνει μεῖ-
ζον.

Τὸν αὐτὸν δὲ τρόπον γίνονται τοῖς ὀστρακοδέρμοις καὶ 16

[p] *φύονται* utrobique A^a. [q] *δ' αὐτῶν ἃ μὲν* P.D^a, *δὲ τὰ μὲν αὐτῶν* A^a.C^a. [r] *στενάγεσι* A^a. [s] *τὰ δ' ἐν τοῖς αἰγιαλοῖς* om. P.D^a. [t] *πηλώδεσι* C^a, *πυελώδεσι* P, *σπιλαδώδεσι* D^a. [v] *τραχώδεσι* P.D^a. [w] *τὸν τόπον* A^a. [x] *πίναι* P.D^a. [y] *ἀρρίζωτα* A^a. [z] *οὗτος* P. [a] *σῖννος* A^a, *σίννος* C^a, *σίνος τι* P.D^a. [b] *τοῦτο (τούτῳ* D^a.) *τῷ εὐρίπῳ τῷ (τῶν* D^a.) *πυρραίων μέγιστον εἶναι* P.D^a. *πυρραίων* A^a. [c] *ὁμοιόν ἐστι] ὁμοίαν* A^a.C^a. [d] *πνεύμονες* A^a.C^a. [e] *αὐτόματα* A^a. [f] *ὀστρείῳ* A^a, *ὀστρίῳ* P. [g] *πολλῷ* A^a.C^a. [h] *περὶ τὴν καρίαν* D^a. [i] *μετενδύνει* C^a. [k] *νηρίτου* P.D^a. [l] *τὸ* om. A^a. [m] *καὶ τὸ τῶν* P.A^a.C^a. [n] *δ' εἰς] δὲ καὶ εἰς* P.D^a. [o] *εἰσδύῃ* P, *εἰσδύη ἢ* C^a, *εἰς δύο ἢ* A^a, *εἰς δύο* D^a. [p] *συμπεριφέρῃ* D^a, *συμπεριφέρει καὶ* A^a.C^a. [q] *στρέφεται* P.A^a.C^a. [r] *πάλιν] πλὴν* P. [s] *μεταδύνει* A^a.C^a.

Digitized by Google

τὰ μὴ ἔχοντα [t] ὄστρακα, [v] οἷον αἵ τε κνῖδαι καὶ οἱ σπόγγοι ἐν ταῖς σήραγξι τῶν πετρῶν. [w] Ἔστι δὲ τῶν κνιδῶν δύο γένη· αἱ μὲν οὖν ἐν τοῖς κοίλοις οὐκ ἀπολύονται [x] τῶν πετρῶν, αἱ δ' [y] ἐπὶ τοῖς λείοις καὶ πλαταμώδεσιν ἀπολυόμεναι
2 μεταχωροῦσιν. Καὶ αἱ λεπάδες δὲ ἀπολύονται καὶ μεταχωροῦσιν. Τῶν δὲ σπόγγων ἐν ταῖς θαλάμαις γίνονται [z] πινοφύλακες. [a] Ἔπεστι δ' οἷον ἀράχνιον ἐπὶ τῶν θαλαμῶν, [b] ὃ διοίγοντες καὶ συνάγοντες θηρεύουσι τὰ ἰχθύδια τὰ μικρά, [c] πρὸς μὲν τὸ εἰσελθεῖν διοίγοντες αὐτά, ὅταν δ' εἰσέλθῃ,
3 συνάγοντες. [d] Ἔστι δὲ τῶν σπόγγων τρία γένη, ὁ μὲν μανός, ὁ δὲ πυκνός, [d] τρίτος δ' ὃν καλοῦσιν [e] Ἀχίλλειον [f] λεπτότατος καὶ πυκνότατος καὶ ἰσχυρότατος· ὃν ὑπὸ τὰ κράνη καὶ τὰς κνημῖδας ὑποτιθέασι καὶ ἧττον ἡ πληγὴ [g] ψοφεῖ. Σπανιώτατος δὲ γίνεται οὗτος. Τῶν δὲ πυκνῶν οἱ σκληροὶ
4 σφόδρα καὶ τραχεῖς τράγοι καλοῦνται. Φύονται δ' [h] ἢ πρὸς πέτρᾳ πάντες ἢ [i] ἐν ταῖς θισί, τρέφονται δ' ἐν τῇ ἰλύϊ. Σημεῖον δέ· ὅταν γὰρ ληφθῶσι, φαίνονται μεστοὶ ἰλύος· ὅπερ [k] συμβαίνει καὶ τοῖς ἄλλοις τοῖς φυομένοις ἀπὸ τῆς προσφύσεως οὖσα ἡ τροφή. Ἀσθενέστεροι δ' εἰσὶν οἱ πυκνοὶ
5 τῶν μανῶν διὰ τὸ τὴν πρόσφυσιν εἶναι [l] κατ' ἔλαττον. [m] Ἔχει δὲ καὶ αἴσθησιν, ὡς φασίν. Σημεῖον δέ· [m] ἐὰν γὰρ μέλλοντος ἀποσπᾶν αἴσθηται, [n] συνάγει ἑαυτὸν καὶ χαλεπὸν [o] ἀφελεῖν ἐστίν. Ταὐτὸ δὲ τοῦτο ποιεῖ καὶ ὅταν ᾖ πνεῦμα πολὺ καὶ κλύδων, πρὸς τὸ μὴ ἀποπίπτειν. Εἰσὶ δέ τινες οἳ περὶ
6 τούτου ἀμφισβητοῦσιν, ὥσπερ οἱ ἐν Τορώνῃ. [p] Τρέφει δ' ἐν [q] ἑαυτῷ ζῷα, ἕλμινθάς τε καὶ ἕτερ' [r] ἄττα, [s] ἃ ὅταν ἀποσπασθῇ, τὰ ἰχθύδια τὰ πετραῖα [t] κατεσθίει, καὶ τὰς ῥίζας

[t] ὄστρακον $A^a.C^a$. [v] οἷον om. P. [w] ἔστι δὲ τῶν] τῶν δὲ P.D^a. [x] τῶν] ἐκ τῶν $A^a.C^a$. [y] ἐπὶ τοῖς μείζοσι καὶ ἐπὶ τοῖς πλ. P.D^a. [z] πινοφύλακες P.D^a. [a] ἔστι P.D^a. [b] ἃ $A^a.C^a$. [c] πρὸς μὲν τὸ] πρὶν μὲν P.D^a. [d] τρίτον P.D^a. [e] ἀγχίλλιον P. [f] λεπτότατον καὶ πυκνότατον καὶ ἰσχυρότατον A^a. [g] ψοφεῖ] ποιεῖ ψόφον P.D^a. [h] πέτραν P.D^a. [i] ἐν] πρὸς P.D^a. [k] σημαίνει P.D^a. [l] κατ' ἔλαττον] κατελθοῦσαν P.D^a. [m] ἐὰν γὰρ] ὅταν γὰρ ληφθῶσιν ἐὰν A^a. [n] συνάγεται καὶ χ. P.D^a. [o] ἀποσπᾶν C^a. [p] τρέφει δ'] φασὶ γὰρ τρέφειν P.D^a. [q] αὐτῷ C^a. [r] ἄττα] τοιαῦτα P.D^a. [s] ἃς P, om. $A^a.C^a$. [t] κατεσθίει ante ὅταν $A^a.C^a$.

Digitized by Google

τὰς ὑπολοίπους· ἐὰν δ' ἀπορραγῇ, φύεται πάλιν ἐκ τοῦ καταλοίπου καὶ ἀναπληροῦται. Μέγιστοι μὲν οὖν [v]γίγνονται οἱ [w]μανοί, καὶ πλεῖστοι περὶ τὴν Λυκίαν, [x]μαλακώτατοι δ' οἱ πυκνοί· οἱ γὰρ Ἀχίλλειοι [y]στιφρότεροι τούτων εἰσίν. [v]Ὅλως δ' [z]οἱ ἐν τοῖς βαθέσι καὶ εὐδιεινοῖς μαλα- 7
κώτατοί εἰσιν· τὸ γὰρ πνεῦμα καὶ ὁ χειμὼν σκληρύνει, καθάπερ καὶ τἆλλα τὰ φυόμενα, καὶ ἀφαιρεῖται τὴν αὔξησιν· διὸ καὶ οἱ ἐν [t]Ἑλλησπόντῳ τραχεῖς εἰσὶ καὶ πυκνοί, καὶ [a]ὅλως οἵ τ' ἐπέκεινα Μαλέας καὶ οἱ [b]ἐντὸς διαφέρουσι μαλακότητι καὶ σκληρότητι. Δεῖ δὲ μηδ' ἀλέαν εἶναι σφόδρα· 8
σήπεται γάρ, ὥσπερ τὰ φυόμενα. Διὸ οἱ πρὸς ταῖς ἀκταῖς εἰσὶ κάλλιστοι, ἂν ὦσιν [c]ἀγχιβαθεῖς· εὖ γὰρ [d]κέκρανται πρὸς ἄμφω διὰ τὸ βάθος. [u]Ἁπλυτοι δ' ὄντες καὶ ζῶντες [e]ἰδεῖν μέν [f]εἰσι μέλανες. [t]Ἡ δὲ πρόσφυσίς ἐστιν οὔτε καθ' ἓν οὔτε κατὰ πᾶν· μεταξὺ γάρ εἰσι πόροι κενοί. Πε- 9
ριτέταται δ' ὥσπερ ὑμὴν περὶ [g]τὰ κάτω· [h]κατὰ πλείω δ' ἐστὶν ἡ πρόσφυσις. [u]Ἀνωθεν δ' οἱ μὲν ἄλλοι πόροι [i]συγκεκλεισμένοι, φανεροὶ δ' εἰσὶ [k]τέτταρες ἢ πέντε· διό φασιν ἔνιοι τούτους εἶναι καθ' οὓς δέχεται τὴν τροφήν. [u]Ἔστι δ' 10
ἄλλο γένος ὃ καλοῦσιν ἁπλυσίας διὰ τὸ μὴ δύνασθαι πλύνεσθαι· τοῦτο δὲ τοὺς μὲν μεγάλους πόρους ἔχει, τὸ δ' ἄλλο πυκνόν ἐστι πᾶν· [l]διατμηθὲν δὲ πυκνότερόν [m]ἐστι καὶ γλισχρότερον τοῦ σπόγγου, καὶ τὸ σύνολον [n]πλευμονῶδες. [o][t]Ὁμολογεῖται δὲ μάλιστα παρὰ πάντων τοῦτο τὸ γένος αἴσθησιν ἔχειν καὶ πολυχρόνιον εἶναι. Διάδηλοι δ' εἰσὶν ἐν 11
τῇ θαλάττῃ πρὸς τοὺς [p]σπόγγους [q]τῷ τοὺς σπόγγους [r]μὲν εἶναι λευκοὺς ἐφιζούσης τῆς ἰλύος, τούτους δ' ἀεὶ μέλανας. Τὰ μὲν οὖν περὶ τοὺς σπόγγους καὶ τὴν τῶν ὀστρακοδέρμων γένεσιν τοῦτον ἔχει τὸν τρόπον.

[v] γίγνονται om. P.D[a]. [w] μακροί P. [x] μαλακώτεροι C[a]. [y] στριφνότεροι A[a].C[a].D[a]. [z] οἱ om. C[a]. [a] οἵ τ' ἐπέκεινα ὅλως P. [b] ἐντὸς] ἐν τοῖς P.A[a].C[a].D[a]. [c] ἄγαν βαθεῖς D[a]. [d] κέκραται A[a].C[a]. [e] ἰδεῖν μέν om. P.D[a]. [f] μέλανές εἰσι A[a].C[a]. [g] τὸ A[a].C[a]. [h] κατὰ om. A[a].C[a]. [i] συγκεκλιμένοι A[a].C[a]. [k] τέσσαρες P.D[a]. [l] διατμηθὲν] οὐθὲν P.D[a]. [m] καὶ γλισχρότερόν ἐστι D[a]. [n] πνευμονῶδες A[a].C[a]. [o] ὡμολόγηται P. [p] σπόγγους—περὶ τοὺς om. pr. A[a]. [q] τὸ P. [r] μὲν om. C[a].

Digitized by Google

17 Τῶν δὲ μαλακοστράκων οἱ κάραβοι μετὰ τὴν ὀχείαν κύουσι καὶ ἴσχουσι τὰ ᾠὰ περὶ τρεῖς μῆνας, [s]Σκιρροφοριῶνα καὶ [t]Ἑκατομβαιῶνα καὶ [v]Μεταγειτνιῶνα· [w]μετὰ δὲ ταῦτα προστίκτουσιν ὑπὸ τὴν κοιλίαν εἰς τὰς πτύχας, καὶ αὐξάνε-2ται αὐτῶν τὰ ᾠὰ ὥσπερ οἱ σκώληκες. Τὸ [x]δ' αὐτὸ τοῦτο καὶ ἐπὶ τῶν μαλακίων [y]ἐστὶ καὶ τῶν ἰχθύων, [z]ὅσοι ᾠοτοκοῦσιν· αὐξάνεται γὰρ πάντων τὸ ᾠόν. Τὸ μὲν οὖν ᾠὸν γίνεται [a]ψαθυρὸν τῶν καράβων, διῃρημένον εἰς ὀκτὼ μοίρας. 3Καθ' ἕκαστον γὰρ τῶν ἐπικαλυμμάτων τῶν ἐκ τοῦ πλαγίου πεφυκότων ἐστὶ χονδρῶδές τι πρὸς [b]ὃ περιφύεται, καὶ τὸ ὅλον γίνεται ὥσπερ βότρυς· σχίζεται γὰρ ἕκαστον εἰς 4πλείω τῶν χονδρωδῶν. Ταῦτα δὲ διαστέλλοντι μὲν γίνεται [c]φανερά, προσβλέποντι δὲ συνεστηκός τι φαίνεται· καὶ γίνεται [d]δὲ μέγιστα οὐ τὰ πρὸς [e]τῷ πόρῳ ἀλλὰ [f]τὰ κατὰ μέσον, ἐλάχιστα δὲ τὰ ἔσχατα. Τὸ δὲ μέγεθος [g]τῶν ᾠῶν 5τῶν μικρῶν ἐστὶν ἡλίκον [h]κεγχραμίς. [i]Οὐκ εὐθὺς δ' ἐστὶν ἐχόμενα τοῦ πόρου, ἀλλὰ κατὰ μέσον· ἑκατέρωθεν γὰρ ἀπὸ τῆς κέρκου καὶ ἀπὸ τοῦ θώρακος δύο διαστήματα [k]μάλιστα ἀπέχει· οὕτω γὰρ καὶ τὰ ἐπικαλύμματα πέφυκεν. Αὐτὰ μὲν οὖν τὰ ἐκ [l]τοῦ πλαγίου οὐ δύναται συμπεριλαμβάνειν, τοῦ δ' ἄκρου [m]προσεπιτεθέντος καλύπτει πάντα, καὶ γίνεται 6[n]τοῦτ' αὐτοῖς οἷον πῶμα. [o]Ἔοικε δὲ τὰ ᾠὰ τίκτουσα προσάγειν πρὸς τὰ χονδρώδη [o]τῷ πλάτει τῆς κέρκου [p]προσαναπτυττομένης, καὶ προσπιέσασα εὐθὺς καὶ κεκαμμένη [q]ἀποτίκτειν. Τὰ δὲ χονδρώδη κατὰ τοὺς καιροὺς τούτους [r]αὐξάνεται καὶ δεκτικὰ γίνεται τῶν [r]ᾠῶν· πρὸς τὰ χονδρώδη γὰρ ἀποτίκτουσι, καθάπερ αἱ [s]σηπίαι πρὸς τὰ [t]κλήματα

[s] σκιροφοριῶνα $A^a.D^a$, σκιροφορίωνα P. [t] ἑκατομβαίωνα P. [v] μεταγειτνιῶντα A^a, μεταγειτνίονα P. [w] μετὰ δὲ] καὶ μετὰ $P.D^a$. [x] αὐτὸ δὲ $A^a.C^a$. [y] εἰσὶ A^a. [z] ὅσα $P.D^a$. [a] ψαδυρὸν $P.D^a$. [b] ᾧ $A^a.C^a$. [c] φανερόν D^a. [d] δὲ post γίνεται om. $P.D^a$. [e] τὸ πόρρω $A^a.C^a$. [f] τὰ om. $P.D^a$. [g] τῶν μικρῶν ᾠῶν $P.D^a$. [h] κεχραμίς D^a. [i] οὐκ ἔστι δ' εὐθὺς $A^a.C^a$. [k] ἐπέχει μάλιστα $A^a.C^a$. [l] τοῦ om. A^a. [m] προσεπιτιθέντος $A^a.C^a$. [n] τοῦτ' om. $P.D^a$. [o] τῷ πλάτει om. $P.D^a$. [p] προσαναπτυσσομένης καὶ συμπιέσασα δὲ εὐθὺς $P.D^a$. [q] ἀποτίκτει $P.D^a$. [r] αὐξάνει et ζώων $P.D^a$. [s] σηπύαι A^a. [t] κλίματα corr. P.

Digitized by Google

καὶ τὸν φοροντόν. Ἀποτίκτει μὲν οὖν τοῦτον τὸν τρόπον, 7
συμπέψασα δ' ἐνταῦθα μάλιστα [v] ἐν εἴκοσιν ἡμέραις ἀπο-
βάλλει συνεστηκὸς καὶ ἀθρόον, ὥσπερ φαίνεται καὶ ἐκτός·
εἶτ' ἐκ τούτων γίνονται οἱ κάραβοι ἐν ἡμέραις μάλιστα πεν-
τεκαίδεκα, καὶ λαμβάνονται πολλάκις ἐλάττους ἢ δακτυ-
λιαῖοι. [w] Προεκτίκτει μὲν οὖν πρὸ ἀρκτούρου, μετὰ δ' 8
ἀρκτοῦρον ἀποβάλλει τὰ ᾠά. Τῶν δὲ [x] κυφῶν καρίδων ἡ
κύησίς ἐστι περὶ τέτταρας μῆνας. Γίνονται δ' οἱ μὲν κάρα-
βοι [y] ἐν τοῖς [z] τραχέσι καὶ πετρώδεσιν, οἱ δ' ἀστακοὶ ἐν τοῖς
λείοις· ἐν δὲ τοῖς πηλώδεσιν οὐδέτεροι· διὸ καὶ ἐν [a] Ἑλλησ-
πόντῳ μὲν καὶ περὶ Θάσον ἀστακοὶ γίνονται, περὶ δὲ τὸ
Σίγειον καὶ τὸν [a] Ἄθων κάραβοι. Διασημαίνονται δὲ τοὺς 9
τόπους οἱ ἁλιεῖς τούς τε τραχεῖς καὶ τοὺς πηλώδεις ταῖς τε
ἀκταῖς καὶ [b] τοῖς ἄλλοις [b] τοῖς τοιούτοις σημείοις, ὅταν βού-
λωνται ἐν τῷ πελάγει ποιεῖσθαι τὴν θήραν. Γίνονται δ' ἐν
μὲν τῷ [c] χειμῶνι καὶ τῷ ἔαρι πρὸς τῇ γῇ μᾶλλον, τοῦ δὲ
θέρους ἐν τῷ πελάγει, [d] διώκοντα ὁτὲ μὲν τὴν ἀλέαν ὁτὲ δὲ
τὸ ψῦχος. Τοῖς δὲ χρόνοις παραπλησίως [e] καὶ αἱ καλού- 10
μεναι ἄρκτοι τίκτουσι τοῖς καράβοις· διὸ καὶ τοῦ χειμῶνος
καὶ πρὶν ἐκτεκεῖν τοῦ ἔαρος ἅρισταί εἰσιν, ὅταν δ' ἐκτέκωσι,
χείρισται. Ἐκδύνουσι δὲ τὸ κέλυφος τοῦ [f] ἔαρος, ὥσπερ οἱ
ὄφεις τὸ καλούμενον γῆρας, καὶ εὐθὺς [g] γινόμενοι καὶ ὕστερον
καὶ οἱ κάραβοι καὶ οἱ καρκίνοι. Εἰσὶ δ' οἱ κάραβοι μακρό-
βιοι πάντες.

Τὰ δὲ μαλάκια ἐκ τοῦ [h] συνδυασμοῦ καὶ τῆς ὀχείας ᾠὸν 18
ἴσχει λευκόν· τοῦτο δὲ γίνεται τῷ χρόνῳ, ὥσπερ τὰ τῶν
σκληροδέρμων, ψαθυρόν. Καὶ ἀποτίκτει ὁ μὲν [i] πολύπους
εἰς τὰς θαλάμας ἢ εἰς [k] κεράμιον ἤ τι ἄλλο κοῖλον ὅμοιον

[v] ἐν] δ' ἐν Aª. [w] προεκτίκτουσι P.Dª. [x] φύκων ἡ κύνησίς ἐστι καρίδιον περὶ τέσσαρας P.Dª. [y] ἐν] πρὸς Dª. [z] τραχώδεσι P.Dª. [a] ἄθω P.Dª. [b] τοῖς utrobique om. P.Dª. [c] ἔαρι καὶ τῷ χειμῶνι P.Dª. [d] διώκουσι δ' ὁτὲ Dª. [e] καὶ om. Cª, καὶ αἱ καλούμεναι ἄρκτοι post καράβοις ponit Dª. [f] ἀέρος Aª. [g] γενόμενοι καὶ ὕστερον καὶ οἱ καρκίνοι καὶ οἱ κάραβοι Aª.Cª. [h] συνδοιασμοῦ Aª. [i] πολύπους ἢ εἰς P.Dª. [k] κεράμειον P.

Digitized by Google

βοστρυχίοις [1] οἰνάνθης καὶ λεύκης · καρπῷ, καθάπερ εἴρηται
2 πρότερον. [m] Ἐκκρεμάννυνται [n] δὲ περὶ τὴν θαλάμην τὰ ᾠά,
ὅταν ἐκτέκῃ. Τὸ δὲ πλῆθος [o] ἔχει τοσαῦτα ᾠὰ ὥστ' ἐξαι-
ρεθέντων ἐμπίπλαται ἀγγεῖον πολλῷ μεῖζον τῆς κεφαλῆς,
3 ἐν [p] ᾗ ἔχει τὰ ᾠά. Τὰ μὲν οὖν τῶν πολυπόδων μεθ' [q] ἡμέρας
[r] μάλιστα πεντήκοντα γίνεται [s] ἐκ τῶν ἀπορραγέντων [t] πο-
λυπόδια, καὶ ἐξέρπει, ὥσπερ τὰ φαλάγγια, πολλὰ τὸ πλῆ-
θος· ὧν ἡ μὲν καθ' ἕκαστα φύσις τῶν μελῶν οὔπω διάδηλος,
ἡ δ' ὅλη μορφὴ φανερά. Διὰ δὲ τὴν μικρότητα καὶ τὴν
4 ἀσθένειαν φθείρεται τὸ πλῆθος αὐτῶν. [v] Ἤδη δ' ὤπται
καὶ οὕτω πάμπαν μικρὰ ὥστ' [w] ἀδιάρθρωτα μὲν εἶναι, ἁπτο-
μένων δὲ κινεῖσθαι. Αἱ δὲ [x] σηπίαι ἀποτίκτουσι, καὶ γίνεται
ὅμοια [y] μύρτοις μεγάλοις [z] καὶ [a] μέλασιν· καὶ ἀλλήλων ἐχό-
μενά ἐστιν, [b] οἷον βότρυς τὸ πᾶν, περιπεπλεγμένα [c] ἑνί τινι,
5 καὶ οὐκ εὐαπόσπαστα ἀλλήλων. [d] Ἐπαφίησι γὰρ ὁ ἄρρην
ὑγρότητά τινα μυξώδη· ὃ τὴν γλισχρότητα [e] παρέχει. Καὶ
αὐξάνεται δὲ [f] ταύτῃ τὰ ᾠά, καὶ εὐθὺς μέν ἐστι λευκά, ὅταν
[g] δ' ἀφῇ τὸν [h] θολόν, καὶ μεῖζω [i] καὶ μέλανα. [v] Ὅταν δὲ
[k] σηπίδιον γένηται, ὅλον ἐκ τοῦ λευκοῦ [l] γενόμενον ἔσω,
6 [m] τούτου περιρραγέντος ἐξέρχεται. Γίνεται [n] δ' ἂν τὸ πρῶ-
τον ἀπορράνῃ ἡ θήλεια, [o] οἷον χάλαζα· ἐκ γὰρ τούτου τὸ
[k] σηπίδιον [p] φύεται [q] ἐπὶ κεφαλήν, ὥσπερ οἱ ὄρνιθες κατὰ
τὴν κοιλίαν προσηρτημένοι. Ποία δέ τίς ἐστιν ἡ πρόσφυ-
σις ἡ ὀμφαλώδης, οὔπω ὤπται, πλὴν ὅτι αὐξανομένου τοῦ
σηπιδίου ἀεὶ ἔλαττον γίνεται τὸ λευκόν, καὶ τέλος, ὥσπερ
7 τὸ ὠχρὸν τοῖς ὄρνισι, τούτοις τὸ λευκὸν ἀφανίζεται. Μέ-

[1] οἰδυάνθης Ca. [m] ἐκκρεμάνυνται Aa. [n] δὲ] μὲν P. [o] ἴσχει P. [p] ᾧ P.Aa.Ca.Da. [q] ἡμέραν Aa. [r] μάλιστα περὶ πεντήκοντα Aa.Ca. [s] ἐκ] ἀπὸ P.Da. [t] πολυπόδων Ca, πολύποια Da, πολύπεια P. [v] ἠδ' pr. Aa. [w] ἀδιάπτωτα Da. [x] σηπύαι Aa, ut solet. [y] μυρτοῖς P. [z] καὶ om. Aa.Ca. [a] μέλεσιν Ca. addit P. ἐπαφιεῖ γὰρ τὸν θόλον, Da. ἐπαφίησι γὰρ τὸν θόρον. [b] οἷον ὁ βότρυς P. [c] τινὶ ἑνὶ Aa.Ca. [d] ἀφίησι P.Da. [e] παρέπεται Da. [f] ταῦτα Aa. [g] δ' om. Ca. [h] θορὸν Aa.Ca, θόρον P.Da. [i] καὶ om. Aa.Ca. [k] σηπύδιον Aa. [l] γινόμενον Aa.Ca.Da. [m] τούτου] τότε P.Da. [n] δὲ τὸ ἔσω πρῶτον ὅταν ἀπορράνῃ P.Da. [o] οἷον ἡ χάλαζα Aa.Ca. [p] φαίνεται Ca. [q] ἐπὶ τὴν κεφαλὴν Aa.

Digitized by Google

γιστοι δὲ φαίνονται πρῶτον, ὥσπερ καὶ ἐν τοῖς ἄλλοις, καὶ ἐν τούτοις οἱ ὀφθαλμοί. [1] Ὠιὸν ἐφ' οὗ τὸ Α, ὀφθαλμοὶ ἐφ' [r]ὧν τὸ ΒΓ, τὸ σηπίδιον [s]αὐτὸ ἐφ' οὗ Δ. Κύει δὲ τοῦ ἔαρος, ἀποτίκτει δ' ἐν ἡμέραις πεντεκαίδεκα· ὅταν δ' ἀποτέκῃ τὰ ᾠά, γίνεται ἐν ἄλλαις πεντεκαίδεκα ἡμέραις οἷον ῥάγες βότρυος, [t]ὧν περιρραγέντων ἐκδύεται ἔσωθεν τὰ σηπίδια. [1] Ἐὰν δέ τις [v]περισχίσῃ πρότερον ἤδη τετελειωμέ- 8
νων, προΐενται κόπρον τὰ σηπίδια, καὶ τὸ χρῶμα μεταβάλλει ἐρυθρότερον γινόμενον ἐκ λευκοῦ διὰ τὸν φόβον. Τὰ 9
μὲν οὖν μαλακόστρακα αὐτὰ [w]ὑφ' αὑτὰ θέμενα τὰ ᾠὰ ἐπῳάζει, ὁ δὲ πολύπους καὶ ἡ σηπία καὶ τἆλλα τὰ τοιαῦτα ἐκτεκόντα, [x]οὗ ἂν τὰ κυήματα αὐτῶν ᾖ, μάλιστα μὲν ἡ σηπία· πολλάκις γὰρ ὑπερφαίνεται πρὸς τῇ γῇ τὸ [y]κύτος αὐτῆς. [1] Ὁ δὲ πολύπους ὁ θῆλυς ὁτὲ μὲν ἐπὶ τοῖς ᾠοῖς ὁτὲ δ' ἐπὶ τῷ στόματι [z]προκάθηται τῆς θαλάμης, τὴν πλεκτάνην [a]ἐπέχων. [1] Ἡ δὲ σηπία πρὸς τὴν γῆν ἐκτίκτει περὶ τὰ 10
[b]φυκία καὶ τὰ [c]καλαμώδη, κἄν τι ᾖ [d]τοιοῦτον ἐκβεβλημένον, [e]οἷον ὕλη, κλήματα ἢ λίθοι· καὶ οἱ ἁλιεῖς δὲ [f]κληματίδας τιθέασιν ἐπίτηδες· καὶ πρὸς ταῦτα ἐκτίκτει μακρὸν καὶ συνεχὲς ἐκ τῶν ᾠῶν, οἷον τὸ τῶν βοστρύχων. [1] Ἀποτίκτει 11
δὲ καὶ ἀπορραίνει ἐξ [g]ἀναγωγῆς, ὡς μετὰ πόνου γινομένης τῆς [h]προέσεως. Αἱ δὲ τευθίδες [i]πελάγιαι ἀποτίκτουσιν· τὸ δ' ᾠόν, ὥσπερ ἡ σηπία, ἀποτίκτει συνεχές. [1] Ἔστι δὲ καὶ ὁ τεῦθος καὶ ἡ σηπία βραχύβιον· οὐ γὰρ διετίζουσιν, εἰ μή τινες [k]ὀλίγαι αὐτῶν· ὁμοίως δὲ καὶ οἱ πολύποδες. Γίνε- 12
ται δ' ἐξ ἑνὸς ᾠοῦ ἓν σηπίδιον· ὁμοίως δὲ καὶ ἐπὶ τῶν τευθίδων ἔχει. Διαφέρει δ' [l]ἡ ἄρρην [m]τευθὶς τῆς θηλείας· ἔχει

[r] ὧν] οὗ P.D[a]. [s] αὐτὸ ε̄· τὸ δ' ἐφ' οὗ τὸ δ̄ P, αὐτὸ τὸ ε̄ D[a]. [t] ὧν] ἐλάσσους ὧν P.D[a]. [v] περισχισθῇ A[a].C[a]. [w] ὑφ' αὑτὰ] καὶ ὑπ' αὐτὰ A[a].C[a]. [x] οὗ—μὲν] οὐ ταὐτὰ κυήματα αὐτῶν μάλιστα δὲ P.D[a]. [y] κῆτος A[a]. [z] προσκάθηται D[a]. [a] ὑπερέχων P.D[a]. [b] φύκια P.D[a], φυλακία A[a].C[a]. [c] καλαμύνδια P. [d] τοιαῦτα ἐκβεβλημένα P. [e] οἷον οἷς ὕλη A[a]. [f] κλήματα C[a], κλίματα A[a]. [g] ἐναγωγῆς C[a]. [h] προθέσεως P, προσθέσεως corr. A[a]. [i] πλάγιαι P.D[a]. [k] ὀλίγοι P[a]. [l] ὁ P.C[a].D[a]. [m] τευθὸς P.D[a].

Digitized by Google

γὰρ ἡ θήλεια, ἐάν τις διαστείλας [n] θεωρήσῃ τὴν κόμην εἴσω, [o] ἐρυθρὰ δύο οἷον μαστούς, ὁ δ' ἄρρην οὐκ ἔχει. [1] Ἡ δὲ σηπία τοῦτό τ' ἔχει διάφορον, καὶ ὅτι [p] ποικιλώτερός ἐστιν ὁ ἄρρην τῆς θηλείας, καθάπερ εἴρηται πρότερον.

19 [q] Τὰ δ' ἔντομα τῶν ζῴων ὅτι μὲν ἐλάττω ἐστὶ τὰ ἄρρενα τῶν θηλειῶν καὶ ἐπιβαίνει ἄνωθεν, καὶ πῶς ποιεῖται τὴν ὀχείαν, καὶ ὅτι διαλύεται μόλις, εἴρηται πρότερον· ὅταν δ' ὀχευθῇ, ταχέως [r] ποιεῖται [s] τὰ πλεῖστα τὸν [t] τόκον ὅσα ὀχεύ-2 εται. Τίκτει δὲ πάντα [v] σκώληκας πλὴν γένος τι ψυχῶν· αὗται δὲ σκληρόν, ὅμοιον [w] κνήκου σπέρματι, ἔσω δὲ [x] χύμα. [1] Ἐκ δὲ τῶν σκωλήκων οὐκ ἐκ μέρους τινὸς γίνεται [y] τὸ ζῷον, [z] ὥσπερ ἐκ τῶν ᾠῶν, ἀλλ' [a] ὅλον αὐξάνεται καὶ διαρθρούμενον 3 γίνεται [b] τὸ ζῷον. Γίνεται δὲ αὐτῶν τὰ μὲν ἐκ ζῴων τῶν συγγενῶν, οἷον φαλάγγιά [b] τε καὶ ἀράχνια ἐκ φαλαγγίων καὶ ἀραχνίων, καὶ ἀττέλαβοι καὶ ἀκρίδες καὶ τέττιγες· τὰ δ' οὐκ ἐκ ζῴων ἀλλ' αὐτόματα, τὰ [c] μὲν ἐκ τῆς δρόσου τῆς ἐπὶ τοῖς φύλλοις [d] πιπτούσης, κατὰ φύσιν μὲν [e] ἐν τῷ [f] ἔαρι, πολλάκις [g] δὲ καὶ τοῦ χειμῶνος, ὅταν εὐδία καὶ [h] νοτία [i] γένηται πλείω χρόνον· τὰ δ' ἐν βορβόρῳ [k] καὶ κόπρῳ [l] σηπομένοις, τὰ δ' ἐν ξύλοις, τὰ μὲν φυτῶν, τὰ δ' [m] ἐν αὔοις ἤδη, τὰ δ' ἐν θριξὶ ζῴων, [n] τὰ δὲ ἐν σαρκὶ τῶν ζῴων, τὰ δ' ἐν [o] τοῖς περιττώμασι, καὶ τούτων τὰ μὲν [p] ἐκκεχωρισμένων, τὰ δ' [q] ἔτι ὄντων ἐν τοῖς ζῴοις, οἷον αἱ καλούμεναι ἕλμινθες. 4 [1] Ἔστι δ' αὐτῶν γένη τρία, [r] ἥ τε ὀνομαζομένη πλατεῖα, καὶ [s] αἱ στρογγύλαι, καὶ [t] τρίται αἱ [u] ἀσκαρίδες. [1] Ἐκ μὲν οὖν

[n] θεωρῇ P.D[a]. [o] ἐρυθρὰ] ἕντερα P.D[a]. [p] ποικιλώτερόν D[a]. [q] Τὰ —πρότερον om. pr. A[a]. [r] προΐεται D[a]. [s] τὰ om. P.D[a]. [t] τρόπον P. [v] σκώληκα P.D[a]. [w] κνίκου P.A[a].C[a].D[a]. [x] χῦμα A[a], ἔγχυμα P.D[a]. [y] τὸ om. P.D[a]. [z] ὥσπερ—ζῷον om. C[a]. [a] ὅλον] ὡς A[a]. [b] τὸ et mox τε om. P.D[a]. [c] μὲν] δὲ P. [d] ἐπιπιπτούσης P.D[a]. [e] ἐν] ἐν οὖν A[a], om. P.D[a]. [f] ἀέρι A[a]. [g] δὲ γίνεται καὶ D[a]. [h] νότια C[a]. [i] γίνηται P. [k] καὶ] τὰ δ' ἐν A[a].C[a]. [l] σηπομένῳ P, σηπομένῃ D[a]. [m] ἐν αὔοις Basileensis: ἐν αὐτοῖς A[a].C[a], ἑαυτοῖς P.D[a]. [n] τὰ δ' ἐν σαρκὶ τῶν ζῴων om. P.D[a]. [o] τοῖς] τισι P. [p] ἐγκεχωρισμένων A[a], ἐκκεχωσμένων P, ἐκκεχεσμένων γρ. A[a]. [q] ἔτι ὄντων] ἐκ τῶν P.D[a]. [r] αἵ τε ὀνομαζόμεναι πλατεῖαι C[a]. [s] αἱ om. P. [t] τρίται αἱ] αἱ τρίται καλοῦνται P.D[a]. [u] ἀκαρίδες A[a].C[a].

Digitized by Google

τούτων ἕτερον [v] οὐθὲν γίνεται· ἡ [w] δὲ πλατεῖα προσπέφυκέ [x] τε μόνῃ τῷ ἐντέρῳ καὶ ἀποτίκτει [y] οἷον σικύου σπέρμα, ᾧ γινώσκουσι σημείῳ οἱ ἰατροὶ τοὺς ἔχοντας αὐτήν. Γίνονται 5 δ' αἱ μὲν καλούμεναι ψυχαὶ ἐκ τῶν [z] καμπῶν, [a] αἳ γίνονται ἐπὶ τῶν φύλλων τῶν χλωρῶν, καὶ μάλιστα ἐπὶ τῆς ῥαφάνου, [b] ἣν καλοῦσί τινες κράμβην, πρῶτον μὲν ἔλαττον κέγχρου, [c] εἶτα μικροὶ [d] σκώληκες αὐξανόμενοι, ἔπειτα ἐν τρισὶν ἡμέραις κάμπαι μικραί· μετὰ δὲ ταῦτα αὐξηθεῖσαι ἀκινητίζουσι, καὶ μεταβάλλουσι τὴν μορφήν, καὶ καλοῦνται [e] χρυσαλλίδες, καὶ σκληρὸν ἔχουσι τὸ κέλυφος, ἁπτομένου δὲ κινοῦνται. [f] Προσ- 6 έχονται δὲ πόροις ἀραχνιώδεσιν [g] οὔτε στόμα ἔχουσαι οὔτ' ἄλλο τῶν μορίων [h] διάδηλον οὐθέν. Χρόνου δ' [i] οὐ πολλοῦ διελθόντος περιρρήγνυται τὸ κέλυφος, καὶ [k] ἐκπέτεται ἐξ αὐτῶν πτερωτὰ ζῷα, ἃς καλοῦμεν ψυχάς. Τὸ μὲν οὖν πρῶ- 7 τον, ὅταν ὦσι κάμπαι, τρέφονται καὶ [l] περίττωμα ἀφιᾶσιν· ὅταν δὲ γένωνται [e] χρυσαλλίδες, [m] οὐθενὸς οὔτε γεύονται οὔτε προΐενται περίττωμα. Τὸν αὐτὸν δὲ τρόπον καὶ τἆλλα ὅσα γίνεται ἐκ σκωλήκων, καὶ [n] ὅσοι ἐκ [o] συνδυασμοῦ γίνονται ζῴων σκώληκες, καὶ ὅσοι ἄνευ ὀχείας. Καὶ γὰρ [p] οἱ τῶν 8 μελιττῶν καὶ [q] ἀνθρηνῶν καὶ σφηκῶν ὅταν μὲν νέοι σκώληκες ὦσι, τρέφονταί [r] τε καὶ κόπρον ἔχοντες φαίνονται· ὅταν δ' ἐκ τῶν σκωλήκων εἰς τὴν διατύπωσιν ἔλθωσι, καλοῦνται [s] μὲν νύμφαι τότε, οὐ λαμβάνουσι δὲ τροφὴν οὐδὲ κόπρον [t] ἔτ' ἔχουσιν, ἀλλὰ [v] περιειργμένοι ἀκινητίζουσιν ἕως ἂν αὐξηθῶσιν· τότε δ' ἐξέρχονται [w] διακόψαντες ᾧ [x] καταλήλειπται ὁ κύτταρος. Γίνονται δὲ καὶ τὰ [y] ὕπερα καὶ τὰ πηνία ἔκ τινων 9

[v] οὐθέν τι γίνεται P. [w] πλατεῖα δὲ A[a].C[a]. [x] τε μόνῃ] μόνῳ P.D[a]. [y] οἷον] τι οἷον P.D[a]. [z] κάμπων A[a]. [a] αἱ δὲ γίνονται ἐκ P.D[a]. [b] ἣν καὶ καλ. D[a]. [c] ἔπειτα A[a].C[a]. [d] σκ. καὶ αὐξ. D[a]. [e] hic et sect. 6. χρυσαλίδες A[a]. [f] περιέχονται P.D[a]. [g] οὔτε δὲ στόμα ἔχουσιν P, οἱ οὔτε στόμα ἔχουσιν D[a]. [h] οὐθὲν διάδηλον D[a]. [i] οὐ om. P.D[a]. [k] ἐκπέττεται A[a], ἐκπέττονται P, ἐκπέτονται D[a]. [l] περιττώματα C[a]. [m] οὐθὲν P.D[a]. [n] ὅσα P.D[a]. [o] συνδυασμῶν A[a]. [p] οἱ] ἐκ C[a], om. A[a]. [q] ἀνθρινῶν P. [r] τε] μὲν P.D[a]. [s] μὲν οὖν νύμφαι P.C[a]. [t] ἔτ' om. P.D[a]. [v] περιειργμέναι ἀκινητίζουσιν μέχρις D[a]. [w] διακόψασαι P.D[a]. [x] καταλέληπται P, καταλέλειπται D[a]. [y] πηνία καὶ τὰ ὕπερα P.D[a], ὕπερα καὶ τὰ ὑπήνια A[a].C[a].

Digitized by Google

[z]τοιούτων ἄλλων, αἱ κυμαίνουσι τῇ πορείᾳ καὶ [a]προβᾶσαι τῷ ἑτέρῳ κάμψασαι ἐπιβαίνουσιν· ἕκαστον δὲ τῶν [a]γιγνομένων τὸ οἰκεῖον χρῶμα λαμβάνει ἀπὸ τῆς κάμπης. [1]Ἐκ δέ τινος σκώληκος μεγάλου, ὃς ἔχει οἷον κέρατα καὶ διαφέρει τῶν ἄλλων, [b]γίνεται [c]πρῶτον μὲν μεταβαλόντος τοῦ σκώληκος κάμπη, ἔπειτα [d]βομβύλιος, ἐκ δὲ τούτου [e]νεκύδαλος· [f]ἐν ἓξ δὲ μησὶ μεταβάλλει ταύτας τὰς μορφὰς πάσας. [1]Ἐκ δὲ [g]τούτου τοῦ ζῴου καὶ τὰ βομβύκια ἀναλύουσι τῶν γυναικῶν τινὲς ἀναπηνιζόμεναι, κἄπειτα ὑφαίνουσιν· πρώτη δὲ λέγεται [h]ὑφῆναι ἐν Κῷ [i]Παμφίλη [k]Πλάτεω θυγάτηρ. [1]Ἐκ δὲ τῶν σκωλήκων τῶν ἐν τοῖς ξύλοις τοῖς αὔοις οἱ [l]κάραβοι γίνονται τὸν αὐτὸν τρόπον· [m]πρῶτον μὲν [n]ἀκινητισάντων τῶν σκωλήκων, εἶτα περιρραγέντος τοῦ κελύφους ἐξέρχονται οἱ [l]κάραβοι. [1]Ἐκ δὲ τῶν [o]καράβων γίνονται [p]αἱ [q]πρασοκουρίδες· [r]ἴσχουσι δὲ πτερὰ καὶ αὐταί. [1]Ἐκ δὲ τῶν ἐν τοῖς ποταμοῖς πλατέων ζωδαρίων τῶν ἐπιθεόντων [s]οἱ οἶστροι· διὸ καὶ οἱ πλεῖστοι περὶ τὰ ὕδατα γίνονται [t]οὗ τὰ τοιαῦτά [v]ἐστι ζῷα. [1]Ἐκ δὲ [w]μελαινῶν τινῶν καὶ δασειῶν οὐ μεγάλων καμπῶν πρῶτον γίνονται [x]πυγολαμπίδες, οὐχ αἱ [y]πετόμεναι· αὗται δὲ πάλιν μεταβάλλουσι, καὶ γίνονται πτερωτὰ ζῷα [z]ἐξ αὐτῶν, οἱ καλούμενοι βόστρυχοι. Αἱ δ' ἐμπίδες γίνονται ἐκ τῶν ἀσκαρίδων. Αἱ δ' ἀσκαρίδες γίνονται ἔν τε τῇ ἰλύϊ τῶν φρεάτων καὶ ὅπου ἂν [a]σύρρευσις γένηται ὕδατος [b]γεώδη ἔχουσα ὑπόστασιν. Τὸ μὲν οὖν πρῶτον [c]αὐτὴ ἡ ἰλὺς σηπο-

[z]τοιούτων ἄλλων] καμπῶν τοιούτων P.D[a]. [a]προσβᾶσαι et mox γενῶν P.C[a].D[a]. [b]γίνεται δὲ πρ. P. [c]πρῶτον μεταβάλλοντος A[a].C[a]. [d]βομβυλὶς A[a].C[a]. [e]νεκύδαλλος D[a], σκύδαλλος P. [f]ἓξ μησὶ μεταβάλλει δὲ, omissa ἐν, P. [g]τοῦ ζώου τούτου D[a]. [h]ὑφᾶναι P.D[a]. [i]πασαφίλη D[a]. [k]πλατέω C[a], λατούω P, λατώου D[a]. [l]utrobique καράβιοι A[a], καράμβιοι C[a]. [m]πρῶτον μὲν om. D[a]. [n]ἀκινητισάντων—τοῦ] ὑμήν τις ἀκινητ. τῶν σκ. νοεῖται. περιρραγέντος δὲ τοῦ P.D[a]. [o]κραμβῶν Scaliger, σίμβλων A[a], σίμδων C[a]. [p]αἱ om. A[a].C[a]. [q]πρασουκαρίδες C[a]. [r]ἔχουσι P.D[a]. [s]οἱ οἶστροι om. P.D[a]. [t]οὗ] καὶ P.D[a]. [v]ζῶα ἔστι A[a].C[a]. [w]μελαίνων τινῶν καὶ δασέων P.A[a].C[a].D[a]. [x]πυρολαμπίδες P.D[a]. [y]πεττόμεναι P. [z]ἐξ αὐτῶν] ἐξ αὐτῶν δὲ C[a], καὶ ἐξ αὐτῶν P.D[a]. [a]σύρρεισις P, συρρύασις C[a]. [b]γαιώδη ἔχουσαν A[a]. [c]αὕτη A[a].C[a].

Digitized by Google

μένη χρῶμα λαμβάνει λευκόν, εἶτα μέλαν, τελευτῶσα δ' αἱ-
ματῶδες· ὅταν δὲ τοιαύτη γένηται, φύεται ἐξ αὐτῆς ὥσπερ
τὰ φυκία μικρὰ σφόδρα καὶ ἐρυθρά· ταῦτα δὲ χρόνον [c]μέν
τινα κινεῖται [d]προσπεφυκότα, ἔπειτ' ἀπορραγέντα φέρεται
κατὰ τὸ ὕδωρ, αἱ καλούμεναι ἀσκαρίδες. Μεθ' ἡμέρας δ' 16
ὀλίγας ἵστανται ὀρθαὶ ἐπὶ τοῦ ὕδατος ἀκινητίζουσαι καὶ
σκληραί, κἄπειτα περιρραγέντος [e]τοῦ κελύφους ἡ ἐμπὶς ἄνω
ἐπικάθηται, ἕως [f]ἂν ἥλιος ἢ πνεῦμα κινήσῃ· τότε [g]δ' ἤδη
[h]πέτεται. Πᾶσι δὲ καὶ τοῖς ἄλλοις [i]σκώληξι καὶ τοῖς ζῴοις 17
τοῖς ἐκ τῶν σκωλήκων περιρρηγνυμένοις ἡ [k]ἀρχὴ γίγνεται
τῆς γενέσεως ὑφ' ἡλίου ἢ ὑπὸ πνεύματος. Μᾶλλον δὲ καὶ
θᾶττον γίνονται αἱ ἀσκαρίδες ἐν τοῖς ἔχουσι παντοδαπὴν ὑπό-
στασιν, οἷον [l]Μεγαροῖ τε γίνεται καὶ ἐν τοῖς ἔργοις· σήπε-
ται γὰρ [m]τὰ τοιαῦτα θᾶττον. [n]Καὶ μετοπώρου δὲ γίνονται 18
μᾶλλον· τότε γὰρ [o]τὸ ὑγρὸν συμβαίνει [p]εἶναι ἔλαττον. Οἱ
δὲ [q]κρότωνες γίνονται ἐκ τῆς ἀγρώστεως, αἱ δὲ μηλολόνθαι
ἐκ τῶν σκωλήκων τῶν ἐν τοῖς [r]βολίτοις καὶ τῶν ὀνίδων. [s]Οἱ
δὲ κάνθαροι ἣν κυλίουσι κόπρον, ἐν ταύτῃ [t]φωλεύουσί τε τὸν
χειμῶνα καὶ [v]ἐντίκτουσι [w]σκωλήκια, ἐξ ὧν γίνονται [x]κάν-
θαροι. Γίνονται δὲ καὶ ἐκ τῶν σκωλήκων τῶν [y]ἐν τοῖς 19
[z]ὀσπρίοις πτερωτὰ ζῷα ὁμοίως τοῖς εἰρημένοις. Αἱ δὲ μυῖαι
ἐκ τῶν σκωλήκων τῶν ἐν τῇ κόπρῳ τῇ χωριζομένῃ κατὰ μέ-
ρος· διὸ καὶ οἱ περὶ ταύτην τὴν ἐργασίαν ὄντες μάχονται
χωρίζειν τὴν ἄλλην τὴν μεμιγμένην, καὶ λέγουσι [a]τότε κα-
τειργάσθαι τὴν κόπρον. [b]Ἡ δ' ἀρχὴ τῶν [b]σκωληκίων μικρά· 20
πρῶτον [c]μὲν γὰρ καὶ ἐνταῦθα ἐρυθραίνεται καὶ ἐξ ἀκινησίας

[c] τινὰ μὲν P. [d] προσπεφυκότα intpp: codices πεφυκότα. [e] τοῦ om. $A^a.C^a$. [f] ἂν] ἢ ἂν A^a. [g] δ' ἤδη] ἤδη A^a, δὴ $P.D^a$. [h] πέταται C^a, πετᾶται P, πέπαυται A^a. [i] ζώοις καὶ σκώληξι A^a. [k] ἀρχὴ φαίνεται γίνεσθαι τῆς γενέσεως ἢ ὑφ' $P.D^a$. [l] Μεγαροῖ] μὲν γὰρ οἱ P. [m] τὰ τοιαῦτα] ταῦτα $A^a.C^a$. [n] καὶ] τοῦ D^a. καὶ—ἔλαττον om. P. [o] τὸ om. D^a. [p] εἶναι] μᾶλλον εἶναι A^a. [q] κρότονες P. [r] βολετοῖς P, βολβίτοις $A^a.C^a$. [s] αἱ $P.D^a$. [t] φωλοῦσί $P.D^a$. [v] ἐκτίκτουσι $P.D^a$. [w] σκώληκα P, σκώληκας D^a. [x] σκάνθαροι P. [y] ἐν om. $A^a.C^a$. [z] κυπρίοις P. [a] κατεργάσθαι τότε D^a, κατεργάσασθαι τότε P. [b] σκωλήκων A^a. [c] μὲν γὰρ καὶ] γὰρ $A^a.C^a$.

Digitized by Google

λαμβάνει κίνησιν οἷον πεφυκότα· εἶτα σκωλήκιον ἀποβαίνει ἀκίνητον· εἶτα κινηθὲν ὕστερον γίνεται ἀκίνητον πάλιν· ἐκ δὲ τούτου μυῖα [d] ἀποτελεῖται, καὶ κινεῖται πνεύματος ἢ ἡλίου
21 [e] γενομένου. Οἱ δὲ μύωπες γίνονται ἐκ τῶν ξύλων. Αἱ δὲ [f] ὀρσοδάκναι ἐκ τῶν [g] σκωληκίων μεταβαλλόντων· τὰ δὲ σκω-
22 λήκια ταῦτα [h] γίνεται ἐν τοῖς καυλοῖς τῆς κράμβης. Αἱ δὲ κανθαρίδες ἐκ τῶν πρὸς ταῖς συκαῖς καμπῶν καὶ ταῖς ἀπίοις καὶ ταῖς πεύκαις (πρὸς πᾶσι γὰρ τούτοις γίνονται σκώληκες) καὶ ἐκ τῶν ἐν τῇ κυνακάνθῃ· ὁρμῶσι δὲ καὶ [i] πρὸς τὰ δυσώδη
23 διὰ τὸ ἐκ τοιαύτης γεγονέναι ὕλης. Οἱ δὲ κώνωπες ἐκ [k] σκωλήκων οἳ γίνονται ἐκ τῆς περὶ τὸ ὄξος ἰλύος· καὶ γὰρ ἐν τοῖς δοκοῦσιν [l] ἀσηπτοτάτοις [m] εἶναι ἐγγίγνονται ζῷα, οἷον ἐν [n] χιόνι τῇ [o] παλαιᾷ. Γίνεται [p] δ' ἡ [q] παλαιὰ ἐρυθροτέρα, διὸ καὶ οἱ σκώληκες τοιοῦτοι καὶ δασεῖς· [r] οἱ δ' ἐκ τῆς ἐν
[s] Μηδίᾳ [t] χιόνος μεγάλοι καὶ λευκοί· δυσκίνητοι δὲ πάντες.
24 Ἐν δὲ Κύπρῳ, [v] οὗ ἡ [w] χαλκῖτις λίθος καίεται, ἐπὶ πολλὰς ἡμέρας [x] ἐμβαλλόντων, ἐνταῦθα γίνεται θηρία ἐν τῷ πυρί, τῶν μεγάλων [y] μυιῶν μικρόν τι μείζονα, ὑπόπτερα, ἃ [z] διὰ
25 τοῦ πυρὸς [a] πηδᾷ καὶ βαδίζει. [1] Ἀποθνήσκουσι δὲ καὶ οἱ σκώληκες καὶ ταῦτα χωριζόμενα τὰ μὲν τοῦ πυρός, [b] οἱ δὲ τῆς χιόνος. [v] Ὅτι δ' ἐνδέχεται [c] μὴ [d] κάεσθαι συστάσεις [e] τινὰς ζῴων, ἡ σαλαμάνδρα ποιεῖ φανερόν· αὕτη γάρ, ὡς φασί,
26 [f] διὰ πυρὸς βαδίζουσα κατασβέννυσι τὸ πῦρ. Περὶ δὲ τὸν [g] [v] Ὑπανιν ποταμὸν τὸν περὶ Βόσπορον τὸν [h] Κιμμέριον ὑπὸ τροπὰς θερινὰς καταφέρονται [i] ὑπὸ τοῦ ποταμοῦ οἷον θύλακοι μείζους [k] ῥαγῶν, ἐξ ὧν ῥηγνυμένων ἐξέρχεται ζῷον πτε-

[d] ἀποτελευτᾷ Aa.Ca. [e] γινομένου P.Da. [f] ὀρεοδάκναι Aa.Ca. [g] σκωλήκων P.Da. [h] γίνονται P.Da. [i] πρὸς om. Ca. [k] σκωληκίων Aa.Ca. [l] ἀσαιποτάτοις Ca. [m] εἶναι om. P.Da. [n] χιόνι τε τῇ Aa, βραχιόνι τε τῇ Ca. [o] παλαιᾷ σκώληκες. γίνεται P.Da. [p] δ' om. Ca. [q] παλαιὰ] πᾶσα Aa. [r] οἱ δ' ἐκ τῆς] ἐν δὲ τῇ Aa.Ca. [s] Μηδίᾳ] εὐδίᾳ Da, εὐδρίᾳ Pa. [t] χιόνι Aa.Ca. [v] οὗ om. Aa. [w] χαλκήτης P. [x] ἐμβαλόντων P.Da. [y] μυῶν P.Aa.Da. [z] κατὰ P.Da. [a] βαδίζει καὶ πηδᾷ P.Da. [b] οἱ δὲ] τὰ δὲ Aa. [c] μὴ] καὶ μὴ Aa.Ca. [d] καίεσθαι P.Aa.Ca. [e] τινῶν P.Da. [f] διὰ τοῦ πυρὸς P.Aa.Da. [g] ὑπάνην P.Da. [h] κιμμερικὸν Da, καὶ μέχρι καὶ P. [i] ἐπὶ P.Da. [k] ῥογῶν Aa, ῥωγῶν P.Da.

Digitized by Google

ρωτὸν τετράπουν· ζῇ δὲ καὶ [l]πέτεται μέχρι δείλης, καταφερομένου δὲ τοῦ ἡλίου ἀπομαραίνεται, καὶ ἅμα δυομένου ἀποθνήσκει [m]βιῶσαν [n]ἡμέραν μίαν, διὸ [o]καὶ καλεῖται ἐφήμερον. Τὰ πλεῖστα δὲ τῶν γινομένων [p]ἔκ τε καμπῶν καὶ σκωλήκων 17
ὑπὸ ἀραχνίων [q]κατέχεται τὸ πρῶτον. Ταῦτα μὲν οὖν γίνεται τοῦτον τὸν τρόπον· οἱ δὲ [r]σφῆκες οἱ [s]ἰχνεύμονες καλού- 20
μενοι (εἰσὶ δ' ἐλάττους τῶν ἑτέρων) τὰ φαλάγγια ἀποκτείναντες φέρουσι πρὸς [t]τειχίον ἤ τι τοιοῦτον τρώγλην ἔχον, καὶ πηλῷ [v]προσκαταλείψαντες [w]ἐντίκτουσιν ἐνταῦθα, καὶ γίνονται ἐξ αὐτῶν [x]οἱ σφῆκες [x]οἱ [s]ἰχνεύμονες. Ἔνια δὲ 2
τῶν κολεοπτέρων καὶ μικρῶν καὶ ἀνωνύμων ζῴων τοῦ πηλοῦ τρώγλας ποιοῦνται μικρὰς ἢ πρὸς τάφοις [y]ἢ τειχίοις, καὶ ἐνταῦθα [z]τὰ σκωλήκια [a]ἐντίκτουσιν. Ὁ δὲ χρόνος τῆς γε- 3
νέσεως ἀπὸ μὲν τῆς ἀρχῆς μέχρι [b]τοῦ τέλους σχεδὸν τοῖς πλείστοις ἑπτάσι μετρεῖται τρισὶν ἢ [c]τέτταρσιν. Τοῖς μὲν [d]οὖν [e]σκώληξι καὶ τοῖς σκωληκοειδέσι τοῖς πλείστοις τρεῖς γίνονται ἑπτάδες, τοῖς δὲ [f]ᾠοτοκοῦσι [g]τέτταρες ὡς ἐπὶ τὸ πολύ. Τούτων δ' ἀπὸ μὲν τῆς ὀχείας ἐν ταῖς ἑπτὰ ἡ σύστα- 4
σις γίνεται, ἐν δὲ ταῖς λοιπαῖς τρισὶν ἐπῳάζουσι καὶ [h]ἐκλέπουσιν ὅσα γόνῳ [i]τίκτεται, οἷον ὑπ' [k]ἀράχνου ἢ ἄλλου [l]τινὸς τοιούτου. Αἱ δὲ μεταβολαὶ γίνονται τοῖς πλείστοις κατὰ τριήμερον ἢ τετραήμερον, ὥσπερ καὶ [m]αἱ τῶν νόσων συμβαίνουσι κρίσεις.

Τῶν μὲν οὖν ἐντόμων οὗτος ὁ τρόπος [n]ἐστὶ τῆς γενέσεως· 5
φθείρονται δ' [o]ἐρρικνωμένων τῶν μορίων, ὥσπερ γήρᾳ τὰ μείζω τῶν ζῴων· ὅσα δὲ πτερωτά, καὶ τῶν [p]πτερῶν συσπω-

[l] πέταται Aª, πετᾶται P. [m] βιοῦν P.Dª. [n] ἡμέραν μίαν διὸ] ἡμέρας δύο P. [o] καὶ om. Aª.Cª. [p] ἔκ τε καμπῶν καὶ] καμπῶν ἐκ τῶν P.Dª. [q] περιέχεται P.Dª. [r] σφῆκες καὶ οἱ Aª. [s] ἰσχνούμονες utrobique P. [t] τειχίον ἤ] τῇ χιόνι P.Dª. [v] καταχρίσαντες P.Dª. [w] ἐκτίκτουσιν P.Cª.Dª. [x] οἱ utrumque om. Aª.Cª. [y] ἢ τειχίοις] καὶ τειχίοις P. [z] τὰ om. P. [a] ἐκτίκτουσιν P.Dª. [b] τοῦ om. P.Dª. [c] τέσσαρσι Dª. [d] οὖν om. Aª.Cª. [e] σκόλωψι P, κώνωψι Aª.Cª.Dª. [f] ζωοτοκοῦσι P.Aª.Cª.Dª. [g] τέσσαρες Aª. [h] ἐκλείπουσιν P.Dª. [i] τήκεται P. [k] ἀραχνίου Aª.Cª. [l] τοιούτου τινὸς P.Dª. [m] αἱ om. Cª. [n] τῆς γενέσεώς ἐστιν Aª. [o] ἐρικνουμένων Aª.Cª, ῥικνωμένων P. [p] πτερωτῶν οὐ σπωμένων P.

Digitized by Google

μένων περὶ τὸ μετόπωρον· [q] οἱ δὲ μύωπες καὶ τῶν ὀμμάτων [r] ἐξυδρωπιώντων.

21 Περὶ δὲ τὴν γένεσιν [s] τὴν τῶν μελιττῶν οὐ τὸν αὐτὸν τρόπον πάντες ὑπολαμβάνουσιν. Οἱ μὲν γάρ φασιν οὐ τίκτειν οὐδ' ὀχεύεσθαι τὰς μελίττας, ἀλλὰ φέρειν τὸν γόνον, καὶ φέρειν οἱ μὲν [t] ἀπὸ τοῦ ἄνθους τοῦ καλλύντρου, οἱ δ' ἀπὸ τοῦ ἄνθους τοῦ καλάμου, ἄλλοι δ' ἀπὸ τοῦ ἄνθους τῆς ἐλαίας· καὶ σημεῖον [v] λέγουσιν [w] ὅτι ἂν ἐλαιῶν φορὰ γένηται,
2 τότε καὶ ἐσμοὶ ἀφίενται πλεῖστοι. Οἱ δέ φασι τὸν μὲν τῶν [x] κηφήνων [y] γόνον αὐτὰς φέρειν ἀπό τινος ὕλης τῶν [z] προειρημένων, τὸν δὲ τῶν μελιττῶν τίκτειν τοὺς ἡγεμόνας. Τῶν δ' ἡγεμόνων ἐστὶ γένη δύο, ὁ μὲν βελτίων πυρρός, ὁ δ' ἕτερος μέλας καὶ ποικιλώτερος, τὸ δὲ μέγεθος διπλάσιος τῆς χρηστῆς μελίττης· [a] καὶ τὸ κάτω τοῦ διαζώματος ἔχουσιν ἡμιόλιον μάλιστα τῷ μήκει, καὶ καλοῦνται ὑπό τινων μητέρες ὡς
3 γεννῶντες. Σημεῖον δὲ [b] λέγουσιν ὅτι ὁ μὲν τῶν [c] κηφήνων ἐγγίνεται γόνος κἂν [d] μὴ ἐνῇ ἡγεμών, ὁ δὲ τῶν μελιττῶν οὐκ ἐγγίνεται. Οἱ δέ φασιν ὀχεύεσθαι, καὶ εἶναι ἄρρενας μὲν
4 [e] τοὺς κηφῆνας, θηλείας δὲ τὰς μελίττας. Ἔστι δὲ τῶν μὲν ἄλλων ἡ γένεσις ἐν τοῖς κοίλοις τοῦ κηρίου, οἱ δέ [f] γ' ἡγεμόνες γίνονται κάτω πρὸς τῷ κηρίῳ, ἀποκρεμάμενοι χωρίς,
5 [g] ἓξ ἢ ἑπτά, ἐναντίως τῷ [h] ἄλλῳ γόνῳ πεφυκότες. Κέντρον δ' αἱ μὲν μέλιτται ἔχουσιν, οἱ δὲ κηφῆνες οὐκ ἔχουσιν· οἱ δὲ βασιλεῖς καὶ ἡγεμόνες ἔχουσι μὲν κέντρον, ἀλλ' οὐ τύπτουσι,
22 διὸ ἔνιοι [i] οὐκ οἴονται ἔχειν αὐτούς. Εἰσὶ δὲ γένη τῶν μελιττῶν, ἡ μὲν ἀρίστη [k] μικρὰ καὶ στρογγύλη καὶ [l] ποικίλη, ἄλλη δὲ [m] μακρά, ὁμοία τῇ [n] ἀνθρήνῃ, τρίτος δ' ὁ φὼρ καλούμενος

[q] αἱ P.D[a]. [r] ἐξυδροπιώντων A[a], ἐξ ὑδροπιώντων P. [s] τὴν ante τῶν om. P.D[a]. [t] ἀπὸ—οἱ δ' om. P.D[a]. [v] λέγειν A[a]. [w] ὅτι ἂν] ὅταν C[a], ὅτι ὅταν D[a]. [x] κηφίνων A[a]. [y] φέρειν αὐτὰς γόνον P, αὐτὰς φέρειν γόνον D[a], φέρειν αὐτὰς A[a]. [z] εἰρημένων P.D[a]. [a] καὶ τὸ] τὸ δὲ A[a].C[a]. [b] λέγεται A[a]. [c] κηφίνων A[a]. [d] μὴ om. C[a]. [e] τοὺς] τὰς A[a]. [f] γ' om. P.D[a]. [g] ἐξ ἢ ἑπτὰ] καὶ ἑξῆπται P.D[a]. [h] ἄλλῳ om. P.D[a]. [i] οὐκ] μὲν οὐκ P.D[a]. [k] μακρὰ D[a]. [l] ποικίλη] κοίλη A[a]. [m] μικρὰ D[a]. [n] ἀρθρήνῃ C[a], ἀρθρινῇ P.D[a].

Digitized by Google

(οὗτος δ' ἐστὶ [o]μέλας καὶ πλατυγάστωρ), τέταρτος δ' [p]ὁ κηφήν, μεγέθει μὲν μέγιστος [q]πάντων, ἄκεντρος [r]δὲ καὶ νωθρός· διὸ [s]καὶ πλέκουσί τινες περὶ τὰ σμήνη ὥστε τὰς [t]μὲν μελίττας εἰσδύεσθαι, τοὺς δὲ κηφῆνας μὴ διὰ τὸ εἶναι [v]αὐτοὺς μείζους. [w]Ἡγεμόνων δὲ [w]γένη δύο ἐστίν, ὥσπερ εἴ- 2
ρηται καὶ πρότερον. Εἰσὶ δὲ [x]πλείους ἐν ἑκάστῳ [y]σμήνει ἡγεμόνες, καὶ οὐχ εἷς μόνος· ἀπόλλυται δὲ τὸ σμῆνος, [z]ἐάν τε ἡγεμόνες μὴ ἱκανοὶ [a]ἐνῶσιν (οὐχ [b]οὕτω διὰ τὸ [c]ἄναρχοι εἶναι, ἀλλ' ὡς φασίν, ὅτι συμβάλλονται εἰς τὴν γένεσιν [d]τὴν τῶν μελιττῶν) ἐάν τε πολλοὶ [e]ὦσιν οἱ ἡγεμόνες· διασπῶσι γάρ. [v]Ὅταν μὲν οὖν ἔαρ [f]ὄψιον γένηται, καὶ ὅταν [g]αὐχμοὶ 3
καὶ ἐρυσίβη, [h]ἐλάττων γίνεται [i]ὁ γόνος· ἀλλ' αὐχμοῦ μὲν ὄντος μέλι ἐργάζονται μᾶλλον, ἐπομβρίας δὲ γόνον, διὸ καὶ ἅμα συμβαίνει ἐλαιῶν φορὰ καὶ ἐσμῶν. [t]Ἐργάζονται δὲ 4
πρῶτον μὲν τὸ κηρίον, εἶτα τὸν γόνον [k]ἐναφιᾶσιν, [l]ὡς [m]μέν ἔνιοι λέγουσιν, ἐκ τοῦ στόματος, [n]ὅσοι φέρειν φασὶν [o]ἄλλοθεν, εἶθ' οὕτω τὸ μέλι [p]τροφὴν τὴν μὲν τοῦ θέρους τὴν δὲ τοῦ μετοπώρου· ἄμεινον δ' ἐστὶ τὸ μετοπωρινὸν μέλι. Γί- 5
νεται δὲ κηρίον μὲν ἐξ [q]ἀνθέων, κήρωσιν δὲ [r]φέρουσιν ἀπὸ τοῦ δακρύου τῶν δένδρων, μέλι δὲ τὸ πῖπτον ἐκ τοῦ ἀέρος, καὶ μάλιστα [s]ἐν ταῖς τῶν ἄστρων ἐπιτολαῖς, καὶ ὅταν κατασκήψῃ [t]ἡ ἶρις· ὅλως δ' οὐ γίνεται μέλι πρὸ Πλειάδος ἐπιτολῆς. [v]Τὸν μὲν οὖν κηρὸν ποιεῖ, ὥσπερ εἴρηται, ἐκ τῶν 6
ἀνθέων· τὸ [w]δὲ μέλι ὅτι [x]οὐ ποιεῖ ἀλλὰ [y]φέρει [z]τὸ πῖ-

[o] μέγας Aª.Cª. [p] ὁ om. Aª.Cª. [q] ἁπάντων Aª.Cª. [r] δὲ] τε Cª. [s] καὶ πλέκουσι] πλέκουσι μὲν P.Dª. [t] μελίττας μὲν P. [v] αὐτοὺς om. Aª.Cª. [w] γένη δύο εἰσίν P, δύο γένη εἰσίν Dª. [x] πλείους ante ἡγεμόνες P.Dª. [y] γένει Cª. [z] ἐὰν ἡγεμόνες ἱκανοὶ μὴ P.Dª. [a] ὦσιν Aª.Cª. [b] οὕτω δὲ διὰ Dª. [c] ἄναρχα Dª, ἄναρχαι P. [d] τὴν ante τῶν om. Aª. [e] ὦσιν ἡγεμόνες Cª, ἡγεμόνες ὦσι P.Dª. [f] ὄψιμον P.Dª. [g] αὐχμαὶ P. [h] ἐλάττω Aª. [i] ὁ γόνος] λόγος Aª, incerto Cª. [k] ἐναφίησιν P. [l] ὡς] δ' ὡς Dª. [m] μὲν] μὲν οὖν Aª.Cª. [n] ὅσοι] οἱ δὲ Dª, διὸ P. [o] ἄλλοθεν εἰς τοῦ τῷ μ. P. τὸ om. Dª. [p] τρέφειν P.Dª. [q] ἀνθῶν P.Aª. [r] φέρωσιν Aª. [s] ἐν ταῖς om. P, ταῖς om. Dª. [t] ἡ ἶρις] σίριος Dª, ἶρις Aª. [v] τὸ μὲν οὖν κηρίον, omissis ποιεῖ ὥσπερ εἴρηται, Aª.Cª. [w] δὲ ante τῶν P.Dª. [x] οὐ] δ' οὐ Dª. [y] διαφέρει Aª. [z] τὸ πῖπτον] πλεῖστον μόριον P, πλεῖστον μόνον Dª.

Digitized by Google

πτον, σημεῖον· [a] ἐν μιᾷ γὰρ ἢ δυσὶν ἡμέραις πλήρη εὑρίσκουσι τὰ σμήνη οἱ [b] μελιττουργοὶ μέλιτος. [c] Ἔτι δὲ τοῦ μετοπώρου ἄνθη [c] μὲν γίνεται, [d] μέλι δ' οὔ, ὅταν ἀφαιρεθῇ. 7 [e] Ἀφῃρημένου οὖν ἤδη τοῦ γενομένου μέλιτος, καὶ τροφῆς [f] ἢ οὐκ ἐνούσης ἔτι ἢ σπανίας, [g] ἐνεγίνετο ἄν, εἴπερ ἐποίουν ἐκ τῶν [h] ἀνθέων. [i] Συνίσταται δὲ τὸ μέλι πεττόμενον· ἐξ ἀρχῆς γὰρ οἷον ὕδωρ γίνεται, καὶ ἐφ' ἡμέρας μέν τινας ὑγρόν ἐστι (διὸ κἂν [k] ἀφαιρεθῇ ἐν ταύταις ταῖς ἡμέραις, οὐκ [l] ἔχει 8 πάχος), ἐν εἴκοσι δὲ [m] μάλιστα συνίσταται. Δῆλον δ' ἐστὶν εὐθέως τὸ ἀπὸ [n] τοῦ [o] χυμοῦ· διαφέρει γὰρ τῇ γλυκύτητι καὶ τῷ πάχει. Φέρει δ' ἀπὸ πάντων ἡ μέλιττα ὅσα [q] ἐν κάλυκι ἀνθεῖ, καὶ ἀπὸ τῶν ἄλλων [r] δὲ ὅσα ἂν γλυκύτητα ἔχῃ, οὐθένα βλάπτουσα καρπόν· τοὺς δὲ χυμοὺς [s] τούτων τῷ 9 ὁμοίῳ τῇ γλώττῃ ἀναλαμβάνουσα κομίζει. [t] Βλίττεται δὲ τὰ σμήνη, ὅταν ἐρινεὸν σῦκον [v] φανῇ· [w] σχάδονας δ' ἀρίστας ποιοῦσιν, ὅταν μέλι ἐργάζωνται. Φέρει δὲ κηρὸν μὲν καὶ ἐριθάκην περὶ τοῖς σκέλεσι, τὸ [x] δὲ μέλι ἐμεῖ εἰς τὸν κύττα- 10 ρον. Τὸν δὲ γόνον ὅταν ἀφῇ, ἐπφάζει ὥσπερ ὄρνις. [z] Ἐν δὲ τῷ κηρίῳ τὸ σκωλήκιον μικρὸν μὲν ὂν κεῖται πλάγιον, ὕστερον δ' ἀνίσταται αὐτὸ ὑφ' ἑαυτοῦ καὶ τρέφεται, πρὸς δὲ τῷ [y] κηρίῳ ἔχεται ὥστε καὶ ἀντειλῆφθαι. [b] Ὁ δὲ γόνος ἐστὶ τῶν μελιττῶν καὶ τῶν κηφήνων λευκός, ἐξ οὗ τὰ σκωλήκια [z] γίνεται· [a] αὐξανόμενα [b] δὲ γίνονται μέλιτται καὶ κηφῆνες. 11 [c] Ὁ δὲ τῶν βασιλέων γόνος τὴν χρόαν γίνεται ὑπόπυρρος, τὴν δὲ λεπτότητά [c] ἐστιν [d] οἷον μέλι παχύ· [e] τὸν δ' ὄγκον εὐθέως ἔχει παραπλήσιον τῷ [f] γιγνομένῳ ἐξ [g] αὐτοῦ. Σκώ-

[a] ἐν μιᾷ γὰρ ἢ] ἔνια γὰρ ἐν P. [b] μελιτουργοὶ P. [c] γίνεται μὲν P.Da. [d] μέλι δ' οὔ] δύο P. [e] ἀφαιρουμένου Da. [f] ἢ ante οὐκ om. P.Da. [g] ἐγίνετο P.Da. [h] ἀνθῶν P.Aa.Ca. [i] συνίεται P. [k] ὑφαιρεθῇ ἐν ταύταις P.Da. [l] ἴσχει P.Da. [m] μᾶλλον P. [n] τοῦ om. Da. [o] χυμοῦ μάλιστα. διαφέρει P.Da. [q] ἐν κάλυκι ἀνθεῖ] ἔχει ἐν κάλυκι ἄνθη P.Ca.Da. [r] δέ om. Aa.Ca. [s] τούτους Aa.Ca. [t] βολίττεται Aa, βολίτεται Ca, εἰλίττεται P.Da. [v] φάγῃ P.Da. [w] σχάδωνας Da, σχάνδοντας P. [x] μέλι δὲ P.Da. [y] κηρίῳ οὐ προσέρχεται Aa.Ca. [z] γίνονται Da. [a] αὐξανομένων Ca. [b] δὲ] δὲ ὀλίγα Aa, δὲ ὀλι γ' Ca. [c] ἐστιν om. Aa. [d] οἷον om. P. [e] τὸν ὄγκον δ' P.Da. [f] γενομένῳ P.Aa.Ca.Da. [g] αὐτοῦ] ὀλίγου P.

Digitized by Google

λης [h] δ' οὐ γίνεται πρότερον [i] ἐκ τούτου, ἀλλ' εὐθέως ἡ μέλιττα, [k] ὡς φασίν. [v] Ὅταν δὲ τέκῃ ἐν τῷ κηρίῳ, μέλι ἐκ τοῦ ἀπαντικρὺ γίνεται. Φύει δ' [l] ἡ [m] σχάδων πόδας καὶ πτερά, 12
ὅταν [n] καταλειφθῇ· ὅταν δὲ λάβῃ τέλος, [o] τὸν ὑμένα [p] περιρ-
ρήξας [q] ἐκπέταται. Κόπρον δὲ προΐεται, [r] ἕως ἂν ᾖ σκωλή-
κιον, ὕστερον δ' οὐκέτι, πλὴν ἐὰν μὴ ἐξέλθῃ, ὥσπερ ἐλέχθη
πρότερον. [s] Ἐὰν δέ τις [t] ἀφέλῃ τὰς κεφαλὰς τῆς [v] σχά- 13
δονος [w] πρὶν πτερὰ ἔχειν, ἐξεσθίουσιν [x] αὐτὰ αἱ μέλιτται·
[y] καὶ [z] κηφῆνος πτερὸν [a] ἂν [b] ἀποκνίσας ἀφῇ τις, τῶν λοιπῶν
[c] αὐταὶ τὰ πτερὰ ἀπεσθίουσιν. Βίος δὲ τῶν μελιττῶν ἔτη
ἕξ· ἔνιαι [d] δ' ἑπτὰ ζῶσιν. Σμῆνος δ' ἂν διαμείνῃ ἔτη ἐννέα
ἢ δέκα, εὖ δοκεῖ διαγεγενῆσθαι. [e] Ἐν δὲ τῷ Πόντῳ εἰσί 14
[e] τινες μέλιτται λευκαὶ σφόδρα, [f] αἳ τὸ μέλι [g] ποιοῦσι [h] δὶς
τοῦ μηνός. [i] Αἱ δ' ἐν [k] Θεμισκύρᾳ περὶ τὸν [l] Θερμώδοντα
ποταμὸν ἐν τῇ γῇ καὶ [m] ἐν τοῖς σμήνεσι [n] ποιοῦνται κηρία
οὐκ ἔχοντα κηρὸν [o] πολὺν ἀλλὰ πάνυ [p] σμικρόν, μέλι δὲ
παχύ· τὸ δὲ κηρίον λεῖον καὶ ὁμαλόν ἐστιν. Οὐκ ἀεὶ δὲ 15
[q] τοῦτο ποιοῦσιν, ἀλλὰ τοῦ χειμῶνος· ὁ γὰρ κιττὸς πολὺς
ἐν τῷ [r] τόπῳ ἐστίν, ἀνθεῖ δὲ ταύτην τὴν ὥραν, ἀφ' οὗ φέ-
ρουσι τὸ μέλι. Κατάγεται δὲ καὶ εἰς [s] Ἀμισὸν [t] μέλι ἄνω-
θεν λευκὸν καὶ παχὺ σφόδρα, ὃ ποιοῦσιν αἱ μέλιτται ἄνευ
κηρίων πρὸς τοῖς δένδρεσιν· γίνεται δὲ [v] καὶ ἄλλοθι τοιοῦτον
ἐν τῷ Πόντῳ. Εἰσὶ δὲ καὶ μέλιτται αἳ ποιοῦσι [w] κηρία 16
τριπλᾶ ἐν τῇ γῇ· ταῦτα δὲ μέλι μὲν ἴσχει, [x] σκώληκας δ'

[h] δ' om. P. [i] ἐκ] δὲ ἐκ P. [k] ὡς φασίν] φαίνεται P.Da. [l] ἡ om. P.Da. [m] ἰσχάδων P. [n] καταληφθῇ Aa.Ca.Da. [o] τὸν μὲν ὑμένα P.Da. [p] περιρρήξαν Aa. [q] ἐκπετᾶται P, ἐκποτᾶται Da. [r] ἕως ἂν ᾖ] ὡσανεὶ P.Da. [s] ἐὰν] εἰ Aa. [t] ἀφέληται P.Ca.Da. [v] σχάδωνος Da. [w] πλὴν πτερὰ ἔχει ἕξ. ἐσθίουσιν P. [x] αὐταὶ Ca, αὖται Aa. [y] κἂν Da. [z] κηφῆνες. ὕπεβρον P. [a] ἐὰν P, om. Da. [b] ἀποκινήσας P. [c] αὐτῶν Da. [d] δ' ἑπτὰ] δὲ τῶν μελιττῶν καὶ ἑπτὰ ἔτη P.Da. [e] μέλιτται τινες P.Da. [f] αἱ μέλι Da, ἀπόμελι P. [g] ποιοῦσαι P. [h] διὰ Aa. [i] αἱ δ' ἐν] ἐν δὲ Aa. [k] θεμισκόραι P. [l] θερμόδοντα P.Da. [m] ἐν ante τοῖς om. Da. [n] ποιοῦσι Ca. [o] πολὺ P. [p] μικρόν P.Ca.Da. [q] τοιοῦτον Da. [r] τόπῳ] πόντῳ Ca. [s] ἀμισσὸν Ca, ἄβυσσον Aa. [t] ἄνωθεν μέλι P.Da. [v] καὶ ἄλλοθεν τοιοῦτον Aa, τοιοῦτον καὶ ἄλλοθι P.Da. [w] τριπλᾶ κηρία P.Da. [x] σκώληκα P.Da.

Digitized by Google

οὐκ [y] ἴσχει. [1] Ἔστι δ' οὔτε τὰ κηρία πάντα τοιαῦτα, οὔτε πᾶσαι αἱ μέλιτται τοιαῦτα ποιοῦσιν.

23 Αἱ δ' [z] ἀνθρῆναι καὶ οἱ σφῆκες ποιοῦσι κηρία τῷ γόνῳ, ὅταν [a] μὲν μὴ ἔχωσιν ἡγεμόνα ἀλλ' ἀποπλανηθῶσι καὶ μὴ εὑρίσκωσιν, αἱ μὲν [z] ἀνθρῆναι ἐπὶ μετεώρου τινός, οἱ δὲ σφῆ-2κες ἐν [b] τρώγλαις, ὅταν δ' ἔχωσιν [c] ἡγεμόνα, ὑπὸ γῆν. [1] Ἐξάγωνα μὲν [d] οὖν [e] πάντα ἐστὶ τὰ κηρία [f] αὐτῶν, ὥσπερ καὶ τὰ τῶν μελιττῶν, σύγκειται δ' οὐκ ἐκ [g] κηροῦ ἀλλ' ἐκ φλοιώδους καὶ [h] ἀραχνώδους ὕλης τὸ κηρίον· γλαφυρώτερον δὲ πολλῷ τὸ τῶν [i] ἀνθρηνῶν ἐστὶν ἢ τὸ τῶν σφηκῶν κηρίον. [1] Ἐναφιᾶσι δὲ γόνον, ὥσπερ [k] αἱ μέλιτται, ὅσον σταλαγμὸν εἰς τὸ πλά-3γιον τοῦ κυττάρου, καὶ [l] προσέχεται τῷ τοίχῳ. Οὐχ ἅμα [m] δὲ πᾶσι τοῖς κυττάροις [n] ἔνεστι γόνος, ἀλλ' ἐνίοις μὲν ἤδη μεγάλα ἔνεστιν ὥστε καὶ [o] πέτεσθαι, ἐνίοις δὲ νύμφαι, ἐν τοῖς δὲ σκώληκες ἔτι. Κόπρος δὲ μόνον [p] περὶ τοῖς σκώληξιν, ὥσπερ [q] καὶ ταῖς μελίτταις. Καὶ [r] ἔστ' ἂν νύμφαι ὦσιν, 4ἀκινητίζουσι καὶ [s] ἐπαλήλιπται ὁ κύτταρος. Καταντικρὺ δ' ἐν τῷ κυττάρῳ [t] τοῦ γόνου ὅσον σταλαγμὸς [v] ἐγγίνεται μέλιτος ἐν τοῖς τῆς ἀνθρήνης κηρίοις. Γίνονται [w] δ' αἱ [x] σχάδονες οὐκ ἐν τῷ [y] ἔαρι τούτων, ἀλλ' ἐν τῷ μετοπώρῳ· τὴν δ' αὔξησιν ἐπίδηλον [z] λαμβάνουσι μάλιστ' ἐν ταῖς [a] πανσελήνοις. [1] Ἔχεται δὲ καὶ ὁ γόνος καὶ οἱ σκώληκες οὐ κάτωθεν τοῦ κυττάρου, ἀλλ' ἐκ [b] τῶν πλαγίων.

24 [1] Ἕνια δὲ τῶν [c] βομβυκίων πρὸς λίθῳ ἢ τοιούτῳ [d] τινὶ ποιοῦσι πήλινον ὀξύ, [e] ὥσπερ οἱ ἅλες [f] καταλείφονται· τοῦτο δὲ

[y] ἔχει Aa.Ca. [z] ἀρθρῆναι utrobique P.Da. [a] μὲν om. Aa.Ca.Da. [b] τρώγλῃ P.Da. [c] ἡγεμόνας P.Da. [d] οὖν] οὐ P. [e] ἐστὶ πάντα Aa.Ca. [f] αὐτῶν] καὶ τὰ τούτων P.Da. [g] κηρίων Aa.Ca. [h] ἀμμώδους Aa.Ca. [i] ἀρθρηνῶν P.Da. [k] ἡ μέλιττα Aa.Ca. [l] ἔρχονται πρὸς Aa.Ca. [m] δὲ] δ' ἐν P.Da. [n] ἔνεστιν ὁ γόνος P.Da. [o] πέττεσθαι P.Aa. [p] περὶ] ὑπεστι P.Da. [q] καὶ ante ταῖς om. P.Da. [r] ὅτ' ἂν Ca, ὅτε Aa. [s] ἐπαλήλειπται Ca, ἀπαλήλιπται P.Da. [t] τοῦ γόνου] τοῦτον οἷον Ca, τοῦ γόνου οὖ corr. Aa. [v] μέλιτος ἐγγίνεται P.Ca.Da. [w] δ' αἱ] δὲ P.Da. [x] σχάδωνες Da, σχάδοντες P. [y] ἀέρι Aa. [z] λαμβάνει Aa. [a] πανσελήναις Aa. [b] τοῦ πλαγίου Aa.Ca. [c] βομβυκοειδῶν Aa.Ca. [d] τινὶ πηλινῷ ὀξεῖ P. [e] ὥσπερ] καὶ ὥσπερ Da, ὥσπερ ἐν ἄλλοις Ca. [f] καταλείπονται Da.

Digitized by Google

[g] σφόδρα παχὺ καὶ σκληρόν· [h] λόγχη γὰρ μόλις διαιροῦσιν. [i] Ἐνταῦθα [j] δὲ τίκτουσι, καὶ [k] γίνεται [l] σκωλήκια λευκὰ ἐν ὑμένι μέλανι. Χωρὶς δὲ τοῦ ὑμένος ἐν τῷ πηλῷ [m] ἐγγίνεται κηρός· οὗτος δ' ὁ κηρὸς πολύ [n] ἐστιν [o] ὠχρότερος τοῦ τῶν μελιττῶν.

[p] Ὀχεύονται δὲ καὶ οἱ μύρμηκες καὶ τίκτουσι σκωλήκια, [p] ἃ 25
οὐ προσπέφυκεν [q] οὐδενί· αὐξανόμενα δὲ ταῦτα ἐκ μικρῶν καὶ στρογγύλων τὸ πρῶτον μακρὰ [r] γίνεται καὶ διαρθροῦται· ἡ δὲ γένεσίς ἐστι τούτοις τοῦ ἔαρος. Τίκτουσι δὲ καὶ οἱ 26
σκορπίοι οἱ χερσαῖοι [s] σκωλήκια ᾠοειδῆ πολλά, καὶ [t] ἐπφάζουσιν. [v] Ὅταν δὲ τελειωθῇ, ἐκβάλλονται, ὥσπερ οἱ ἀράχναι, καὶ ἀπόλλυνται ὑπὸ τῶν τέκνων· πολλάκις [v] γὰρ γίγνονται περὶ ἕνδεκα [w] τὸν ἀριθμόν.

Τὰ δ' ἀράχνια ὀχεύεται [x] μὲν πάντα τὸν εἰρημένον τρό- 27
πον, γεννᾷ δὲ σκωλήκια μικρὰ πρῶτον· [y] ὅλα γὰρ μεταβάλλοντα [z] γίνεται [a] ἀράχνια, [b] καὶ οὐκ ἐκ μέρους, [c] ἐπεὶ στρογγύλα ἐστὶ κατ' ἀρχάς· ὅταν δὲ τέκῃ, ἐπφάζει τε καὶ ἐν τρισὶν ἡμέραις διαρθροῦται. Τίκτει δὲ πάντα μὲν [d] ἐν 2
ἀραχνίῳ, ἀλλὰ τὰ μὲν ἐν λεπτῷ καὶ μικρῷ, τὰ δ' ἐν παχεῖ, καὶ τὰ μὲν ὅλως ἐν [e] κύτει στρογγύλῳ, τὰ δὲ μέχρι τινὸς περιέχεται ὑπὸ τοῦ ἀραχνίου. Οὐχ ἅμα δὲ πάντα ἀράχνια γίνεται· πηδᾷ δ' εὐθὺς καὶ ἀφίησιν ἀράχνιον. [f] Ὁ δὲ χυμὸς 3
ὅμοιος ἐν τοῖς σκώληξι [f] θλιβομένοις καὶ ἐν αὐτοῖς νέοις οὖσι, παχὺς καὶ λευκός. Αἱ δὲ λειμώνιαι ἀράχναι προαποτίκτουσιν εἰς ἀράχνιον, οὗ τὸ μὲν ἥμισυ πρὸς αὐταῖς ἐστί, τὸ δ' ἥμισυ ἔξω· καὶ ἐν τούτῳ ἐπφάζουσαι [g] ζῳοποιοῦσιν. Τὰ δὲ 4

[g] σφόδρα καὶ παχὺ καὶ A[a].C[a]. [h] λ. γὰρ μ. δ.] τοῦτο δὲ (γὰρ C[a]) μόλις καὶ λόγχη διαπίπτει διαιροῦσιν A[a].C[a]. [i] δὲ] ἐν P.D[a]. [k] γίνονται A[a].C[a]. [l] σκώληκες λευκοὶ A[a]. [m] γίνεται P.D[a]. [n] ἐστιν] τι P.D[a]. [o] ὠχρότερον A[a], ὠχρότερος γίνεται P.D[a]. [p] ἃ] δὲ P.D[a]. [q] οὐδενί] πρὸς οὐθὲν P.D[a]. [r] γίνονται καὶ διαρθροῦνται P.D[a]. [s] σκωλήκια ᾠοδῆ C[a], σκωληκώδη P.D[a]. [t] σπάζουσιν P. [v] δὲ γίνεται P.D[a]. [w] τὸν om. D[a]. [x] μὲν om. P. [y] ὅλον γὰρ μεταβάλλων A[a].C[a]. [z] γίνονται D[a]. [a] ἀράχνιον A[a].C[a]. [b] καὶ om. A[a]. [c] ἐπεὶ στρογγύλα] ἐπιστρόγγυλα δὲ P.D[a]. [d] ἐν ἀράχνιον ἀλλὰ τὰ μὲν ἐν λεπτὸν καὶ μικρόν, τὰ δ' ἐν παχύ P.D[a]. [e] κύτῳ P.D[a]. [f] φθειρομένοις P.D[a]. [g] ζῶα ποιοῦσι A[a].C[a].

Digitized by Google

φαλάγγια [h] τίκτει εἰς γύργαθον πλεξάμενα παχύν, [i] ἐφ' ᾧ ἐπφάζουσιν. Τίκτουσι δ' αἱ μὲν γλαφυραὶ ἐλάττω τὸ πλῆθος, τὰ δὲ φαλάγγια [k] πολὺ πλῆθος· καὶ αὐξηθέντα περιέχει [l] κύκλῳ [m] τὸ φαλάγγιον, καὶ [n] ἀποκτείνει τὴν τεκοῦσαν [o] ἐκβάλλοντα, πολλάκις δὲ καὶ τὸν [p] ἄρρενα, [q] ἐὰν λάβωσιν· συνεπφάζει γὰρ τῇ θηλείᾳ. [r] Ἐνίοτε δὲ τὸ πλῆθος [s] γίνονται καὶ τριακόσια περὶ ἓν φαλάγγιον. Ἐκ δὲ μικρῶν τέλειοι [t] οἱ ἀράχναι γίνονται [v] περὶ τὰς ἑπτάδας τὰς τέτταρας.

28 Αἱ δ' ἀκρίδες ὀχεύονται [w] μὲν τὸν αὐτὸν τρόπον τοῖς ἄλλοις ἐντόμοις, ἐπιβαίνοντος τοῦ ἐλάττονος ἐπὶ [x] τὸ μεῖζον (τὸ γὰρ ἄρρεν ἔλαττόν ἐστι), τίκτουσι δ' εἰς τὴν γῆν [y] καταπήξασαι τὸν πρὸς τῇ κέρκῳ [z] καυλόν, ὃν οἱ ἄρρενες οὐκ ἔχουσιν. [a] Ἀθρόαι δὲ τίκτουσι καὶ κατὰ τὸν αὐτὸν [b] τόπον, ὥστε εἶναι [c] καθαπερεὶ κηρίον. Εἶθ' ὅταν τέκωσιν, ἐνταῦθα γίνονται σκώληκες ᾠοειδεῖς, οἳ περιλαμβάνονται ὑπό τινος γῆς λεπτῆς [d] ὥσπερ ὑμένος· ἐκ ταύτης δ' [e] ἐκπέττονται. Γίνεται δὲ μαλακὰ τὰ κυήματα οὕτως ὥστ' ἄν τις ἅψηται συνθλίβεσθαι. Ταῦτα δ' οὐκ ἐπιπολῆς ἀλλὰ μικρὸν ὑπὸ [f] γῆς ἐστίν. Ὅταν δὲ [g] πεφθῶσιν, ἐκδύνουσιν ἐκ τοῦ [h] γεοειδοῦς τοῦ περιέχοντος ἀκρίδες μικραὶ καὶ μέλαιναι· εἶτα [i] περιρρήγνυται [k] αὐταῖς τὸ δέρμα, καὶ γίνονται [l] εὐθὺς μείζους. Τίκτουσι δὲ λήγοντος τοῦ θέρους, καὶ τεκοῦσαι ἀποθνήσκουσιν· ἅμα γὰρ [m] τικτούσαις σκώληκες ἐγγίνονται περὶ τὸν τράχηλον. Καὶ οἱ ἄρρενες [n] δὲ ἀποθνήσκουσι περὶ τὸν αὐτὸν χρόνον. Ἐκδύνουσι δ' ἐκ [o] τῆς γῆς τοῦ ἔαρος. Οὐ γίνονται [p] δ' ἀκρίδες

[h] τίκτουσιν P. [i] ἐφ'] ἐν P.D[a]. [k] πολὺ τὸ πλῆθος A[a].C[a]. [l] κύκλῳ om. P.D[a]. [m] τὸ] τὸ δὲ P.D[a]. [n] ἀποτίκτει P.D[a]. [o] ἐκβ.] καὶ ἐκβάλλονται A[a].C[a]. [p] ἄρσενα P.D[a]. [q] ἐὰν λάβωσιν] ἀναλαμβάνουσιν P. [r] ἐνίοτε. τὸ δὲ P.C[a].D[a]. [s] γίνεται P.D[a]. [t] οἱ om. P.D[a]. [v] ἐπὶ τὰς τέσσαρας ἑπτάδας D[a]. [w] μὲν om. P.D[a]. [x] τὸν μείζονα P.D[a]. [y] πήξασαι A[a].C[a]. [z] αὐλόν. οἱ δὲ ἄρρενες P.D[a]. [a] ἀθρόως P.D[a]. [b] τρόπον P.C[a]. [c] καθάπερ ἂν εἰ κηρίον P, καθάπερ ἂν ἡ κηρίον D[a]. [d] ὥσπερ ὑφ' ὑμένος ἐν ταύτῃ P.D[a]. [e] ἐκπέτονται D[a]. [f] γῆν A[a]. [g] πεφθῶσιν] ἐκπευθῶσιν P, ἐκτέκωσιν D[a]. [h] γαιοειδοῦς D[a]. [i] περιρρήγνυται A[a]. [k] αὐτῶν D[a]. [l] εὐθὺς] δ' εὐθὺς C[a]. [m] τικτούσαις] τέκωσι P.D[a]. [n] δὲ om. D[a]. [o] τῆς γῆς om. P. [p] δ'] δὲ αἱ P.D[a].

Digitized by Google

[q] οὔτ' ἐν τῇ ὀρεινῇ [r] οὔτ' ἐν τῇ λυπρᾷ, ἀλλ' ἐν τῇ πεδιάδι καὶ κατερρωγυίᾳ· ἐν ταῖς [s] ῥωγμαῖς γὰρ [t] ἐκτίκτουσιν. Διαμένει δὲ τὰ ᾠὰ τὸν χειμῶνα ἐν τῇ γῇ· ἅμα [v] δὲ τῷ [w] θέρει γίνονται ἐκ τῶν περυσινῶν κυημάτων ἀκρίδες.

[x] Ὁμοίως δὲ τίκτουσι καὶ οἱ [x] ἀττέλαβοι, καὶ τεκόντες 29
ἀποθνήσκουσιν. Φθείρεται δ' αὐτῶν τὰ ᾠὰ ὑπὸ τῶν μετοπωρινῶν ὑδάτων, ὅταν πολλὰ γένηται· ἂν δ' αὐχμὸς συμβῇ, [y] τότε γίνονται [z] μᾶλλον πολλοὶ οἱ [x] ἀττέλαβοι διὰ [a] τὸ μὴ φθείρεσθαι ὁμοίως, ἐπεὶ ἄτακτός γε δοκεῖ ἡ [b] φθορὰ αὐτῶν, καὶ γίνεσθαι ὅπως αν τύχῃ.

Τῶν δὲ τεττίγων γένη μέν ἐστι δύο, οἱ μὲν μικροί, οἳ 30
πρῶτοι φαίνονται καὶ τελευταῖοι ἀπόλλυνται, οἱ δὲ [c] μεγάλοι, οἱ ᾄδοντες, [d] οἳ καὶ ὕστερον γίνονται καὶ πρότερον ἀπόλλυνται. [t] Ὁμοίως δ' ἔν τε τοῖς μικροῖς [e] καὶ τοῖς μεγάλοις [f] οἱ μὲν διῃρημένοι εἰσὶ τὸ ὑπόζωμα, [g] οἱ ᾄδοντες, οἱ δὲ [h] ἀδιαίρετοι, οἱ οὐκ [i] ᾄδοντες. Καλοῦσι δέ [k] τινες τοὺς μὲν 2
μεγάλους καὶ ᾄδοντας ἀχέτας, τοὺς δὲ μικροὺς [l] τεττιγόνια· ᾄδουσι δὲ μικρὸν καὶ τούτων οἱ διῃρημένοι. Οὐ γίνονται δὲ τέττιγες [m] ὅπου [n] μὴ δένδρα ἐστίν· διὸ καὶ ἐν Κυρήνῃ οὐ γίνονται ἐν τῷ πεδίῳ, περὶ δὲ τὴν πόλιν πολλοί, μάλιστα δ' οὗ ἐλαῖαι· [o] οὐ γὰρ γίνονται παλίνσκιοι. [t] Ἐν γὰρ τοῖς ψυχροῖς οὐ 3
γίνονται τέττιγες, διὸ οὐδ' ἐν τοῖς [p] συσκίοις ἄλσεσιν. [t] Ὀχεύονται δ' [q] ὁμοίως οἱ μεγάλοι ἀλλήλοις καὶ οἱ μικροί, ὕπτιοι συνδυαζόμενοι πρὸς ἀλλήλους· ἐναφίησι [r] δ' ὁ ἄρρην εἰς τὴν θήλειαν, ὥσπερ καὶ τἆλλα ἔντομα. [u] Ἔχει δὲ [s] καὶ ἡ θήλεια αἰδοῖον ἐσχισμένον· [t] θήλεια δ' ἐστὶν εἰς ἣν ἀφίησιν ὁ [v] ἄρρην.

[q] οὔτ' pr. om. P.D[a]. [r] οὐδ' ἐν τῇ λέπρᾳ P.D. [s] ῥωχμαῖς C[a]. [t] ἐντίκτουσιν P. [v] δὲ] δ' ἐν P.D[a]. [w] θέρει] ἔαρι D[a], θανεῖν P. [x] ἀττέλαφοι P. [y] ποτὲ P. [z] μᾶλλον ἀττ. πολλοί P.D[a]. [a] τὸ αὐτὰ μὴ P.D[a]. [b] φορὰ C[a]. [c] μεγάλοι οἱ] τελευταῖοι A[a].C[a]. [d] οἱ καὶ ὕστερον] ὕστερόν τε D[a]. οἱ—οὐκ ᾄδοντες om. C[a]. [e] καὶ ἐν τοῖς P.D[a]. [f] μὲν οἱ P. [g] οἱ ante ᾄδ. om. A[a]. [h] ἀδιαίρετοι οἱ C[a], ἀδιαίρετον ἔχοντες P.D[a]. [i] ᾄδουσι P.C[a].D[a]. [k] τινες om. A[a].C[a]. [l] τριγόνια A[a].C[a]. [m] ὅποι A[a]. [n] δένδρα μή P.D[a]. [o] οὐ γίνονται πολύσκιοι P.D[a]. [p] συκίοις C[a], εὐσκίοις P.D[a]. [q] οἱ μεγάλοι ὁμοίως P.D[a]. [r] δ'] γὰρ C[a]. [s] καὶ om. P.D[a]. [t] ἡ δὲ θήλειά ἐστιν ἐν ᾗ ἐναφίησιν P.D[a]. [v] ἄρρην τι. τίκτουσι P.

Digitized by Google

4 Τίκτουσι [w] δ' ἐν τοῖς [x] ἀργοῖς, [y] τρυπῶντες ᾧ ἔχουσιν ὄπισθεν [z] ὀξεῖ, καθάπερ καὶ οἱ [a] ἀττέλαβοι· [b] καὶ γὰρ οἱ [a] ἀττέλαβοι τίκτουσιν [c] ἐν τοῖς ἀργοῖς, διὸ πολλοὶ ἐν τῇ [d] Κυρηναίᾳ γίνονται. [1] Ἐντίκτουσι δὲ καὶ ἐν τοῖς καλάμοις ἐν οἷς ἱστᾶσι [e] τὰς ἀμπέλους· διατρυπῶντες [f] τοὺς καλάμους, καὶ 5 ἐν τοῖς τῆς [g] σκίλλης καυλοῖς. Ταῦτα δὲ τὰ κυήματα [h] καταρρεῖ εἰς τὴν γῆν. Γίνονται δὲ πολλοὶ ὅταν ἐπομβρία γένηται. [i] [1] Ὁ δὲ σκώληξ αὐξηθεὶς ἐν τῇ [k] γῇ γίνεται τεττιγομήτρα· καὶ εἰσὶ τότε ἥδιστοι, πρὶν περιρραγῆναι τὸ 6 κέλυφος. [l] Ὅταν δ' ἡ ὥρα ἔλθῃ περὶ τροπάς, [l] ἐξέρχονται νύκτωρ, καὶ εὐθὺς ῥήγνυταί [m] τε τὸ κέλυφος καὶ γίνονται τέττιγες ἐκ τῆς τεττιγομήτρας, [n] καὶ γίνονται μέλανες καὶ σκληρότεροι εὐθὺς καὶ μείζους, καὶ ᾄδουσιν. Εἰσὶ δ' ἄρρενες μὲν οἱ ᾄδοντες ἐν ἀμφοτέροις τοῖς γένεσι, θήλεις δ' οἱ ἕτεροι. 7 Καὶ τὸ μὲν πρῶτον ἠδίους οἱ ἄρρενες, μετὰ δὲ τὴν ὀχείαν αἱ θήλειαι· ἔχουσι γὰρ ᾠὰ λευκά. [o] [1] Ἀναπετόμεναι δ' ὅταν [p] σοβήσῃ τις, ἀφιᾶσιν ὑγρὸν [q] οἷον ὕδωρ, ὃ λέγουσιν οἱ γεωργοὶ ὡς κατουρούντων καὶ ἐχόντων περίττωμα καὶ τρε- 8 φομένων τῇ δρόσῳ. [1] Ἐὰν δέ τις κινῶν τὸν δάκτυλον προσίῃ [r] ἀπ' [s] ἄκρου ἐπικάμπτων τε καὶ ἐκτείνων [t] πάλιν, μᾶλλον ὑπομένουσιν [v] ἢ ἐὰν [w] εὐθὺς ἐκτείνας, καὶ ἀναβαίνουσιν ἐπὶ τὸν δάκτυλον· διὰ τὸ ἀμυδρῶς [x] γὰρ ὁρᾶν ὡς [y] ἐπὶ φύλλον ἀναβαίνουσι κινούμενον.

31 Τῶν δ' ἐντόμων ὅσα σαρκοφάγα μὲν [z] μή [a] ἐστι, ζῇ δὲ

[w] δὲ τοῖς C^a, δὲ τοῖς μὲν pr. A^a, δὲ ἐν μὲν τοῖς corr. A^a. [x] ἀγροῖς P.D^a. et corr. A^a. [y] τρυπῶντες—ὀξεῖ] ὡς ἔχουσιν P. [z] ὀξύ A^a. [a] ἀττέλαφοι utrobique P. [b] καὶ γὰρ οὗτοι οἱ ἀττέλαφοι P. καὶ γὰρ οἱ ἀττέλαβοι om. A^a.C^a. [c] ἐν τοῖς ἀγροῖς corr. A^a, ἐν τοῖς σαργοῖς D^a, ἓν P. [d] κυρήνῃ P.D^a. [e] τὰς] τοὺς A^a.C^a. [f] τοὺς] τὰς P.D^a. [g] σκέλλης P, κίκλης A^a.C^a, σκύλλης corr. A^a. [h] κάτω ῥεῖ P. [i] ὅταν δὲ σκώληξ αὐξηθῇ A^a. [k] γῇ τότε γίνεται D^a. [l] ἐξέρχεται D^a. [m] τε om. P.D^a. [n] καὶ γίνονται] γίνονται δὲ P.D^a. [o] ἀναπεττόμεναι P, ἀναπεπταμέναι A^a.C^a. [p] συμβῇ P.D^a. [q] οἷον ὡς ὕδωρ A^a.C^a. [r] ἐπ' P. [s] ἄκρου ἤ τι κάμπτων καὶ P.D^a. [t] μᾶλλον πάλιν P. [v] ἢ—φύλλον ἀναβαίνουσι om. P. [w] εὐθὺς ἐκτείνῃ, ἀναβαίνουσι δ' D^a. [x] γὰρ om. D^a. [y] ἐπὶ τὸ φύλλον ἀναβαίνοντες D^a. [z] μή om. D^a. [a] εἰσὶ A^a.C^a.

Digitized by Google

χυμοῖς σαρκὸς ζώσης, οἷον οἵ [b]τε φθεῖρες [c]καὶ αἱ ψύλλαι καὶ κόρεις, ἐκ μὲν τῆς ὀχείας πάντα γεννᾷ τὰς καλουμένας κόνιδας, ἐκ δὲ τούτων [d]ἕτερον οὐθὲν γίνεται πάλιν. Αὐτῶν δὲ 2 γίνονται τούτων αἱ μὲν ψύλλαι ἐξ ἐλαχίστης σηπεδόνος (ὅπου [e]γὰρ [f]ἂν κόπρος ξηρὰ γένηται, ἐνταῦθα συνίστανται), [g]αἱ δὲ κόρεις ἐκ τῆς ἰκμάδος τῆς ἀπὸ τῶν ζώων συνισταμένης ἐκτός, [h]οἱ δὲ φθεῖρες ἐκ τῶν σαρκῶν. Γίνονται δ' ὅταν μέλλωσιν, οἷον ἴονθοι μικροί, οὐκ ἔχοντες [i]πύον· τούτους [k]ἄν τις [l]κεντήσῃ, ἐξέρχονται φθεῖρες. [1]Ἐνίοις δὲ [m]τοῦτο συμβαίνει τῶν ἀνθρώ- 3 πων νόσημα, ὅταν ὑγρασία πολλὴ ἐν τῷ σώματι ᾖ· καὶ διεφθάρησάν τινες [n]ἤδη τοῦτον τὸν τρόπον, ὥσπερ [1]Ἀλκμᾶνά [n]τέ φασι [o]τὸν ποιητὴν καὶ Φερεκύδην τὸν [p]Σύριον. Καὶ ἐν νόσοις δέ τισι [q]γίνεται [r]πλῆθος φθειρῶν. [v]Ἔστι [s]δὲ γένος 4 φθειρῶν οἳ καλοῦνται ἄγριοι, καὶ σκληρότεροι τῶν ἐν τοῖς πολλοῖς γιγνομένων· εἰσὶ δ' οὗτοι καὶ δυσαφαίρετοι ἀπὸ τοῦ [t]χρωτός. Παισὶ μὲν [v]οὖν οὗσιν αἱ κεφαλαὶ [w]γίνονται φθειρώδεις, τοῖς δ' ἀνδράσιν ἧττον. Γίνονται δὲ καὶ [x]αἱ γυ- ναῖκες τῶν ἀνδρῶν μᾶλλον φθειρώδεις. [y]Ὅσοις δ' ἂν [z]ἐγγί- 5 νωνται [a]ἐν τῇ κεφαλῇ, ἧττον πονοῦσι τὰς κεφαλάς. [1]Ἐγγίνονται δὲ καὶ τῶν ἄλλων [b]ζώων ἐν πολλοῖς φθεῖρες. Καὶ γὰρ [c]οἱ [d]ὄρνιθες ἔχουσι, καὶ [e]οἱ καλούμενοι φασιανοὶ ἐὰν μὴ κονιῶνται, [f]διαφθείρονται ὑπὸ τῶν φθειρῶν. Καὶ τῶν ἄλλων δὲ ὅσα πτερὰ ἔχει, [g]τῶν ἐχόντων καυλὸν καὶ τῶν ἐχόντων τρίχας. Πλὴν ὄνος οὐκ ἔχει οὔτε φθεῖρας οὔτε [h]κρότωνας. 6 Οἱ δὲ βόες ἔχουσιν ἄμφω· τὰ δὲ πρόβατα καὶ αἶγες [h]κρότωνας, φθεῖρας δ' οὐκ ἔχουσιν· καὶ [i]αἱ ὗες φθεῖρας μεγάλους καὶ

[b] τε om. A[a].C[a]. [c] καὶ ψύλλοι D[a], καὶ ψύλοι P. [d] οὐδὲν ἕτερον D[a]. [e] γὰρ] δ' A[a].C[a]. [f] ἂν om. P.D[a]. [g] οἱ C[a]. [h] αἱ D[a]. [i] ποιόν P.D[a]. [k] ἐάν C[a]. [l] κεντήσῃ ἐκ τούτων ἐξέρχεται A[a].C[a]. [m] τοῦτο om. P.D[a]. [n] ἤδη et τέ om. A[a].C[a]. [o] τὸν ποιητὴν om. C[a]. [p] ἀσσύριον A[a].C[a]. [q] γίνονται A[a].C[a]. [r] πλήθη A[a]. [s] δέ τι γένος C[a]. [t] χρωτός] σώματος P.D[a]. [v] οὖν om. P. [w] φθειρώδεις γίνονται P.D[a]. [x] αἱ om. P. [y] ὅσοι D[a]. [z] ἐγγίνηται A[a].C[a]. [a] ἐν om. P.D[a]. [b] ζώων om. A[a]. [c] οἱ om. A[a].C[a]. [d] ὄρνεις P. [e] οἵ γε καλούμενοι P.D[a]. [f] φθείρονται ὑπὸ φθειρῶν C[a]. [g] τὸ ἔχον P.A[a].C[a].D[a]. [h] κρότονας utrobique P. [i] αἱ om. P.C[a].D[a].

Digitized by Google

σκληρούς. Ἐν δὲ τοῖς κυσὶν οἱ καλούμενοι γίνονται [k]κυνοραῖσται. Πάντες δ' οἱ φθεῖρες ἐν τοῖς ἔχουσιν ἐξ αὐτῶν γίνονται
7 [l]τῶν ζῴων. Γίνονται δ' οἱ φθεῖρες [m]μᾶλλον ὅταν μεταβάλλωσι [n]τὰ ὕδατα οἷς λούονται, ὅσα ἔχει τῶν λουομένων φθεῖρας.
Ἐν δὲ τῇ θαλάττῃ γίνονται μὲν ἐν τοῖς ἰχθύσι φθεῖρες, οὗτοι δ' οὐκ ἐξ αὐτῶν τῶν ἰχθύων ἀλλ' ἐκ τῆς ἰλύος· εἰσὶ δὲ τὰς ὄψεις ὅμοιοι τοῖς [o]ὄνοις τοῖς [p]πολύποσι, πλὴν τὴν οὐρὰν
8 ἔχουσι [q]πλατεῖαν. [r]Ἐν [r]δ' εἶδός ἐστι τῶν φθειρῶν τῶν θαλαττίων, καὶ γίνονται πανταχοῦ, [s]μάλιστα δὲ περὶ τὰς τρίγλας. Πάντα [t]δὲ πολύποδα [v]ταῦτ' ἐστὶ καὶ [w]ἄναιμα
[x]τὰ ἔντομα. [y]Ὁ δὲ τῶν θύννων οἶστρος γίνεται μὲν [z]περὶ τὰ πτερύγια, ἔστι δ' ὅμοιος τοῖς σκορπίοις, καὶ τὸ μέγεθος
9 [a]ἡλίκος ἀράχνης. Ἐν δὲ τῇ θαλάττῃ τῇ ἀπὸ Κυρήνης πρὸς Αἴγυπτον ἔστι περὶ τὸν δελφῖνα ἰχθὺς ὃν καλοῦσι φθεῖρα· ὃς γίνεται πάντων πιότατος διὰ τὸ ἀπολαύειν τροφῆς ἀφθόνου θηρεύοντος τοῦ δελφῖνος.

32 Γίνεται δὲ καὶ ἄλλα [b]ζῳδάρια, ὥσπερ ἐλέχθη [c]καὶ πρότερον, τὰ μὲν ἐν ἐρίοις καὶ ὅσα ἐξ ἐρίων [d]ἐστίν, οἷον [e]οἱ σῆτες, [f]οἳ ἐμφύονται μᾶλλον ὅταν κονιορτώδη [g]ᾖ τὰ ἔρια, μάλιστα δὲ γίνονται ἂν ἀράχνης συγκατακλεισθῇ· ἐκπίνων
2 γάρ, ἐάν τι ἐνῇ [h]ὑγρόν, ξηραίνει. Γίνεται δὲ [i]καὶ ἐν [k]χιτῶνι ὁ σκώληξ οὗτος. Καὶ [l]ἐν κηρῷ δὲ γίνεται παλαιουμένῳ, ὥσπερ ἐν ξύλῳ ζῷον, ὃ δὴ δοκεῖ ἐλάχιστον εἶναι τῶν
3 ζῴων πάντων καὶ καλεῖται [m]ἀκαρί, λευκὸν καὶ μικρόν. Καὶ ἐν τοῖς βιβλίοις ἄλλα γίνεται, τὰ μὲν ὅμοια [n]τοῖς ἐν τοῖς ἱματίοις, τὰ δὲ [o]τοῖς σκορπίοις ἄνευ τῆς οὐρᾶς, μικρὰ πάμπαν· καὶ ὅλως ἐν πᾶσιν ὡς εἰπεῖν, ἔν τε τοῖς ξηροῖς ὑγραινο-

[k] κυνορέσται P, κυνοραΐσται Da. [l] τῶν om. P. [m] μάλιστα P.Da. [n] τὰ om. P.Da. [o] ὀνίοις Ca. [p] παχύποσι Aa. [q] παχεῖαν Aa. [r] δ' om. pr. Aa. [s] δὲ μάλιστα Aa. [t] δὲ τὰ πολύποδα Ca. [v] ταῦτ' εἰσὶ Aa.Ca, ἐστὶ ταῦτα P.Da. [w] ἔναιμα Aa.Ca. [x] τὰ] κτὰ P, καὶ Aa.Ca. [y] ὁ] οἱ Ca, τισὶ P.Da. [z] παρὰ Aa. [a] ἡλίκον Da. [b] ζωάρια Aa. [c] καὶ πρότερον om. P.Da. [d] εἰσὶν Aa.Da. [e] οἱ om. Aa.Ca. [f] οἱ om. P. [g] τὰ ἔρια ᾖ Aa.Ca. [h] ὑγροῦ Aa.Ca. [i] καὶ om. P.Da. [k] χιόνι Ca. [l] ἐν] ἐπὶ Aa.Ca. [m] ἀκαρῆ Aa.Ca. [n] τοῖς ἐν] τῶν ἐν P. [o] τοῖς om. P.Da.

Digitized by Google

μένοις καὶ ἐν τοῖς ὑγροῖς ξηραινομένοις, ὅσα ἔχει αὐτῶν ζωήν. [p]Ἔστι δέ τι σκωλήκιον ὃ καλεῖται ξυλοφθόρον, οὐθενὸς ἧττον [q]ἄτοπον τῶν ζῴων. [r]Ἡ μὲν γὰρ κεφαλὴ 4
ἔξω τοῦ κελύφους [s]προέρχεται [t]ποικίλη, καὶ οἱ πόδες ἐπ' [v]ἄκρου, ὥσπερ τοῖς ἄλλοις σκώληξιν, ἐν χιτῶνι [w]δὲ τὸ ἄλλο σῶμα [x]ἀραχνιώδει, καὶ περὶ αὐτὸ κάρφη, ὥστε δοκεῖν προσέχεσθαι βαδίζοντι· ταῦτα δὲ [y]σύμφυτα τῷ χιτῶνί [z]ἐστιν, ὥσπερ [a]κοχλίᾳ τὸ ὄστρακον, οὕτω τὸ ἄπαν [b]τῷ σκώληκι, καὶ οὐκ ἀποπίπτει ἀλλ' ἀποσπᾶται ὥσπερ προσπεφυκότα· καὶ ἐάν [c]τις τὸν χιτῶνα περιέλῃ, ἀποθνήσκει καὶ γίνεται ὁμοίως ἀχρεῖος ὥσπερ ὁ κοχλίας περιαιρεθέντος τοῦ ὀστράκου. Χρόνου δὲ προϊόντος γίνεται καὶ οὗτος ὁ σκώληξ 5
χρυσαλλὶς ὥσπερ [d]αἱ κάμπαι, καὶ ζῇ ἀκινητίζων· [e]ὅ τι [f]δ' ἐξ αὐτοῦ γίνεται τῶν πτερωτῶν ζῴων, οὔπω συνῶπται. [g]Οἱ δ' ἐρινεοὶ [h]οἱ ἐν τοῖς [i]ἐρινεοῖς ἔχουσι [k]τοὺς καλουμένους [l]ψῆνας. Γίνεται δὲ [m]τοῦτο πρῶτον σκωλήκιον, εἶτα [n]πε- 6
ριρραγέντος τοῦ δέρματος [o]ἐκπέτεται τοῦτο [p]ἐγκαταλιπὼν [q]ὁ ψήν, καὶ [r]εἰσδύεται εἰς τὰ τῶν συκῶν [s]ἐρινᾶ, καὶ διὰ [t]στομάτων ποιεῖ μὴ ἀποπίπτειν τὰ [s]ἐρινᾶ· διὸ περιάπτουσί [v]τε τὰ ἐρινᾶ πρὸς τὰς [w]συκᾶς οἱ γεωργοί, καὶ φυτεύουσι πλησίον ταῖς συκαῖς ἐρινεούς.

Τῶν δὲ τετραπόδων καὶ ἐναίμων καὶ ᾠοτόκων αἱ μὲν 33
γενέσεις εἰσὶ τοῦ ἔαρος, ὀχεύεται δ' οὐ [x]πάντα τὴν αὐτὴν ὥραν, ἀλλὰ τὰ μὲν ἔαρος τὰ δὲ θέρους τὰ δὲ περὶ τὸ μετόπωρον, ὡς ἑκάστοις [y]πρὸς τὴν γένεσιν τῶν ἐκγόνων ἡ ἐπι-

p ἔτι C^a. q ἄτοπον] ἀπὸ τούτων P.D^a. r μὲν om. D^a. s προσέχεται P.D^a. t ποικίλη] τῇ κοίλῃ A^a. v ἄκρον A^a, ἄκρων C^a. w δὲ] καὶ P.D^a. x ἀραχνιώδει post δὲ A^a, ἀραχνιῶδες P.D^a. y συμφυᾶ C^a. z εἰσιν A^a.C^a. a κοχλίαις A^a. b τῷ om. P. c τὸν χιτῶνά τις A^a.C^a. d αἱ] καὶ αἱ P.D^a. e ὅ τι] ὃ P.D^a. f δ' ἐξ αὐτῶν C^a, δὲ ταὐτοῦ P. g οἱ δὲ ῥῖνες P.D^a. h οἱ om. A^a. i ἐρίνοις D^a, ἔρνοις P. k τὰς καλουμένας P. l ψῆρας P.D^a. m τοῦτο πρῶτον] πρῶτον τὸ A^a.C^a. n ἐμπεριρραγέντος P.D^a, περιαιρεθέντος C^a. o ἐκπέταται A^a.C^a, ἐκπέττεται P. p ἐγκαταλεῖπον P.D^a. q ὁ ψήν] ὄψω P.A^a.C^a.D^a. r ἐνδύεται A^a.C^a. s ἐρινεὰ utrobique A^a.C^a. t στόματος A^a. v τά τε P.D^a. w συκέας A^a.C^a. x πάντα] κατὰ A^a.C^a. y πρὸς] περὶ A^a.C^a.

Digitized by Google

2 οὖσα ὥρα συμφέρει. [1]Ἡ [z]μὲν οὖν χελώνη τίκτει ᾠὰ σκληρόδερμα καὶ [a]δίχροα ὥσπερ τὰ τῶν ὀρνίθων, τεκοῦσα δὲ κατορύττει καὶ τὸ ἄνω ποιεῖ ἐπίκροτον· ὅταν δὲ τοῦτο ποιήσῃ, φοιτῶσα ἐπφάζει [b]ἄνωθεν· ἐκλέπεται δὲ τὰ ᾠὰ τῷ 3 ὑστέρῳ ἔτει. [1]Ἡ δ' [c]ἐμὺς ἐξιοῦσα ἐκ τοῦ ὕδατος τίκτει, ὀρύξασα βόθυνον πιθώδη, καὶ [d]ἐντεκοῦσα καταλείπει· ἐάσασα δ' ἡμέρας [e]ἐλάττους ἢ τριάκοντα ἀνορύττει καὶ [f]ἐκλέπει ταχύ, καὶ ἀπάγει τοὺς νεοττοὺς [g]εὐθὺς εἰς τὸ ὕδωρ. Τίκτουσι δὲ καὶ αἱ θαλάττιαι χελῶναι ἐν τῇ γῇ [h]ᾠὰ ὅμοια τοῖς ὄρνισι τοῖς [i]ἡμέροις, καὶ κατορύξασαι ἐπφάζουσι [k]τὰς 4 νύκτας. Τίκτουσι [l]δὲ πολὺ πλῆθος ᾠῶν· καὶ γὰρ [m]εἰς ἑκατὸν τίκτουσιν ᾠά. Τίκτουσι δὲ [n]καὶ σαῦροι καὶ κροκόδειλοι οἱ χερσαῖοι καὶ οἱ ποτάμιοι εἰς τὴν γῆν. [o]Ἐκλέπεται δὲ τὰ τῶν [p]σαύρων αὐτόματα ἐν τῇ γῇ· οὐ γὰρ διετίζει ὁ σαῦρος· λέγεται γὰρ [q]ἔκμηνος εἶναι βίος σαύρας. 5 [1]Ὁ δὲ ποτάμιος κροκόδειλος τίκτει μὲν ᾠὰ [r]πολλά, τὰ πλεῖστα περὶ ἑξήκοντα, λευκὰ τὴν χρόαν, καὶ ἐπικάθηται [s]δ' ἡμέρας ἑξήκοντα (καὶ γὰρ [t]καὶ βιοῖ [v]χρόνον πολύν), ἐξ ἐλαχίστων δ' ᾠῶν [w]ζῷον μέγιστον γίνεται ἐκ τούτων· τὸ μὲν γὰρ ᾠὸν [x]οὐ μεῖζόν ἐστι [y]χηνείου, καὶ ὁ νεοττὸς [z]τούτου κατὰ λόγον, αὐξανόμενος δὲ γίνεται [a]καὶ ἑπτακαίδεκα πήχεων. Λέγουσι δέ τινες [b]ὅτι καὶ αὐξάνεται ἕως [c]ἂν ζῇ.

34 Τῶν δὲ ὄφεων ὁ μὲν ἔχις [d]ζῳοτοκεῖ ἔξω, ἐν αὑτῷ πρῶτον ᾠοτοκήσας· τὸ δ' ᾠόν, ὥσπερ τῶν ἰχθύων, [e]μονόχρουν ἐστὶ καὶ μαλακόδερμον. [1]Ὁ δὲ νεοττὸς [f]ἄνω ἐπιγίνεται, καὶ οὐ

[z] μὲν οὖν] δὲ Da. [a] δίκροα P.Da. [b] ἄνω Aa. [c] ἐμὶς Ca. [d] ἐκτεκοῦσα Da. [e] ἐλάττους ἢ om. P.Da. [f] ἐκλείπει P, ἐκκλέπτει corr. Da. [g] εὐθὺς ante τοὺς P.Da, om. Ca. [h] ᾠὰ om. P.Da. [i] ἡμετέροις Aa.Ca. [k] ταῖς νύκταις Aa. [l] δὲ τὸ πλῆθος πολὺ P, δὲ πλῆθος πολὺ Da. [m] εἰς om. P.Da. [n] καὶ αἱ σαῦραι καὶ οἱ κροκόδειλοι Aa.Ca. [o] ἐκλίπεται P. [p] σαυρῶν Ca. [q] ἑξαμηνόβιος εἶναι ὁ σαῦρος P.Da. [r] πολλὰ τὰ πλεῖστα om. P.Da. [s] δ' om. P.Da. [t] καὶ post γὰρ om. P.Da. [v] πολὺν χρόνον Da. [w] μέγιστον ζῶον P.Da. [x] ἐστιν οὐ μεῖζον P.Da. [y] χηνίου καὶ νεοττοῦ P. [z] τούτου] τοῦ P, om. Da. [a] καὶ om. Aa. [b] ὅτι καὶ] ὡς καὶ P.Da, καὶ ὡς Ca. [c] ἂν] οὗ Aa. [d] ἔξω ζωοτοκεῖ ἐν Da, ζωοτοκεῖ ἐξ ὧν Ca. [e] μονόχροόν Ca. [f] ἄνωθεν περιγίνεται P.Da.

Digitized by Google

περιέχει φλοιὸς ὀστρακώδης, ὥσπερ οὐδὲ τὰ τῶν ἰχθύων. Τίκτει [g] δὲ [h] μικρὰ ἐχίδια ἐν ὑμέσιν, οἳ περιρρήγνυνται τρι- 2
ταῖοι· ἐνίοτε δὲ καὶ [i] τὰ ἔσω διαφαγόντα αὐτὰ [k] ἐξέρχεται. Τίκτει δ' ἐν μιᾷ ἡμέρᾳ καθ' ἕν, τίκτει δὲ [l] πλείω ἢ εἴκοσιν· [m] οἱ δ' ἄλλοι ὄφεις ᾠοτοκοῦσιν ἔξω, τὰ δ' ᾠὰ ἀλλήλοις συνεχῆ ἐστὶν ὥσπερ αἱ τῶν γυναικῶν [n] ὑποδερίδες· ὅταν δὲ τέκῃ εἰς τὴν γῆν, ἐπῳάζει. [o] Ἐκλέπεται [p] δὲ καὶ ταῦτα τῷ [q] ὑστέρῳ ἔτει.

Ζ.

[r] Αἱ μὲν οὖν τῶν ὄφεων καὶ τῶν ἐντόμων γενέσεις, ἔτι [s] δὲ τῶν [t] τετραπόδων καὶ ᾠοτόκων, τοῦτον ἔχουσι τὸν τρόπον. Οἱ δ' ὄρνιθες ᾠοτοκοῦσι μὲν [v] ἅπαντες, ἡ δ' ὥρα τῆς ὀχείας καὶ οἱ τόκοι [w] οὐ πᾶσιν ὁμοίως ἔχουσιν. Τὰ μὲν 2
γὰρ [x] καὶ ὀχεύεται καὶ τίκτει κατὰ πάντα τὸν χρόνον ὡς εἰπεῖν, οἷον ἀλεκτορὶς καὶ περιστερά, ἡ μὲν ἀλεκτορὶς ὅλον τὸν ἐνιαυτὸν [y] ἔξω [z] δύο μηνῶν τῶν ἐν τῷ χειμῶνι τροπικῶν. Πλῆθος δὲ τίκτουσιν ἔνιαι καὶ [a] τῶν γενναίων πρὸ ἐπῳασμοῦ καὶ ἑξήκοντα· καίτοι ἧττον πολυτόκοι [b] αἱ γενναῖαι τῶν ἀγεννῶν εἰσίν. Αἱ δὲ [c] Ἀδριαναὶ ἀλεκτορίδες εἰσὶ μὲν μι- 3
κραὶ τὸ μέγεθος, τίκτουσι δ' ἀν' ἑκάστην ἡμέραν· εἰσὶ δὲ χαλεπαί, καὶ κτείνουσι τοὺς νεοττοὺς πολλάκις· χρώματα δὲ παντοδαπὰ ἔχουσιν. Τίκτουσι δὲ [d] καὶ οἰκογενεῖς ἔνιαι δὶς τῆς ἡμέρας· ἤδη δέ τινες λίαν πολυτοκήσασαι ἀπέθανον διὰ [e] ταχέων. Αἱ μὲν οὖν ἀλεκτορίδες τίκτουσιν, ὥσπερ 4
εἴρηται, συνεχῶς· περιστερὰ δὲ καὶ φάττα καὶ τρυγὼν καὶ [f] οἰνὰς διτοκοῦσι μέν, ἀλλ' [g] αἱ περιστεραὶ καὶ δεκάκις [h] τοῦ

[g] δὲ] δὲ καὶ A[a]. [h] μικρὰ ἐχίδνια A[a], μικρὸν ἐχίδνιον C[a]. [i] τὰ ἔσω] ἔσωθεν P.D[a]. [k] ἐξέρχονται A[a]. [l] πλέον A[a]. [m] αἱ P. [n] ὑποδέριδες P. [o] δὲ om. D[a]. [p] καὶ om. A[a]. [q] ἑτέρῳ C[a].

Codices P.A[a].C[a].D[a]. et capp. 1, 2, 3. E[a]. [r] Αἱ] Εἱ D[a]. Αἱ—τρόπον] hæc proximo quoque libro dat P. [s] δὲ] δὲ καὶ P, δὲ καὶ τῶν ζώων D[a]. [t] τετραπόδων ζώων καὶ ᾠοτοκούντων P. [v] ἅπαντα A[a]. [w] οὐ] ἐν P. [x] καὶ om. A[a].C[a]. [y] ἔξω] πλὴν D[a]. [z] δυοῖν A[a].C[a]. [a] τῶν ἐννέων προεπωσμοῦ P.E[a]. [b] αἱ γ.] καὶ αἱ γ. P.E[a]. [c] ἀδριανικαὶ P.D[a].E[a]. [d] καὶ om. A[a].C[a]. [e] ταχέως D[a]. [f] οἴασκαι P.E[a]. [g] αἱ] ὡς P.D[a].E[a]. [h] τοῦ] μὲν τοῦ P.E[a].

Digitized by Google

ἐνιαυτοῦ τίκτουσιν. Οἱ δὲ πλεῖστοι τῶν ὀρνίθων τίκτουσι τὴν ἐαρινὴν ὥραν, καὶ εἰσὶν οἱ μὲν πολύγονοι αὐτῶν, πολύγονοι δὲ διχῶς, [1] οἱ μὲν τῷ πολλάκις, ὥσπερ αἱ περιστεραί, [1] οἱ δὲ τῷ πολλά, ὥσπερ αἱ ἀλεκτορίδες. Τὰ [k] δὲ γαμψώνυχα πάντα [l] ὀλιγόγονά ἐστιν, ἔξω κεγχρίδος· αὕτη δὲ [m] πλεῖστα τίκτει τῶν γαμψωνύχων. [s] Ὧπται μὲν οὖν καὶ τέτταρα ἤδη, τίκτει δὲ [n] καὶ πλείω. Τίκτουσι δὲ τὰ μὲν ἄλλα ἐν [o] νεοττιαῖς, τὰ δὲ μὴ [p] πτητικὰ οὐκ ἐν νεοττιαῖς, οἷον αἵ τε πέρδικες καὶ οἱ ὄρτυγες, [q] ἀλλ' ἐν τῇ [r] γῇ, [s] ἐπηλυγαζόμενα ὕλην. [t] Ὡσαύτως δὲ καὶ [t] κόρυδος καὶ τέτριξ.

6 Ταῦτα μὲν [v] οὖν ὑπηνέμους ποιεῖται τὰς νεοττεύσεις· ὃν δ' οἱ [w] Βοιωτοὶ καλοῦσιν [x] εἴροπα, εἰς τὰς ὀπὰς ἐν τῇ γῇ καταδυόμενος νεοττεύει μόνος. Αἱ δὲ κίχλαι [y] νεοττιὰν μὲν [z] ποιοῦνται ὥσπερ αἱ χελιδόνες ἐκ πηλοῦ ἐπὶ τοῖς ὑψηλοῖς τῶν δένδρων, ἐφεξῆς δὲ ποιοῦσιν ἀλλήλαις καὶ ἐχομένας, ὥστ' 7 εἶναι διὰ τὴν συνέχειαν ὥσπερ [a] ὁρμαθὸν [b] νεοττιῶν. [c] Ὄψ δ' [c] ἔποψ μόνος οὐ ποιεῖται [d] νεοττιὰν τῶν καθ' [e] ἑαυτὰ νεοττευόντων, ἀλλ' εἰσδυόμενος εἰς τὰ στελέχη ἐν τοῖς κοίλοις αὐτῶν τίκτει, οὐδὲν συμφορούμενος· [f] Ὁ δὲ [f] κόκκυξ [g] καὶ ἐν οἰκίᾳ νεοττεύει καὶ ἐν πέτραις. [h] Ἡ δὲ [h] τέτριξ, ἣν [i] καλοῦσιν [i] Ἀθηναῖοι οὔραγα, οὔτ' ἐπὶ τῆς γῆς νεοττεύει οὔτ' ἐπὶ τοῖς δένδρεσιν, [k] ἀλλ' ἐπὶ τοῖς χαμαιζήλοις φυτοῖς.

2 Τὸ δ' ᾠὸν ἁπάντων ὁμοίως τῶν ὀρνίθων σκληρόδερμόν [l] τ' ἐστίν, ἐὰν γόνῳ γένηται καὶ μὴ διαφθαρῇ (ἔνια γὰρ μαλακὰ τίκτουσιν αἱ ἀλεκτορίδες), καὶ δίχροα τὰ ᾠὰ [m] τὰ

[i] *αἱ* utrobique P.D[a].E[a]. [k] δὲ post τὰ om. P.E[a]. [l] ὀλιγογόνια P.E[a]. [m] πλεῖστα τίκτει P. [n] καὶ om. P.E[a]. [o] νεοττίαις D[a], νεοττείαις P.E[a]. utrobique. [p] πτητικὰ ἐν νεοττιαῖς οὐδαμῶς οἷον οἵ A[a].C[a]. [q] ἀλλ'] τίκτει δὲ D[a]. [r] γῇ om. A[a]. [s] ἐπηλυγαζομένη ὕλη A[a].C[a], ἐπιλαζόμενα ὕλης P.E[a]. [t] κόρυδες P.D[a].E[a]. [v] οὖν om. C[a]. [w] βοιώτιοι P.D[a].E[a]. [x] μέροπα P.D[a].E[a], ἀέροπα Schneiderus. [y] νεοττίαν P.D[a], νεοττείαν E[a]. [z] ποιοῦσιν A[a].C[a]. [a] ὁρμαθῇ P, ὁρμαθὴ D[a]. [b] νεοττείαν P.D[a].E[a]. [c] ἔποψ P. [d] νεοττείαν P.D[a].E[a]. [e] ἑαυτὰ Ambrosianus, ἑαυτὸν A[a].D[a].E[a], ἑαυτῶν C[a], αὐτὸν P. [f] κίρκος D[a]. [g] καὶ post κ. om. A[a].C[a]. [h] τέτιξ E[a]. [i] καλοῦσιν οἱ ἀθηναῖοι P.D[a].E[a]. [k] ἀλλ' ἐν τοῖς D[a]. [l] τ' om. A[a].C[a]. [m] τὰ alterum om. A[a].C[a].D[a].

Digitized by Google

τῶν ὀρνίθων, ἐκτὸς μὲν τὸ λευκόν, ἐντὸς δὲ τὸ ὠχρόν. Δια- 2
φέρουσι δὲ [n] καὶ τὰ τῶν περὶ ποταμοὺς καὶ λίμνας γινομέ-
νων ὀρνέων πρὸς τὰ τῶν [o] ξηροβατικῶν· [p] πολλαπλάσιον
γὰρ ἔχει [q] τὰ τῶν ἐνύδρων κατὰ λόγον τὸ ὠχρὸν πρὸς τὸ
λευκόν. Καὶ τὰ χρώματα δὲ τῶν ᾠῶν διαφέρει κατὰ [r] τὰ 3
γένη τῶν ὀρνίθων· τῶν μὲν γὰρ λευκά [s] ἐστι τὰ ᾠά, οἷον
περιστερᾶς [t] καὶ πέρδικος, τῶν δ' ὠχρά, οἷον [v] τῶν περὶ τὰς
λίμνας, [w] τῶν δὲ κατεστιγμένα, οἷον τὰ τῶν [x] μελεαγρίδων
καὶ φασιανῶν· τὰ δὲ τῆς κεγχρίδος ἐρυθρά· [y] ἐστιν ὥσπερ
μίλτος. [z] Ἔχει δὲ τὸ ᾠὸν διαφοράν· τῇ μὲν γὰρ [z] ὀξὺ τῇ 4
δὲ πλατύτερόν ἐστιν· ἐξιόντος δ' ἡγεῖται τὸ πλατύ. [a] Ἔστι
δὲ τὰ μὲν μακρὰ καὶ ὀξέα τῶν ᾠῶν θήλεα, τὰ δὲ στρογγύλα
καὶ περιφέρειαν ἔχοντα κατὰ τὸ ὀξὺ ἄρρενα. [a] Ἐκπέττε- 5
ται μὲν οὖν ἐπφαζόντων τῶν ὀρνίθων, οὐ μὴν [b] ἀλλὰ καὶ
αὐτόματα ἐν τῇ γῇ ὥσπερ ἐν Αἰγύπτῳ, κατορυττόντων
[c] εἰς τὴν κόπρον· καὶ ἐν [d] Συρακούσαις δὲ φιλοπότης τις
[e] ὑποτιθέμενος ὑπὸ τὴν ψίαθον εἰς τὴν γῆν τοσοῦτον [f] ἔπινεν,
ὡς φασί, χρόνον συνεχῶς, [g] ἕως [h] ἐκλέποι τὰ ᾠά. [i] Ἤδη δὲ 6
καὶ κείμενα ἐν ἀγγείοις ἀλεεινοῖς [i] ἐξεπέφθη καὶ [k] ἐξῆλθεν
[l] αὐτόματα. [l] Ἡ μὲν οὖν γονὴ πάντων τῶν ὀρνίθων λευκή,
ὥσπερ καὶ τῶν ἄλλων ζώων· ὅταν δ' ὀχευθῇ, ἄνω πρὸς τὸ
ὑπόζωμα λαμβάνει ἡ θήλεια. Καὶ τὸ μὲν πρῶτον [m] μικρὸν 7
καὶ λευκὸν φαίνεται, ἔπειτα ἐρυθρὸν καὶ αἱματῶδες, αὐξανό-
μενον δὲ ὠχρὸν καὶ ξανθὸν ἅπαν· ὅταν δ' ἤδη [n] γίγνηται
ἀδρότερον, διακρίνεται, καὶ ἔσω μὲν τὸ ὠχρὸν ἔξω δὲ τὸ
λευκὸν περιίσταται. [v] Ὅταν δὲ τελειωθῇ, ἀπολύεταί [o] τε καὶ 8

[n] καὶ post δὲ om. A[a].C[a]. [o] ξηροβιωτικῶν E[a], ξηρὰ βιωτικῶν P. [p] πολλὰ πλεῖον P.E[a]. [q] τὸ P.C[a].D[a].E[a]. [r] τὰ om. P.D[a].E[a]. [s] εἰσι A[a]. [t] καὶ πέρδικος om. A[a].C[a]. [v] τῶν post οἷον om. pr. A[a]. [w] τῶν] τὰ D[a]. [x] μελεαπίδων P, μελεασπίδων E[a]. [y] εἰσιν A[a]. [z] ὀξύτητι πλατύτερόν P.E[a]. [a] ἐκπέτεται P, ἐκπέμπεται D[a], ἐκλέπεται A[a].C[a]. [b] ἀλλὰ om. A[a].C[a]. [c] εἰς τὴν γῆν εἰς τὴν κόπρον P.E[a]. [d] συρρακούσαις C[a].E[a]. [e] ὑποθέμενος D[a]. [f] χρόνον ἔπινε, omissis ὡς φασί, A[a].C[a]. [g] ἕως] ἕως ἂν A[a]. [h] ἐκλέσῃ A[a].C[a], ἐκλαπείη P.D[a].E[a]. [i] ἐξεπέμφη P.D[a].E[a]. [k] ἐξῆλθον D[a]. [l] αὐτομάτως P.D[a].E[a]. [m] λευκὸν καὶ μικρὸν A[a].C[a]. [n] γένηται A[a].C[a]. [o] τε om. P.D[a].E[a].

Digitized by Google

p ἐξέρχεται οὕτω q τῷ καιρῷ ἐκ τοῦ μαλακὸν εἶναι r μεταβάλλον s ἐπὶ τὸ σκληρόν, ὥστ' ἐξέρχεται μὲν οὔ t πω πεπηγός, v ἐξελθὸν δ' w εὐθέως πήγνυται καὶ γίνεται σκληρόν,
9 ἐὰν μὴ x ἐξίῃ νενοσηκός. Ἐφάνη δ' ἤδη, y οἷον ἔν τινι καιρῷ γίνεται τὸ ᾠόν (z ἅπαν γὰρ ὠχρὸν ὁμοίως ἐστίν, ὥσπερ ὕστερον ὁ νεοττός), τοιαῦτα καὶ ἐν a ἀλεκτρυόνι b διαιρουμένῳ ὑπὸ τὸ ὑπόζωμα, οὗπερ αἱ θήλειαι ἔχουσι τὰ ᾠά, τὸ μὲν εἶδος ὠχρὰ ὅλα, τὸ δὲ μέγεθος ἡλίκα ᾠά· c ἃ ἐν τέρατος
10 λόγῳ τιθέασιν. Οἱ δὲ λέγοντες ὅτι ὑπολείμματά d ἐστι τὰ ὑπηνέμια τῶν ἔμπροσθεν ἐξ ὀχείας γινομένων, οὐκ e ἀληθῆ λέγουσιν· ὧπται γὰρ ἱκανῶς ἤδη ἀνόχευτοι νεοττίδες ἀλεκτο-
11 ρίδων καὶ χηνῶν f τίκτουσαι ὑπηνέμια. Τὰ g δ' ᾠὰ τὰ h ὑπηνέμια ἐλάττω μὲν τῷ μεγέθει i γίνεται καὶ ἧττον ἡδέα καὶ ὑγρότερα τῶν k γονίμων, πλήθει l δὲ πλείω· ὑποτιθεμένων δὲ τῇ ὄρνιθι οὐθὲν παχύνεται m τὸ ὑγρόν, ἀλλὰ τό τε ὠχρὸν διαμένει καὶ n τὸ λευκὸν o ὅμοια ὄντα. Γίνεται δ' ὑπηνέμια πολλῶν, οἷον p ἀλεκτορίδος, πέρδικος, περιστερᾶς, ταὼνος,
12 q χηνός, χηναλώπεκος. Ἐκλέπεται δ' ἐπῳάζουσῶν ἐν τῷ θέρει r θᾶττον ἢ ἐν τῷ χειμῶνι· ἐν ὀκτωκαίδεκα γὰρ ἡμέραις αἱ ἀλεκτορίδες ἐν τῷ θέρει ἐκλέπουσιν, s ἐν δὲ τῷ χειμῶνι ἐνίοτ' t ἐν πέντε καὶ εἴκοσιν. Διαφέρουσι μέντοι v καὶ ὄρνιθες ὀρνίθων τῷ ἐπῳαστικώτεραι εἶναι ἕτεραι ἑτέρων. Ἐὰν δὲ
13 βροντήσῃ ἐπῳαζούσης, w διαφθείρεται τὰ ᾠά. Τὰ δὲ καλούμενα ὑπό τινων κυνόσουσα καὶ x οὔρια γίνεται τοῦ θέρους

p ἐξέρχεται πεπηγὸς οὕτως $A^a.C^a$. q τῷ incertum C^a. r μεταβάλλοντος P, μεταβαλόντος $D^a.E^a$. s ἐπὶ] πρὸς P.$D^a.E^a$. t πω om. $A^a.C^a$. v ἐξερχόμενον D^a, ἐξερχομένου P.E^a. w εὐθὺς $A^a.C^a$. x ἐξίῃ] ᾖ P.$D^a.E^a$. y οἷον] ὠὸν P.A^a. z ἅπαντα γὰρ ὠχρὰ ὁμοίως E^a, ἅπαντα ὁμοίως γὰρ ὠχρὸν P. a ἀλέκτορι D^a, ἀλεκτορίδι P.E^a. b αἱρουμένῳ E^a, αἱρουμένου P. c ἃ om. P.$D^a.E^a$. d εἰσὶ A^a. e ἀληθῶς A^a. f τεκοῦσαι P.$D^a.E^a$. g δ'] γὰρ C^a. h ὑπηνέμια τῶν ἔμπροσθεν ἐξ ὀχείας γινομένων ἐλάττω A^a. i γίγνονται A^a. k μονίμων πλήθη E^a. l δὲ πλείω om. P.E^a. m τῷ ὑγρῷ P.E^a. n τὰ λευκὰ $A^a.C^a$. o ὅμοιον P. p ἀλεκτορίδες πέρδικες περιστεραὶ ταὼν P.E^a. q χὴν E^a. r θᾶττον] ἧττον P.E^a. s τῷ χειμῶνι δὲ, omissa ἐν, C^a. t ἐν om. P.$D^a.E^a$. v καὶ] καὶ οἱ $D^a.E^a$. w φθείρεται A^a. x οὔρινα $D^a.E^a$.

Digitized by Google

μᾶλλον. Ζεφύρια δὲ καλεῖται [y] τὰ ὑπηνέμια ὑπό τινων, ὅτι ὑπὸ τὴν [z] ἐαρινὴν ὥραν φαίνονται [a] δεχόμεναι τὰ πνεύματα [b] αἱ ὄρνιθες· τοιοῦτον δὲ ποιοῦσι καὶ τῇ χειρί πως [c] ψηλαφώμεναι. Γίνεται δὲ τὰ ὑπηνέμια γόνιμα καὶ τὰ ἐξ ὀχείας 14 [d] ἐννπάρχοντα ἤδη μεταβάλλει τὸ γένος εἰς ἄλλο γένος, ἐὰν πρὶν [e] μεταβαλεῖν ἐκ τοῦ ὠχροῦ εἰς τὸ [f] λευκὸν ὀχεύηται ἡ τὰ ὑπηνέμια ἔχουσα ἢ τὰ [g] γόνῳ εἰλημμένα ἐξ ἑτέρου ὄρνιθος· καὶ γίνεται τὰ μὲν ὑπηνέμια γόνιμα, τὰ δὲ προϋπάρχοντα κατὰ τὸν ὕστερον ὀχεύοντα ὄρνιθα. [h] Ἂν δ' ἤδη 15 [i] μεταβαλλόντων εἰς τὸ λευκόν, οὐθὲν [k] μεταβάλλει οὔτε τὰ ὑπηνέμια ὥστε γίνεσθαι γόνιμα, οὔτε τὰ γόνῳ κυούμενα ὥστε [l] μεταβάλλειν εἰς τὸ τοῦ ὀχεύοντος γένος. Καὶ ἐὰν ὑπαρχόντων δὲ [m] μικρῶν [n] διαλείπῃ ἡ ὀχεία, οὐθὲν [o] ἐπαυξάνεται τὰ προϋπάρχοντα· ἐὰν δὲ πάλιν ὀχεύηται, ταχεῖα γίνεται [p] ἡ ἐπίδοσις [p] εἰς τὸ μέγεθος. Ἔχει δὲ φύσιν τοῦ 16 φοῦ [q] τὸ [r] ὠχρὸν καὶ τὸ λευκὸν [s] ἐναντίαν οὐ μόνον τῷ χρώματι ἀλλὰ καὶ τῇ δυνάμει· τὸ μὲν γὰρ ὠχρὸν ὑπὸ [t] τοῦ [u] ψύχους πήγνυται, τὸ [v] δὲ λευκὸν οὐ πήγνυται ἀλλ' ὑγραίνεται μᾶλλον· ὑπὸ δὲ τοῦ πυρὸς τὸ μὲν λευκὸν πήγνυται, τὸ [w] δ' ὠχρὸν οὐ πήγνυται ἀλλὰ μαλακὸν διατελεῖ, ἂν μὴ κατακαυθῇ, καὶ μᾶλλον [x] ἐψομένου ἢ πυρουμένου συνίσταται καὶ ξηραίνεται. [y] Ἑκάτερον δὲ χωρὶς ὑμένι διείληπται ἀπ' ἀλ- 17 λήλων. Αἱ δὲ πρὸς τῇ ἀρχῇ τοῦ ὠχροῦ χάλαζαι οὐθὲν συμβάλλονται πρὸς τὴν γένεσιν, ὥσπερ τινὲς ὑπολαμβάνουσιν· εἰσὶ δὲ δύο, ἡ μὲν κάτωθεν ἡ δ' ἄνωθεν. Συμβαίνει 18 δὲ περὶ τὸ ὠχρὸν καὶ τὸ λευκόν, καὶ ὅταν ἐξαιρεθέντα [z] συν-

[y] ὑπό τινων τὰ ὑπηνέμια D^a. [z] ειαρινὴν $A^a.C^a$, ἀερινὴν E^a. [a] δεχόμενοι D^a, δεχόμενα $P.A^a$. [b] οἱ D^a. [c] ψηλαφώμενα A^a. [d] ἤδη ἐννπάρχοντα $P.D^a.E^a$. [e] μεταβάλλειν $P.C^a.E^a$. [f] περὶλευκον $A^a.C^a$. [g] γόνῳ εἰλημένα D^a, γονοειρημένα $P.E^a$. [h] ἐὰν C^a. [i] μεταβάλλον $P.E^a$. [k] μεταβαλλόντων P, μεταβαλόντων E^a. [l] μεταβαλεῖν $A^a.C^a$. [m] μικρὸν E^a. [n] διαλίπῃ C^a. [o] ἐπαυράνεται E^a. [p] ἡ ἡ et εἰς om. $P.E^a$. [q] τὸ] τότε D^a, οὔτε P, οὔτε τὸ E^a. [r] λευκὸν καὶ τὸ ὠχρὸν $P.D^a.E^a$. [s] ἐναντία $P.E^a$. [t] τοῦ om. C^a. [u] ψυχροῦ $P.E^a$. [v] λευκὸν δὲ $P.E^a$. [w] ὠχρὸν δὲ D^a. [x] ἑπομένου P. [y] χωρὶς ἐν ὑμένι διείληπται ὑπ' $P.D^a.E^a$. [z] συγκράσῃ P, συγκεράσῃ $D^a.E^a$, συνερανίσῃ $A^a.C^a$.

Digitized by Google

ἐράσῃ τις πλείω τοιαῦτα [a] εἰς κύστιν καὶ ἔψῃ [b] μαλακῶς καὶ μὴ [c] συντόνῳ τῷ πυρί, τὸ ὠχρὸν εἰς τὸ μέσον συνέρχεται
19 πᾶν, [d] κύκλῳ δὲ τὸ λευκὸν [e] περίσταται. Τῶν δ' ἀλεκτορίδων αἱ νεοττίδες [f] πρῶτον τίκτουσιν εὐθὺς ἀρχομένου τοῦ ἔαρος, καὶ πλείω [g] τίκτουσιν [h] ἢ αἱ πρεσβύτεραι· ἐλάττω δὲ
[i] τῷ μεγέθει τὰ ἐκ τῶν νεωτέρων. [v]Ολως δὲ ἐὰν [k] μὴ ἐπῳά-
20 ζωσιν αἱ ὄρνιθες, διαφθείρονται καὶ κάμνουσιν. [l]Οχευθεῖσαι δὲ αἱ [l] μὲν ὄρνιθες φρίττουσί τε καὶ ἀποσείονται καὶ πολλάκις κάρφος περιβάλλονται (ποιοῦσι δὲ τὸ αὐτὸ τοῦτο καὶ τεκοῦσαι ἐνίοτε), αἱ δὲ περιστεραὶ ἐφέλκουσι τὸ [m] ὀρροπύ-
21 γιον, οἱ δὲ χῆνες κατακολυμβῶσιν. Αἱ δὲ κυήσεις καὶ [n] αἱ τῶν ὑπηνεμίων ᾠῶν συλλήψεις ταχεῖαι γίνονται ταῖς πλείσταις τῶν ὀρνίθων, οἷον καὶ τῇ πέρδικι, ὅταν ὀργᾷ πρὸς τὴν ὀχείαν· ἐὰν γὰρ [o] κατὰ πνεῦμα στῇ τοῦ ἄρρενος, κυΐσκεται καὶ εὐθὺς [p] ἄχρηστος γίνεται πρὸς [q] τὰς θήρας· ὄσφρησιν
22 γὰρ δοκεῖ ἔχειν ἐπίδηλον ὁ πέρδιξ. [r]Η δὲ τοῦ [r] ᾠοῦ γένεσις μετὰ τὴν ὀχείαν καὶ ἐκ τοῦ ᾠοῦ πάλιν [s] συμπεττομένου [t] ἡ τοῦ νεοττοῦ γένεσις οὐκ ἐν ἴσοις χρόνοις συμβαίνει πᾶσιν, ἀλλὰ διαφέρει κατὰ [v] τὰ μεγέθη τῶν γεννώντων. Συνίσταται δὲ τὸ τῆς ἀλεκτορίδος ᾠὸν μετὰ τὴν ὀχείαν καὶ τελειοῦται [w] ἐν [x] δέχ' ἡμέραις ὡς ἐπὶ τὸ πολύ· καὶ τῆς περι-
23 στερᾶς δ' ἐν μικρῷ ἐλάττονι. Δύνανται δ' αἱ περιστεραὶ [y] ἤδη τοῦ ᾠοῦ [z] ἐν ᾠδῖνι ὄντος κατέχειν· ἐὰν γάρ τι ἐνοχληθῇ ὑπό τινος ἢ περὶ τὴν νεοττείαν ἢ [a] πτερὸν ἐκτιλθῇ ἢ ἄλλο τι [b] πονήσῃ [c] καὶ δυσαρεστήσῃ, κατέχει καὶ οὐ τίκτει

[a] εἰς τὴν κύστιν Aa.Ca. [b] μαλακῷ P.Da.Ea. [c] συντόνως τῷ Aa, συντόνῳ P.Da.Ea. [d] κύκλῳ τὸ δὲ λευκὸν P.Ea, κύκλῳ δὲ τὸ λευκὸν κύκλῳ Da. [e] περιτέταται Aa.Ca. [f] πρῶται τίκτουσιν Aa, τίκτουσι πρῶτον P.Da.Ea. [g] τίκτουσιν] τε τίκτουσιν Ca, δὲ τίκτουσιν P.Da.Ea. [h] ἢ om. P.Da.Ea. [i] τὰ μεγέθη P.Ea. [k] μήπω P.Da.Ea. [l] μὲν om. Aa.Ca. [m] οὐροπύγιον Aa. [n] αἱ post καὶ om. P.Ca. et pr. Aa. [o] καταπνευσθῇ τοῦ P.Ea. [p] ἄχρηστον Aa.Ca. [q] τῆς Aa. [r] ᾠοῦ] νεοττοῦ P.Ea. [s] συμπεττομένη Aa. [t] ἡ τοῦ νεοττοῦ γένεσις om. P.Ea. [v] τὰ om. P.Ca.Da.Ea. [w] ἐν] τὸ ᾠὸν ἐν P.Aa.Ca.Ea. [x] δέχ'] δέ ante lacunam quattuor litterarum P. [y] ἤδη] καὶ ἤδη Aa.Ca. [z] ἐν ᾠδῖνι ὄντες P.Ea, ἐνωδίνοντος Aa.Ca. [a] πτερὸν ἤ τι ἕτερον ἐκτιλθῇ Aa.Ca. [b] πονῇ Ea, πονεῖ P. [c] καὶ δ.] ἢ καὶ δ. P.Da.Ea.

Digitized by Google

[d] μελλήσασα. [e] Ἴδια δὲ περὶ τὰς περιστερὰς συμβαίνει καὶ τάδε περὶ τὴν ὀχείαν. [f] Κυνοῦσί τε γὰρ ἀλλήλας, ὅταν 24
μέλλῃ ἀναβαίνειν ὁ [g] ἄρρην, ἢ οὐκ ἂν ὀχεύσειεν, ὁ μὲν πρεσβύτερος [h] τὸ πρῶτον· ὕστερον μέντοι ἀναβαίνει καὶ μὴ κύσας· οἱ δὲ νεώτεροι [i] ἀεὶ τοῦτο ποιήσαντες ὀχεύουσιν. Τοῦτό τε 25
[k] δὴ ἴδιον ποιοῦσι, καὶ ἔτι αἱ θήλειαι ἀλλήλαις ἀναβαίνουσιν,
[l] ὅταν ἄρρην μὴ παρῇ, [m] κύσασαι ὥσπερ [n] οἱ ἄρρενες· καὶ οὐθὲν προϊέμεναι εἰς ἀλλήλας τίκτουσιν ᾠὰ πλείω [o] ἢ τὰ γόνῳ [p] γινόμενα, ἐξ ὧν οὐ γίνεται νεοττὸς [q] οὐθείς, ἀλλ' ὑπηνέμια πάντα τὰ τοιαῦτά ἐστιν.

[r] Ἡ δὲ [r] γένεσις ἐκ τοῦ ᾠοῦ [s] τοῖς ὄρνισι συμβαίνει μὲν τὸν 3
αὐτὸν τρόπον πᾶσιν, οἱ δὲ χρόνοι διαφέρουσι τῆς τελειώσεως, [t] καθάπερ εἴρηται. Ταῖς μὲν οὖν ἀλεκτορίσι τριῶν ἡμερῶν καὶ νυκτῶν παρελθουσῶν ἐπισημαίνει τὸ πρῶτον, ταῖς δὲ μείζοσιν αὐτῶν ὄρνισιν [v] ἐν πλείονι χρόνῳ, ταῖς δ' ἐλάττοσιν ἐν ἐλάττονι. Γίνεται δ' [w] ἐν τούτῳ τῷ χρόνῳ [w] ἤδη [x] ἄνω 2
τὸ ὠχρὸν [y] προσεληλυθὸς πρὸς τὸ ὀξύ, ἥπερ [z] ἐστὶν ἡ ἀρχὴ [z] τε τοῦ ᾠοῦ καὶ ἐκλέπεται τὸ ᾠόν, καὶ ὅσον στιγμὴ αἱματίνη ἐν τῷ λευκῷ ἡ καρδία. Τοῦτο δὲ τὸ [a] σημεῖον πηδᾷ καὶ κινεῖται ὥσπερ ἔμψυχον, καὶ ἀπ' αὐτοῦ δύο πόροι φλεβικοὶ ἔναιμοι [b] ἐλισσόμενοι φέρουσιν αὐξανομένου εἰς ἑκάτερον τῶν χιτώνων τῶν περιεχόντων. Καὶ ὑμὴν δ' αἱματικὰς 3
ἴνας ἔχων [c] ἤδη περιέχει τὸ λευκὸν κατὰ τὸν χρόνον τοῦτον [d] ἀπὸ τῶν πόρων τῶν φλεβικῶν. [e] Ὀλίγον δ' ὕστερον καὶ τὸ σῶμα [e] ἤδη ἀποκρίνεται, μικρὸν [f] τὸ [g] πρῶτον πάμπαν

[d] μελήσασα Aa.Ca.Da. [e] ἰδία P. [f] κύουσί Aa.Ca. [g] ἄρρην οὐκ ἂν ὀχεύσῃ P.Ea. [h] τὸ] ἂν μὴ τὸ Da, ἐὰν μὴ κύσῃ Aa.Ca. [i] τοῦτο ἀεὶ Aa.Ca. [k] δὴ om. P.Da.Ea. [l] ὅταν ὁ ἄρρην Da. [m] κυήσασαι Ea, κυνήσασαι P.Da. [n] οἱ om. Ca. [o] ἢ τὰ] εἶτα P.Da.Ea. [p] γενόμενα P.Da, γεννώμενα Aa.Ca. [q] οὐδὲ εἷς Da, εἷς P.Ea. [r] γέννησις Aa. [s] τοῖς] συμβαίνει τοῖς Da. [t] καθάπερ εἴρηται om. Da. [v] ἐν πλείοσι ταῖς δ' ἐλάττοσιν ελάττονα P.Da.Ea. [w] ἐν et ἤδη om. Aa.Ca. [x] ἄνω τὸ ὠχρὸν] τό τε ἄνω ὠχρόν Ca, τό τε ὠχρὸν ἄνω Aa, ἄνω P.Da.Ea. [y] προεληλυθὸς Da, πρὸς τὸ ἐληλυθὸς P.Ea. [z] ἐστὶν et τε om. P.Da.Ea. [a] σήμερον P.Ea. [b] λελισσωμένοι Aa.Ca, ἐλισσόμενοι οἱ P.Da.Ea. [c] περιέχει ἤδη Da. [d] ὑπὸ P.Da.Ea. [e] ἤδη] ἤδη καὶ P.Ea. [f] τὸ om. P.Ca.Da.Ea. [g] πρῶτον ante μικρὸν Da.

Digitized by Google

[h] καὶ λευκόν. [i] Δήλη δ' ἡ κεφαλή, καὶ ταύτης οἱ ὀφθαλμοὶ μάλιστ' ἐμπεφυσημένοι· καὶ τοῦτο μέχρι πόρρω [k] διατελεῖ· 4 ὀψὲ γάρ ποτε μικροὶ γίνονται καὶ συμπίπτουσιν. Τοῦ δὲ σώματος τὸ κάτω μέρος οὐθὲν φαίνεται μόριον πρὸς τὸ ἄνω τὸ πρῶτον. Τῶν δὲ πόρων τῶν ἐκ τῆς καρδίας τεινόντων ὁ μὲν φέρει εἰς τὸ κύκλῳ περιέχον, [l] ὁ δ' εἰς τὸ ὠχρὸν [m] ὥσπερ 5 ὀμφαλὸς ὤν. [n] Ἡ μὲν οὖν ἀρχὴ τοῦ νεοττοῦ ἐστὶν ἐκ τοῦ λευκοῦ, ἡ δὲ τροφὴ διὰ τοῦ ὀμφαλοῦ ἐκ τοῦ ὠχροῦ. Δεκαταίου δ' ἤδη ὄντος ὁ νεοττὸς ὅλος [n] διάδηλος καὶ τὰ μέρη πάντα. [o] Ἔχει δ' [o] ἔτι τὴν κεφαλὴν μείζω τοῦ [p] ἄλλου σώματος, καὶ τοὺς ὀφθαλμοὺς τῆς κεφαλῆς, οὐκ ἔχοντάς [q] πω 6 ὄψιν. Γίνονται δ' οἱ ὀφθαλμοὶ περὶ τὸν χρόνον τοῦτον ἐξαιρόμενοι μείζους κυάμων καὶ μέλανες· ἀφαιρουμένου δὲ τοῦ δέρματος ὑγρὸν ἔνεστι λευκὸν καὶ ψυχρόν, σφόδρα στίλβον 7 πρὸς τὴν αὐγήν, [r] στερεὸν δ' οὐθέν. Τὰ μὲν οὖν περὶ τὰ ὄμματα καὶ τὴν κεφαλὴν τοῦτον [s] διάκειται τὸν τρόπον, ἔχει δ' ἐν τῷ χρόνῳ τούτῳ καὶ τὰ σπλάγχνα ἤδη φανερὰ καὶ τὰ περὶ τὴν κοιλίαν καὶ τὴν τῶν ἐντέρων φύσιν, καὶ αἱ φλέβες αἱ ἀπὸ τῆς καρδίας φαινόμεναι τείνειν πρὸς τῷ ὀμ- 8 φαλῷ ἤδη γίγνονται. [t] Ἀπὸ δὲ τοῦ ὀμφαλοῦ τέταται φλὲψ ἡ μὲν πρὸς τὸν ὑμένα τὸν περιέχοντα τὸ [t] ὠχρόν (τὸ δ' ὠχρὸν ἐν [v] τῷ χρόνῳ τούτῳ ὑγρόν ἐστιν ἤδη, καὶ πλεῖον ἢ τὸ κατὰ φύσιν), ἡ δ' ἑτέρα εἰς τὸν ὑμένα τὸν περιέχοντα ὅλον [w] τόν τε ὑμένα ἐν ᾧ ὁ νεοττός, καὶ τὸν τοῦ ὠχροῦ ὑμένα 9 καὶ τὸ μεταξὺ τούτων ὑγρόν. Αὐξανομένου γὰρ τοῦ νεοττοῦ κατὰ μικρὸν τοῦ ὠχροῦ τὸ μὲν ἄνω γίνεται τὸ δὲ κάτω, ἐν μέσῳ δὲ [x] τὸ λευκὸν ὑγρόν· τοῦ δὲ κάτω ὠχροῦ [x] τὸ λευκὸν κάτωθεν, ὥσπερ τὸ πρῶτον ὑπῆρχεν. Δεκαταίου δ' ὄν-

[h] καὶ τὸ λευκόν P.D[a].E[a]. [i] δήλη δ' ἡ] δηλοῖ δ' ἡ D[a], δὲ ἤδη P.E[a]. [k] διαπλεῖ P.E[a]. [l] ὁ δ' εἰς τὸ ὠχρὸν] δὲ ὡς τῷ ὠχρῷ P.E[a]. [m] ὅπερ C[a]. [n] ἄδηλος pr. C[a], εὔδηλος corr. [o] ἔτι om. P.D[a].E[a]. [p] ἄλλου] ὅλου A[a]. [q] πως C[a]. [r] στερεὸν] ὕστερον P.D[a].E[a]. [s] διάκεινται A[a]. [t] ὠχρόν] ὑγρόν A[a]. τὸ ὠχρόν—περιέχοντα om. P.E[a]. [v] τούτῳ τῷ χρόνῳ ὑγρὸν ἤδη ἐστὶ P.C[a].D[a].E[a]. [w] τόν τε om. P.E[a], τε om. D[a]. [x] τὸ utrumque om. A[a].C[a].

Digitized by Google

τος τὸ λευκὸν ἔσχατον γίνεται, ὀλίγον ἤδη ὂν καὶ γλίσχρον καὶ παχὺ καὶ ὕπωχρον. Τέτακται γὰρ τῇ θέσει ἕκαστα τόνδε τὸν τρόπον. [y] Πρῶτος μὲν καὶ ἔσχατος πρὸς τὸ 10
ὄστρακον [z] ὁ τοῦ φοῦ ὑμήν, οὐχ ὁ τοῦ ὀστράκου, ἀλλ' ὑπ' ἐκεῖνον. [a] Ἐν δὲ τούτῳ λευκὸν ἔνεστιν ὑγρόν, [a] εἶτα ὁ νεοττός, [b] καὶ περὶ αὐτὸν ὑμὴν χωρίζων, ὅπως μὴ [c] ᾖ ἐν ὑγρῷ ὁ νεοττός· ὑπὸ δὲ τὸν νεοττὸν τὸ ὠχρόν, [d] εἰς ὃ τῶν φλεβῶν ἔφερεν ἡ ἑτέρα, ἡ δ' ἑτέρα εἰς τὸ περιέχον λευκόν. Τὸ δὲ 11
πᾶν περιέχει ὑμὴν μετὰ ὑγρότητος ἰχωροειδοῦς. Εἶτ' ἄλλος ὑμὴν περὶ αὐτὸ ἤδη τὸ ἔμβρυον, ὥσπερ εἴρηται, χωρίζων πρὸς [e] τὸ ὑγρόν. [f] Ὑποκάτω δὲ [f] τούτου τὸ ὠχρὸν ἐν ἑτέρῳ ὑμένι περιειλημμένον, [g] εἰς ὃ τείνει [h] ὀμφαλὸς ὁ ἀπὸ τῆς καρδίας καὶ τῆς μεγάλης φλεβὸς φέρων, ὥστε μὴ εἶναι τὸ ἔμβρυον ἐν [i] μηδετέρᾳ τῶν ὑγροτήτων. Περὶ δὲ τὴν εἰκοστὴν 12
[k] ἤδη φθέγγεταί τε κινούμενος ἔσωθεν, [l] ἐάν τις κινῇ διελών, καὶ ἤδη δασὺς γίνεται, ὅταν ὑπὲρ τὰς εἴκοσιν [m] ἡ ἐκκόλαψις γίγνηται τῶν φῶν. [n] Ἔχει δὲ τὴν κεφαλὴν [n] ὑπὲρ τοῦ δεξιοῦ 13
σκέλους ἐπὶ τῇ λαγόνι, τὴν δὲ πτέρυγα ὑπὲρ [o] τῆς κεφαλῆς· καὶ [p] φανερὸς κατὰ τοῦτον τὸν χρόνον ὅ τε [q] χοριοειδὴς ὑμὴν ὁ μετὰ τὸν τοῦ ὀστράκου ὑμένα τὸν ἔσχατον, εἰς ὃν [r] ἔτεινεν ὁ ἕτερος τῶν ὀμφαλῶν (καὶ ὁ νεοττὸς ἐν τούτῳ [s] δὴ γίνεται [t] τότε ὅλος), καὶ ὁ ἕτερος ὑμὴν [q] χοριοειδὴς ὤν, [v] ὁ περὶ τὸ ὠχρὸν εἰς ὃ [w] ἔτεινεν ὁ ἕτερος ὀμφαλός· ἄμφω [x] δ' ἦστην ἀπό τε τῆς καρδίας καὶ τῆς φλεβὸς τῆς μεγάλης. [i] Ἐν δὲ 14
τούτῳ τῷ χρόνῳ ὁ μὲν [y] πρὸς τὸ ἔξω χόριον ὀμφαλὸς τείνων ἀπολύεται τοῦ ζῴου [z] συμπεπτωκώς, ὁ δὲ εἰς τὸ ὠχρὸν φέρων

[y] πρώτως μὲν καὶ ἔσχατον P.D[a].E[a]. [z] ὁ] τὸ A[a], om. C[a]. [a] εἶτ' ἔνεστιν ὁ A[a].C[a]. [b] καὶ ὁ περὶ P.D[a].E[a]. [c] ᾖ post νεοττὸς C[a]. [d] εἰς ὃ] εἶσω P.D[a].E[a]. [e] τῷ ὑγρῷ E[a]. [f] τοῦτο ὠχρὸν P.D[a].E[a]. [g] εἰς ὃ] ἐν ᾧ P.D[a].E[a]. [h] ὁ ὀμφαλὸς ἀπὸ A[a]. [i] οὐδετέρᾳ P.E[a], οὐδετέρῳ D[a]. [k] ἤδη] ᾗ A[a]. [l] ἄν τις κινῇ D[a], ἀντικινεῖ P.E[a]. [m] ἡ ἐκκόλαψις γίνεται A[a], γίγνηται ἡ ἐκκόλαψις P.D[a].E[a]. [n] ὑπὲρ] ὑπὸ A[a]. [o] τῆς om. A[a].C[a]. [p] φανερῶς D[a].E[a]. [q] utrobique χοριώδης P.E[a], χορειώδης D[a], χοιροειδὴς C[a]. [r] ἐνέτεινεν A[a]. [s] δὴ] ἤδη A[a]. [t] τότε ὅλος] τὸ τέλος C[a]. [v] ὁ om. A[a].C[a]. [w] ἐτείνετο A[a].C[a]. [x] δ' ἦσθην P, δή ἐστιν A[a].C[a], incerto E[a]. [y] ἔξω πρὸς τὸ A[a].C[a]. [z] συμπεπτωκός P, συμπεπτωκότος A[a].C[a].

Digitized by Google

[a] συνήρτηται τοῦ νεοττοῦ πρὸς τὸ ἔντερον τὸ λεπτόν, καὶ ἔσω τοῦ ὠχροῦ πολὺ ἤδη γίνεται ἐν τῷ νεοττῷ, καὶ ὑπό-
15 στημα ἐν τῇ κοιλίᾳ ὠχρόν. Καὶ περίττωμα δ' [b] ἀφίησι [c] περὶ τὸν χρόνον τοῦτον πρὸς τὸ ἔξω [d] χόριον, καὶ ἐν τῇ κοιλίᾳ [e] ἔχει· λευκὸν δὲ καὶ τὸ ἔξω περίττωμα, καὶ ἔσω τι
16 ἐγγίνεται λευκόν. Τέλος δὲ [f] τὸ [g] ὠχρὸν ἀεὶ ἔλαττον γινόμενον καὶ προϊὸν ἀναλίσκεται πάμπαν καὶ ἐμπεριλαμβάνεται ἐν τῷ νεοττῷ, ὥστ' ἤδη [h] ἐκκεκολαμμένου δεκαταίου, ἄν τις ἀνασχίσῃ, [i] ἔτι πρὸς τῷ ἐντέρῳ μικρόν τι τοῦ ὠχροῦ λείπεται, ἀπὸ [k] δὲ τοῦ ὀμφαλοῦ ἀπολέλυται, καὶ οὐθὲν [l] γίνεται
17 μεταξὺ [m] ἀλλ' ἀνήλωται πᾶν. Περὶ δὲ τὸν χρόνον τὸν πρότερον ῥηθέντα καθεύδει μὲν ὁ νεοττός, ἐγείρεται δὲ καὶ ἀναβλέπει κινούμενος καὶ φθέγγεται· καὶ ἡ καρδία ἅμα τῷ ὀμφαλῷ [n] ἀναφυσᾷ ὡς ἀναπνέοντος. [o] Ἡ μὲν οὖν γένεσις [o] ἐκ
18 τοῦ ᾠοῦ τοῖς ὄρνισι τοῦτον ἔχει τὸν τρόπον. [p] Τίκτουσι δ' αἱ ὄρνιθες ἔνια ἄγονα τῶν ᾠῶν καὶ τὰ ἐξ ὀχείας γινόμενα, καὶ ἐπφαζουσῶν οὐθὲν γίνεται ἔκγονον· τεθεώρηται δὲ τοῦτο μάλιστα ἐπὶ τῶν περιστερῶν. Τὰ δὲ δίδυμα τῶν ᾠῶν δύ' ἔχει [q] λεκίθους, ὧν [r] τὰ μὲν διείργει [s] τοῦ μὴ εἰς ἄλληλα συγκεχύσθαι τὰ ὠχρὰ τοῦ λευκοῦ λεπτὴ [t] διάφυσις, τὰ δ' οὐκ
19 ἔχει ταύτην τὴν διάφυσιν, ἀλλὰ συμψαύουσιν. Εἰσὶ δ' [v] ἔνιαι ἀλεκτορίδες αἳ πάντα δίδυμα τίκτουσιν, [w] καὶ ἤδη ἐπὶ τούτων ὤφται [x] τὸ περὶ τὴν [y] λέκιθον συμβαῖνον· ὀκτωκαίδεκα γάρ τις τεκοῦσα ἐξέλεψε δίδυμα, πλὴν ὅσα [z] οὔρια ἐγένετο. Τὰ μὲν οὖν ἄλλα γόνιμα, πλὴν [a] ὅτι τὸ μὲν μεῖζον τὸ δ' [b] ἔλαττον γίνεται τῶν διδύμων, [c] τὸ δὲ [d] τελευταῖον τερατῶδες.

[a] συναρτεῖται P.E[a]. [b] ἀφιᾶσι A[a].C[a]. [c] περὶ τὸν χρόνον τοῦτον post χόριον A[a]. [d] χωρίον D[a]. [e] ἔχει] δὲ ἔχει P. [f] τὸ om. P.E[a]. [g] ἀεὶ ὠχρὸν E[a]. [h] ἐκκεκολαμένου A[a].C[a], ἐκκεκαλυμμένον P.D[a].E[a]. [i] ἔτι] τὰ A[a].C[a]. [k] τοῦ ὀμφαλοῦ δὲ P. [l] γίγνεται τῷ μεταξὺ A[a]. [m] ἄλλο P.E[a], omissis ἀνήλωται πᾶν. [n] ἀναφῦσα E[a]. [o] ἐκ om. P.E[a]. [p] τίκτουσαι C[a]. [q] λεκύθους P.D[a]. [r] τὰ] τὸ A[a].C[a]. [s] τοῦ] τὸ A[a]. [t] διάθεσις P.E[a]. [v] ἔνιαι αἱ ἀλ. A[a]. [w] καὶ ἤδη] ὡς P.D[a].E[a]. [x] τὸ om. A[a].C[a] [y] λέκυθον P.E[a]. [z] οὔρινα P.C[a].D[a].E[a]. [a] ὅτι Conr. Gesnerus: codices ὅσα. [b] ἔλασσον A[a]. [c] τὸ] ὁτὲ P.E[a]. [d] τελευτᾷ E[a].

Digitized by Google

Τίκτουσι δὲ πάντα μὲν τὰ περιστεροειδῆ δύο, οἷον φάττα 4
καὶ τρυγὼν ὡς ἐπὶ τὸ πολύ, τὰ δὲ πλεῖστα τρία τρυγὼν καὶ
φάττα. Τίκτει δ' ἡ μὲν περιστερά, ὥσπερ εἴρηται, πᾶσαν 2
ὥραν, τρυγὼν δὲ καὶ φάττα ἐν τῷ ἔαρι, [e] οὐ πλεονάκις ἢ δίς·
τίκτει δὲ τὰ δεύτερα, ὅταν τὰ [f] πρότερον γεννηθέντα διαφθα-
ρῇ· [g] πολλαὶ γὰρ διαφθείρουσιν αὐτὰ τῶν ὀρνίθων. Τίκτει 3
μὲν [h] οὖν, ὥσπερ εἴρηται, καὶ [i] τρία ποτέ· ἀλλ' [k] ἐξάγει
οὐδέποτε [l] δυοῖν [m] πλέον νεοττοῖν, ἐνίοτε [n] δὲ καὶ ἕνα μόνον·
τὸ δ' ὑπολειπόμενον τῶν ᾠῶν ἀεὶ [o] οὐριόν ἐστιν. Τῶν δὲ
πλείστων ὀρνέων οὐδὲν αὐτοετὲς γεννᾷ. [v] Ἅπαντες δ' οἱ ὄρ-
νιθες, ἐπειδὰν [p] ἅπαξ ἄρξωνται τίκτειν, διὰ τέλους ὡς εἰπεῖν
[q] ἔχουσιν φά, ἀλλ' [r] ἐν ἐνίοις διὰ μικρότητα οὐ ῥᾴδιον ἰδεῖν.
[t] Ἡ δὲ περιστερὰ [s] ὡς ἐπὶ τὸ πολὺ ἄρρεν καὶ θῆλυ, καὶ τού- 4
των ὡς ἐπὶ τὸ πολὺ πρότερον τὸ ἄρρεν τίκτει· καὶ τεκοῦσα
μίαν [t] ἡμέραν διαλείπει [v] τὰ πολλά, εἶτα πάλιν τίκτει θά-
τερον. [t] Ἐπῳάζει δὲ καὶ ὁ ἄρρην ἐν τῷ [w] μέρει τῆς ἡμέρας,
τὴν δὲ νύκτα ἡ θήλεια. [x] Ἐκπέττεταί τε καὶ ἐκλέπεται 5
ἐντὸς εἴκοσιν ἡμερῶν τὸ [y] γενόμενον πρότερον τῶν ᾠῶν· τι-
τρώσκει δὲ τὸ ᾠὸν τῇ [z] προτεραίᾳ [a] ἢ ἐκλέπει. Καὶ συνθερ-
μαίνουσι τοὺς νεοττοὺς ἀμφότεροι ἐπὶ [b] χρόνον τὸν αὐτὸν
ὅνπερ καὶ τὰ ᾠά. Χαλεπωτέρα [c] δὲ ἡ θήλειά ἐστι [d] περὶ
τὴν [e] τεκνοτροφίαν τοῦ ἄρρενος, ὥσπερ καὶ τὰ ἄλλα ζῷα
μετὰ τὸν τόκον. Τίκτουσι δὲ τοῦ ἐνιαυτοῦ καὶ δεκάκις, ἤδη 6
δέ [f] τινες καὶ ἐνδεκάκις, αἱ δ' ἐν Αἰγύπτῳ καὶ δωδεκάκις.
[g] Ὀχεύει δὲ καὶ ὀχεύεται ἡ περιστερὰ [h] ἐντὸς ἐνιαυτοῦ· καὶ

[e] οὐ om. P.D[a]. [f] πρότερα P.D[a], πρῶτα C[a]. [g] πολλοὶ A[a], πολλὰ P. [h] οὖν] οὖν οὕτως D[a], οὕτως P. [i] τρὶς P. [k] ἐξάγει τε οὐδέποτε P.C[a].D[a]. [l] δυσὶ P.D[a]. [m] πλέω A[a], πλείων C[a]. [n] δὲ καὶ ἕνα] δ' ἓν A[a].C[a]. [o] οὔριόν D[a]. [p] ἅπαξ] ἅπαντες D[a], ἀπ A[a].C[a], om. P. [q] ἔχουσι φύσει ᾠά P. [r] ἐν om. P.A[a].D[a]. [s] ὡς μὲν ἐπὶ A[a].C[a]. [t] ἡμέραν οὐ διαλείπει P. [v] τὰ πολλὰ om. A[a].C[a]. [w] μέρει] θέρει P.D[a]. [x] ἐκπέτεται D[a]. [y] γεννώμενον P.D[a]. [z] προτέρᾳ P.C[a].D[a]. [a] ἢ] ἧς A[a].C[a], ᾗ P.D[a]. [b] χρόνον τινὰ τὸν αὐτὸν δὲ τρόπον ὅνπερ C[a], χρόνον τινὰ τὸν αὐτὸν δὲ χρόνον ὅνπερ A[a]. [c] δὲ καὶ ἡ P.D[a]. [d] ἐπὶ A[a].C[a]. [e] τεκνοφορίαν A[a]. [f] τις D[a]. [g] ὀχεύεται δὲ καὶ ὀχεύει A[a]. [h] ἐντὸς τοῦ ἐνιαυτοῦ D[a].

Digitized by Google

γὰρ [1]ἔκμηνος ὀχεύει καὶ ὀχεύεται. Τὰς δὲ φάττας καὶ τὰς τρυγόνας ἔνιοί φασιν ὀχεύεσθαι καὶ γεννᾶν καὶ τρίμηνα ὄντα, [η] σημεῖον ποιούμενοι τὴν πολυπλήθειαν αὐτῶν. [k]Ἔγκυα δὲ γίνεται δέκα καὶ τέτταρας ἡμέρας, καὶ ἐπῳάζει ἄλλας τοσαύτας· ἐν ἑτέραις δὲ δέκα καὶ [l]τέτταρσι [m]πτεροῦνται οὕτως [n]ὥστε μὴ ῥᾳδίως καταλαμβάνεσθαι. Βιοῖ δὲ φάττα, ὡς φασί, καὶ τετταράκοντα ἔτη· καὶ αἱ πέρδικες δὲ πλείω [o]ἢ ἔτη ἐκκαίδεκα. Τίκτει [p]δὲ ἡ περιστερὰ ἀπονεοττεύουσα πάλιν ἐν τριάκονθ' ἡμέραις.

5 [r]Ὁ δὲ γὺψ νεοττεύει μὲν ἐπὶ πέτραις ἀπροσβάτοις· διὸ σπάνιον ἰδεῖν [q]νεοττιὰν γυπὸς καὶ νεοττούς. Καὶ διὰ τοῦτο [r]καὶ [s]Ἡρόδωρος [t]ὁ [v]Βρύσωνος τοῦ σοφιστοῦ [w]πατὴρ φησὶν εἶναι τοὺς γῦπας ἀφ' [x]ἑτέρας γῆς, [y]ἀδήλου ἡμῖν, τοῦτό τε λέγων τὸ σημεῖον, ὅτι οὐδεὶς ἑώρακε γυπὸς [q]νεοττιάν, καὶ ὅτι [z]πολλοὶ ἐξαίφνης φαίνονται ἀκολουθοῦντες τοῖς [a]στρα- 2 τεύμασιν. Τὸ δ' ἐστὶ χαλεπὸν [b]μὲν ἰδεῖν, ὦπται δ' ὅμως. Τίκτουσι δὲ δύο ᾠὰ [c]οἱ γῦπες. Τὰ μὲν οὖν ἄλλα ὅσα σαρκοφάγα οὐκ ὦπται πλεονάκις ἢ ἅπαξ τίκτοντα, ἡ δὲ χελιδὼν δὶς νεοττεύει [d]μόνον τῶν σαρκοφάγων· τῶν [e]δὲ νεοττῶν ἄν τις [f]ἔτι νέων ὄντων τῆς χελιδόνος τὰ ὄμματα ἐκκεντήσῃ, γίνονται ὑγιεῖς καὶ [g]βλέπουσιν ὕστερον.

6 [t]Ὁ δ' ἀετὸς ᾠὰ μὲν τίκτει τρία, ἐκλέπει δὲ τούτων τὰ δύο, ὥσπερ ἐστὶ καὶ [h]ἐν τοῖς Μουσαίου λεγομένοις ἔπεσιν,

[s]Ὃς τρία μὲν τίκτει, δύο ἐκλέπει, ἓν [i]δ' ἀλεγίζει.

[t]Ὡς μὲν οὖν τὰ πολλὰ οὕτω συμβαίνει, ἤδη δὲ καὶ [k]τρεῖς νεοττοὶ ὠμμένοι εἰσίν. Ἐκβάλλει δ' αὐξανομένων τὸν ἕτερον 2 [l]τῶν νεοττῶν ἀχθόμενος [m]τῇ ἐδωδῇ. [v]Ἅμα δὲ [n]καὶ λέγεται

[i] ἐξάμηνον Ca, ἐξ μηνῶν P.Da. [k] ἔγγυα Aa. [l] τέσσαρσι Aa. [m] πτεροῦται Ca, περαιοῦται Aa. [n] ὥστε καὶ ῥαδίως μὴ κατ βιοῖ P. [o] ἔτη ἢ P.Da. [p] δὲ καὶ ἡ P.Da. [q] νεοττείαν utrobique P.Da. [r] καὶ om. P.Da. [s] ἡρόδοτος P.Ca.Da. [t] ὁ om. P. [v] βρύσσωνος Ca, βρίσσωνος Da, ἀρίσσωνος P. [w] πατέρας P.Da. [x] ἐφ' P.Ca.Da. [y] ἀδήλους P.Da. [z] πολλοῖς P. [a] στρατευομένοις Aa. [b] μὲν om. P.Da. [c] οἱ om. P. [d] μᾶλλον Ca. [e] δὲ νεοττῶν om. P. [f] ἔτι om. P.Ca.Da. [g] βλέποντες P. [h] ἐπὶ τοῖς λεγομένοις μουσαίου P.Da. [i] δ' ἀλεγίζει] δὲ λεπίζει P. [k] τρὶς Da. [l] τῶν νεοττῶν νεοττὸν Da. [m] τῆς ἐδωδῆς Ca. [n] καὶ om. P.Da.

Digitized by Google

ἐν τῷ χρόνῳ [o]τούτῳ [p]ἅπαστος γίνεσθαι, [q]ὅπως μὴ ἁρπάζῃ τοὺς τῶν θηρίων σκύμνους· οἵ τε [r]οὖν ὄνυχες [s]αὐτοῦ [t]διαστρέφονται ὀλίγας ἡμέρας, καὶ τὰ πτερὰ [v]λευκαίνεται, ὥστε καὶ τοῖς τέκνοις τότε γίνονται χαλεποί. Τὸν δ' ἐκβληθέντα δέχεται καὶ [w]ἐκτρέφει ἡ φήνη. [1]Ἐπῳάζει δὲ [x]περὶ τριάκονθ' 3 ἡμέρας. Καὶ τῶν ἄλλων δὲ τοῖς μεγάλοις [y]ὁ χρόνος τοσοῦτός ἐστι τῆς ἐπφάσεως, οἷον [z]χηνὶ καὶ ὠτίδι· τοῖς δὲ μέσοις περὶ εἴκοσιν, οἷον ἰκτίνῳ [a]καὶ ἱέρακι. Τίκτει δὲ ὁ ἰκτῖνος τὰ μὲν πλεῖστα δύο, ἐνίοτε δὲ καὶ τρεῖς ἐξάγει νεοττούς· ὁ [b]δ' αἰτώλιος καλούμενος ἔστιν ὅτε καὶ τέτταρας. Τίκτει δὲ καὶ 4 ὁ κόραξ οὐ μόνον δύο, ὥσπερ φασί τινες, ἀλλὰ καὶ πλείω· [c]ἐπῳάζει δὲ [d]περὶ εἴκοσιν ἡμέρας καὶ ἐκβάλλει τοὺς νεοττοὺς ὁ κόραξ. Ποιεῖ δὲ καὶ ἄλλα τῶν [e]ὀρνέων τὸ αὐτὸ τοῦτο· πολλάκις γάρ, ὅσα πλείω τίκτει, ἕνα ἐκβάλλουσιν. Οὐ πάν- 5 τα δὲ τὰ τῶν ἀετῶν γένη ὅμοια περὶ τὰ τέκνα, ἀλλ' ὁ πύγαργος χαλεπός, οἱ δὲ μέλανες εὔτεκνοι περὶ τὴν τροφήν εἰσιν, ἐπεὶ πάντες [f]γε ὡς εἰπεῖν οἱ γαμψώνυχες, [g]ὅτε θᾶττον οἱ νεοττοὶ [h]δύνανται [i]πέτεσθαι, ἐκβάλλουσι τύπτοντες ἐκ τῆς [k]νεοττιᾶς. Καὶ τῶν ἄλλων δέ, ὥσπερ εἴρηται, 6 σχεδὸν οἱ πλεῖστοι τοῦτο δρῶσι καὶ [l]θρέψαντες οὐδεμίαν ἐπιμέλειαν ποιοῦνται [m]τὸ λοιπόν, πλὴν κορώνης· αὕτη δ' ἐπί τινα χρόνον ἐπιμελεῖται· καὶ γὰρ ἤδη [n]πετομένων σιτίζει [o]παραπετομένη.

[1]Ὁ δὲ κόκκυξ λέγεται μὲν ὑπό τινων ὡς μεταβάλλει ἐξ 7 ἱέρακος, διὰ τὸ ἀφανίζεσθαι τὸν ἱέρακα [p]περὶ τοῦτον τὸν χρόνον, [q]ᾧ ὅμοιός ἐστιν· σχεδὸν δὲ καὶ τοὺς ἄλλους ἱέρακας

[o] τούτῳ] τῷ αὐτῷ $A^a.C^a$. [p] ἐπάετος C^a, ἑπτάετος A^a. [q] ὅπως εἰ μὴ P. [r] οὖν om. A^a, post ὄνυχες ponunt $P.C^a.D^a$. [s] αὐτῷ D^a. [t] διαφέρονται $A^a.C^a$. [v] λευκαίνονται D^a. [w] τρέφει $P.D^a$. [x] περὶ om. D^a. [y] ὁ om. P. [z] χηνὸς καὶ ὠτίδος $A^a.C^a$. [a] καὶ om P. [b] δὲ γώλιος P. [c] ἐπφάζει δὲ] καὶ ἐπωάζει καὶ C^a, καὶ ἐπωάζει $P.D^a$. [d] περὶ om. A^a. [e] ὀρνίθων C^a. [f] γε] τὲ P, om. $C^a.D^a$. [g] ὅτι C^a, ὅταν $P.D^a$. [h] δύνωνται $P.C^a.D^a$. [i] πέττεσθαι A^a. [k] νεοττείας $P.D^a$. [l] ἐκτρέψαντες P, ἐπικάμψαντες D^a. [m] τὸ om. $A^a.C^a$. [n] πετομένη $P.D^a$. [o] παραπετομένους $P.A^a.D^a$. [p] περὶ] καὶ περὶ P. [q] ᾧ ὅμοιος] ὅμοιος δ' $A^a.C^a$.

Digitized by Google

οὐκ ἔστιν ἰδεῖν, [r] ὅτε θᾶττον φθέγγεται ὁ κόκκυξ, πλὴν ὀλίγας ἡμέρας. [s] Ὁ δὲ κόκκυξ φαίνεται [s] ἐπ' ὀλίγον χρόνον τοῦ
2 θέρους, τὸν δὲ χειμῶνα ἀφανίζεται. [u] Ἔστι δ' ὁ μὲν ἱέραξ γαμψώνυχος, [t] ὁ δὲ κόκκυξ οὐ γαμψώνυχος. [u] Ἔτι δὲ [v] οὐδὲ τὰ περὶ τὴν κεφαλὴν ἔοικεν ἱέρακι, ἀλλ' ἄμφω [w] ταῦτα περιστερᾷ μᾶλλον· ἀλλ' ἡ κατὰ τὸ χρῶμα μόνον προσέοικεν ἱέρακι, πλὴν τοῦ μὲν ἱέρακος [x] τὰ ποικίλα οἷον γραμμαί εἰσι,
3 τοῦ δὲ κόκκυγος οἷον στιγμαί. Τὸ μέντοι μέγεθος καὶ ἡ πτῆσις παραπλησία τῷ ἐλαχίστῳ τῶν ἱεράκων, ὃς κατὰ τὸν χρόνον τοῦτον ἀφανής ἐστιν ὡς ἐπὶ τὸ πολὺ [y] ὂν φαίνεται [z] ὁ κόκκυξ, ἐπεὶ ἤδη γε ὠμμένοι εἰσὶν ἄμφω. Καὶ κατεσθιόμενος δ' ὤπται κόκκυξ ὑπὸ ἱέρακος· καίτοι οὐθὲν ποιεῖ τοῦτο τῶν
4 [a] ὁμογενῶν ὀρνέων. Νεοττοὺς δὲ κόκκυγος [b] λέγουσιν ὡς οὐδεὶς ἑώρακεν· ὁ δὲ τίκτει μέν, ἀλλ' οὐ ποιησάμενος [c] νεοττιάν, ἀλλ' ἐνίοτε μὲν ἐν τῇ τῶν ἐλαττόνων ὀρνίθων ἐντίκτει [d] καταφαγὼν τὰ ᾠὰ τὰ ἐκείνων, μάλιστα δ' ἐν ταῖς τῶν [e] φαβῶν [f] νεοττιαῖς, καταφαγὼν καὶ τὰ τούτων ᾠά. Τίκτει
5 δ' ὀλιγάκις μὲν δύο, τὰ δὲ πλεῖστα ἕν. [g] Ἐντίκτει δὲ καὶ [h] τῇ τῆς [i] ὑπολαΐδος [k] νεοττιᾷ· ἡ δ' [l] ἐκπέττει καὶ ἐκτρέφει. Γίνεται [m] δὲ πίων καὶ ἡδύκρεως κατὰ τοῦτον τὸν καιρὸν μάλιστα. Γίνονται δὲ καὶ τῶν ἱεράκων [n] οἱ νεοττοὶ ἡδύκρεῳ σφόδρα καὶ πίονες. Νεοττεύει δὲ γένος τι αὐτῶν πόρρω καὶ ἐν ἀποτόμοις πέτραις.

8 [o] Ἐπφάζει δὲ τὰ πολλὰ τῶν ὀρνέων, ὥσπερ εἴρηται περὶ τῶν περιστερῶν, διαδεχόμενα [p] τὰ ἄρρενα τοῖς θήλεσι, τὰ δὲ τοσοῦτον χρόνον ὅσον ἀπολείπει τὸ θῆλυ τροφὴν αὐτῷ πορίζόμενον. Τῶν δὲ χηνῶν αἱ [q] θήλειαι ἐπφάζουσι μόναι, καὶ

[r] ὅταν θᾶττον φθέγγηται P.C[a].D[a]. [s] ἐπ'] μὲν ἐπ' D[a]. [t] ὁ δὲ κόκκυξ οὐ] καὶ ὁ κόκκυξ P. [u] οὔτε P.C[a]. [w] τὰ αὐτὰ π. μᾶλλον ἡ ἱέρακι ἀλλὰ κ. A[a].C[a]. [x] τὰ om. A[a].C[a]. [y] ὂν] ὢν P. [z] ὁ om. A[a].C[a]. [a] ὁμογενῶν P.C[a].D[a]. [b] λέγει A[a]. [c] νεοττείαν D[a], νοττείαν P. [d] κ. τὰ τούτων ᾠά μ. A[a]. [e] φάβων D[a], φλάβων A[a].C[a], φαττῶν P. [f] νεοττείαις P.D[a]. [g] τίκτει P.C[a].D[a]. [h] τῇ] ὑπὸ τῇ P.D[a]. [i] ὑλαίδος pr. D[a]. [k] νεοττιᾷ D[a], νεοττείας P. νεοττιᾷ—καιρὸν om. C[a]. [l] ἐκλέπει D[a]. [m] πῖον καὶ ἡδύκρεων A[a]. [n] οἱ] οἷον A[a].C[a]. [o] ὀρνίθων P.D[a]. [p] τὰ] τὸν D[a]. [q] θήλειαί τε ἐπ. P.C[a].D[a].

Digitized by Google

[r] διαμένουσι διὰ παντὸς [s] ἐφεδρεύουσαι, ὅταπερ ἄρξωνται τοῦτο ποιεῖν. Πρὸς δὲ [t] τόποις [v] ἑλώδεσί τε καὶ πόαν ἔχουσι 2 πάντων τῶν λιμναίων ὀρνίθων αἱ [w] νεοττιαὶ γίνονται· διόπερ καὶ ἡσυχίαν ἔχοντες ἐπὶ τῶν ᾠῶν δύνανται [x] τροφὴν [y] αὐτοῖς πορίζεσθαι καὶ μὴ παντάπασιν ἄσιτοι εἶναι. [1]Ἐπφάζουσι δὲ 3 καὶ τῶν κορωνῶν αἱ θήλειαι μόναι, καὶ [z] διατελοῦσιν ἐπ' αὐτῶν οὖσαι διὰ παντός· τρέφουσι δ' αὐτὰς οἱ ἄρρενες κομίζοντες τὴν τροφὴν αὐταῖς καὶ σιτίζοντες. Τῶν δὲ [a] φαβῶν ἡ μὲν θήλεια ἀπὸ δείλης ἀρξαμένη τήν τε [b] νύχθ' ὅλην ἐπφάζει καὶ ἕως ἀκρατίσματος ὥρας, ὁ δ' ἄρρην τὸ λοιπὸν τοῦ χρόνου. Οἱ δὲ πέρδικες δύο ποιοῦνται τῶν ᾠῶν σηκούς, καὶ ἐφ' [c] ᾧ 4 μὲν ἡ θήλεια [d] ἐπὶ δὲ θατέρῳ ὁ ἄρρην ἐπφάζει, καὶ ἐκλέψας ἐκπέμπει ἑκάτερος ἑκάτερα· καὶ τοὺς νεοττοὺς ὅταν πρῶτον ἐξάγῃ, ὀχεύει αὐτούς.

[1]Ὁ δὲ ταὼς ζῇ μὲν περὶ [e] πέντε καὶ εἴκοσιν ἔτη, γεννᾷ 9 δὲ [f] τριέτης μάλιστα, [g] ἐν οἷς καὶ τὴν ποικιλίαν τῶν πτερῶν ἀπολαμβάνει· [h] ἐκλέπει δ' ἐν τριάκονθ' ἡμέραις ἢ μικρῷ πλείοσιν. [v]Απαξ δὲ τοῦ ἔτους [i] μόνον τίκτει· τίκτει δ' ᾠὰ 2 δώδεκα ἢ μικρῷ ἐλάττω· τίκτει δὲ [k] διαλείπων δύο ἢ τρεῖς ἡμέρας καὶ οὐκ ἐφεξῆς· αἱ δὲ πρωτοτόκοι μάλιστα [l] περὶ ὀκτὼ ᾠά. Τίκτουσι δ' οἱ [m] ταὼ [n] ὑπηνέμια. [1]Οχεύονται δὲ περὶ τὸ ἔαρ· γίνεται δὲ καὶ ὁ τόκος εὐθέως μετὰ τὴν ὀχείαν. Πτερορρυεῖ δὲ ἅμα [o] τοῖς πρώτοις τῶν δένδρων καὶ ἄρχεται 3 αὖθις ἀπολαμβάνειν τὴν πτέρωσιν ἅμα τῇ τούτων βλαστήσει. [p]Αλεκτορίδι δ' ὑποτιθέασιν αὐτῶν τὰ ᾠὰ ἐπφάζειν [q] οἱ τρέφοντες διὰ [r] τὸ τὸν ἄρρενα τῆς θηλείας τοῦτο δρώσης ἐπιπετόμενον συντρίβειν· διὰ ταύτην [s] δὲ τὴν αἰτίαν καὶ τῶν

[r] διαμένουσι om. P.D[a]. [s] ἐφεδρεύουσιν P. [t] τόποις] τοῖς A[a].C[a]. [v] ὑλώδεσί D[a]. [w] νεοτταὶ A[a].C[a], νεοττείαι P.D[a]. [x] τροφὴν] τροφήν τινα P.D[a]. [y] αὐταῖς D[a]. [z] διαμένουσιν P.D[a]. [a] φάβων P.C[a].D[a], φλάβων A[a]. [b] νύκτα P.D[a]. [c] ᾧ] ὧν C[a]. [d] ἐπὶ θατέρῳ δὲ P.C[a], ἐπὶ θατέρου D[a]. [e] εἴκοσι πέντε P.D[a]. [f] τριετὴς D[a]. [g] ἐφ' A[a].C[a]. [h] ἐκλέπει δ'] καὶ ἐκλέπει P.D[a]. [i] τίκτει μόνον P.D[a]. [k] διαλιπὼν P.D[a]. [l] περὶ τὰ ὀκτὼ C[a]. [m] ταῶνες A[a], ταόνες C[a], ταὼ τὰ ὠὰ καὶ τὰ P.D[a]. [n] ὑπηνέμια] υτηνεμυ P. [o] ταῖς πρώταις P. [p] αἱ δ' ἀλεκτορίδες ὑπ. [q] οἱ τρέφοντες om. P.D[a]. [r] τὸ] τοῦ P. [s] δὴ P.D[a].

Digitized by Google

ἀγρίων ἔνιοι ὀρνίθων ἀποδιδράσκοντες τοὺς ἄρρενας τίκτουσι
4 καὶ ἐπῳάζουσιν. [t]Ὑποτίθεται [t]δὲ [v]τοῖς ὄρνισι μάλιστα δύο
ᾠά· τοσαῦτα γὰρ [w]μόνα δύναται [x]ἐπῳάζουσα ἐξάγειν.
[y]Ἐπιμελοῦνται δ' ὅπως μὴ καταβαίνουσα [z]διαλίπῃ τὸν
ἐπῳασμόν, παρατιθέντες τροφήν. Οἱ δ' ὄρνιθες περὶ τὴν
ὀχείαν τοὺς ὄρχεις μείζους [a]ἴσχουσιν [b]ἐπιδήλως, οἱ μὲν
μᾶλλον ὀχευτικοὶ [c]καὶ μᾶλλον [d]ἐπιδήλως, οἷον ἀλεκτρυόνες
καὶ πέρδικες, οἱ δὲ μὴ συνεχῶς ἧττον.

Περὶ μὲν [e]οὖν τῆς τῶν ὀρνίθων [f]κυήσεως καὶ γενέσεως τοῦ-
10 τον ἔχει τὸν τρόπον, οἱ δ' ἰχθύες ὅτι [g]μὲν οὐ πάντες ᾠοτο-
κοῦσιν, εἴρηται πρότερον. Τὰ μὲν γὰρ σελάχη ζωοτοκεῖ,
[h]τὸ δὲ τῶν ἄλλων [i]γένος ἰχθύων ᾠοτοκεῖ. [k]Ζωοτοκεῖ δὲ
τὰ σελάχη [l]πρότερον ᾠοτοκήσαντα [m]ἐν αὐτοῖς, καὶ ἐκτρέ-
2 φουσιν ἐν αὐτοῖς, πλὴν βατράχου. [v]Ἔχουσι δὲ καὶ τὰς ὑστέ-
ρας, ὥσπερ [n]ἐν τοῖς ἄνω ἐλέχθη, διαφόρους οἱ [o]ἰχθύες· τὰ
μὲν γὰρ ᾠοτοκοῦντα δικρόας ἔχει καὶ κάτω, τὰ δὲ σελάχη
ὀρνιθωδεστέρας. Διαφέρει δὲ τῆς τῶν ὀρνίθων ὑστέρας, ὅτι
οὐ πρὸς τῷ ὑποζώματι ἐνίοις συνίσταται τὰ ᾠά, ἀλλὰ με-
ταξὺ κατὰ τὴν ῥάχιν, ἐκεῖθεν δ' αὐξανόμενα μεταβαίνει.
3 Τὸ δ' ᾠὸν γίνεται πάντων τῶν ἰχθύων οὐ [p]δίχρων ἀλλὰ
[q]μονόχρων, λευκότερον δ' ἢ ὠχρότερον, καὶ πρότερον καὶ
ὅταν [r]ἐνῇ ὁ νεοττός. Διαφέρει δ' ἡ γένεσις ἡ ἐκ τοῦ ᾠοῦ
[s]τοῦ τῶν ἰχθύων καὶ τῶν ὀρνίθων, ᾗ οὐκ ἔχει τὸν ἕτερον ὀμ-
φαλὸν τείνοντα πρὸς τὸν ὑμένα τὸν ὑπὸ τὸ [t]ὄστρακον· τὸν
δ' εἰς τὸ ὠχρὸν τοῖς ὄρνισι τείνοντα πόρον, τοῦτον ἔχει
4 τοῖν δυοῖν [v]μόνον. [t]Ἡ δ' ἄλλη γένεσις ἤδη πᾶσα ἡ αὐτὴ

[t] δὲ om. P. [v] μάλιστα τοῖς ὄρνισι Da. [w] μόνα δύναται Aa, δύναται μόνα P, δύνανται μόνα Da. [x] ἐπωάζουσαι Aa.Ca. [y] ἐπιμελῶνται Aa. [z] διαλείπῃ P.Da, ἀπολίπῃ Aa. [a] ἔχουσιν P.Da. [b] ἐπειδὴ ὅλως οἱ μὲν ἔλαττον ὀχ. P. [c] καὶ μᾶλλον] καὶ ἀεὶ Ca, καὶ αἱ δὲ Aa. [d] ἐπιδήλους Aa. [e] οὖν om. Aa. [f] γενέσεως καὶ κυήσεως P.Da. [g] μὲν om. Aa. [h] τὸ—δὲ τὰ σελάχη om. P. [i] ἰχθύων γένος Da. [k] ζωοτοκεῖ δὲ τὰ] τὰ δὲ Aa.Ca. [l] πρῶτον P.Aa.Ca. [m] ἐν αὐτοῖς om. Aa.Ca. [n] ἐν] καὶ ἐν Da. [o] ἰχθύς P. [p] δίχροον Aa, δίχρουν P. [q] μονόχροον Aa, ὁμόχρων Da, ὁμοχρον P. [r] ἐπῇ Aa.Ca. [s] τοῦ τῶν] τῆς τῶν P.Da. [t] ὄστρακον] ὑπόζωμα Aa.Ca. [v] μόνοιν Aa.

Digitized by Google

[w] ἡ ἐκ τοῦ φοῦ τῶν [x] τε ὀρνίθων καὶ τῶν ἰχθύων· ἐπ' [y] ἄκρῳ [z] τε γὰρ τούτου γίνεται, καὶ αἱ φλέβες ὁμοίως τείνουσιν ἐκ τῆς καρδίας πρῶτον, καὶ ἡ κεφαλὴ καὶ τὰ ὄμματα καὶ τὰ ἄνω [a] μέγιστα ὁμοίως τὸ πρῶτον· [b] αὐξανομένου δ' ἀεὶ ἔλαττον γίνεται τὸ ᾠόν, καὶ τέλος ἀφανίζεται καὶ εἰσδύεται [c] ἔσω, καθάπερ [d] ἐν τοῖς ὄρνισιν ὁ νεοττὸς καλούμενος. Προσ- 5
πέφυκε δὲ καὶ [e] ὁ ὀμφαλὸς μικρὸν κατώτερον τοῦ [f] στόμα-
τος τῆς γαστρός. Ἔστι δὲ νέοις μὲν οὖσιν [g] ὁ ὀμφαλὸς
[h] μακρός, αὐξανομένοις δ' ἐλάττων, καὶ τέλος μικρός, [i] ἕως
ἂν εἰσέλθῃ, καθάπερ ἐλέχθη ἐπὶ τῶν ὀρνίθων. Περιέχεται 6
[k] δὲ τὸ ἔμβρυον καὶ τὸ ᾠὸν ὑμένι κοινῷ· ὑπὸ δὲ [l] τοῦτον ἄλ-
λος ἐστὶν ὑμήν, ὃς περιέχει [m] ἰδίᾳ τὸ ἔμβρυον· μεταξὺ δὲ τῶν
ὑμένων ἔνεστιν ὑγρότης. Καὶ ἡ τροφὴ δ' ὁμοία γίνεται τοῖς
[n] ἰχθυδίοις ἐν τῇ κοιλίᾳ ὥσπερ τοῖς τῶν ὀρνίθων νεοττοῖς, ἡ
μὲν λευκὴ ἡ δ' ὠχρά. Τὸ μὲν οὖν [o] σχῆμα τῆς ὑστέρας ὡς 7
ἔχει, ἐκ τῶν ἀνατομῶν θεωρείσθω· διαφορὰ δ' [p] ἐστὶν αὐτοῖς
πρὸς αὐτούς, οἷον τοῖς γαλεώδεσι καὶ πρὸς αὐτοὺς καὶ πρὸς
τὰ πλατέα. [1] Ἐνίοις μὲν γὰρ ἐν τῷ μέσῳ τῆς ὑστέρας περὶ
τὴν ῥάχιν προσπέφυκε τὰ ᾠά, ὥσπερ εἴρηται, οἷον τοῖς [q] σκυ-
λίοις· αὐξανόμενα δὲ [r] περιέρχεται. Οὔσης δὲ δικρόας τῆς 8
ὑστέρας καὶ προσπεφυκυίας πρὸς τῷ ὑποζώματι, ὥσπερ καὶ
τῶν ἄλλων τῶν τοιούτων, [r] περιέρχεται εἰς ἑκάτερον τὸ μέρος.
Ἔχει δ' ἡ ὑστέρα καὶ [s] αὕτη καὶ ἡ [t] τῶν ἄλλων τῶν γαλεοειδῶν
μικρὸν [v] προελθόντι ἀπὸ τοῦ ὑποζώματος οἷον μαστοὺς λευ-
κούς, [w] οἳ κυημάτων [x] μὴ ἐνόντων οὐκ ἐγγίνονται. Τὰ μὲν 9
[y] σκύλια καὶ αἱ βατίδες [z] ἴσχουσι τὰ ὀστρακώδη, [a] ἐν οἷς ἐγγί-

[w] ἡ post αὐτὴ om. P.D[a]. [x] τε om. A[a].C[a]. [y] ἄκρου D[a], ἀκρότερα P. [z] τε om. P. [a] μέγιστα γίγνεται τὸ πρῶτον ὁμοίως A[a].C[a], μέγιστα ὁμοίως πρῶτον P.D[a]. [b] δ' αὐξανομένου ἀεὶ A[a]. [c] εἴσω A[a]. [d] ἐν] καὶ P.A[a].C[a]. [e] ὁ om. A[a]. [f] σώματος A[a].C[a]. [g] ὁ om. C[a]. [h] μικρὸς A[a].C[a]. [i] ἕως ἂν] ἐὰν A[a].C[a]. [k] δὲ καὶ τὸ A[a]. [l] τοῦτο P. [m] ἰδίᾳ] διὰ P. [n] ἰχθύσιν A[a]. [o] χρῶμα P. [p] ἐστὶν ἐν αὐτοῖς P.D[a]. [q] σκυλλίοις A[a], σκύλλοις C[a]. [r] περιέχεται utrobique P.D[a]. [s] αὐτὴ P.D[a]. [t] τῶν γαλεοειδῶν τῶν ἄλλων A[a]. [v] προσελθόντι P. [w] οἱ] οἷον A[a]. [x] μὴ ὄντων C[a], μὲν ὄντων A[a]. [y] σκύλλια καὶ λιβατίδες A[a].C[a]. [z] ἔχουσι D[a]. [a] ἐν οἷς] ἐνίοις P.

Digitized by Google

νεται [b] ὠώδης ὑγρότης· τὸ δὲ σχῆμα τοῦ ὀστράκου ὅμοιον ταῖς τῶν [c] αὐλῶν γλώτταις, καὶ πόροι τριχώδεις [d] ἐγγίνον-
10 ται τοῖς ὀστράκοις. Τοῖς μὲν οὖν [e] σκυλίοις, οὓς καλοῦσί τινες [f] νεβρίας γαλεούς, ὅταν περιρραγῇ καὶ [g] ἐκπέσῃ τὸ ὄστρακον, γίνονται οἱ νεοττοί· [h] ταῖς δὲ [i] βατίσιν, ὅταν ἐκτέ-
11 κωσι, τοῦ ὀστράκου περιρραγέντος ἐξέρχεται ὁ νεοττός. Ὁ δ' ἀκανθίας γαλεὸς [k] πρὸς τῷ ὑποζώματι [l] ἴσχει τὰ ᾠὰ ἄνωθεν τῶν μαστῶν· ὅταν [m] δὲ καταβῇ τὸ ᾠόν, [n] ἐπὶ τούτῳ ἀπολελυμένῳ γίνεται ὁ νεοττός. Τὸν αὐτὸν δὲ τρόπον συμ-
12 βαίνει ἡ γένεσις καὶ ἐπὶ τῶν ἀλωπέκων. Οἱ δὲ καλούμενοι [o] λεῖοι τῶν γαλεῶν τὰ μὲν ᾠὰ ἴσχουσι μεταξὺ τῶν [p] ὑστερῶν ὁμοίως τοῖς [q] σκυλίοις, περιστάντα [r] δὲ ταῦτα εἰς ἑκατέραν τὴν δικρόαν τῆς ὑστέρας καταβαίνει, καὶ τὰ ζῷα γίνεται τὸν ὀμφαλὸν ἔχοντα πρὸς τῇ ὑστέρᾳ, ὥστε ἀναλισκομένων τῶν ᾠῶν ὁμοίως [s] δοκεῖν [t] ἔχειν τὸ ἔμβρυον τοῖς τετράποσιν.
13 Προσπέφυκε δὲ μακρὸς ὢν ὁ ὀμφαλὸς τῆς μὲν ὑστέρας πρὸς τῷ κάτω μέρει, ὥσπερ ἐκ κοτυληδόνος [v] ἕκαστος ἠρτημένος, τοῦ δ' ἐμβρύου [w] κατὰ τὸ μέσον, ᾗ τὸ ἧπαρ. [x] Ἡ δὲ τροφὴ ἀνατεμνομένου, κἂν [x] μηκέτ' ἔχῃ τὸ ᾠόν, ᾠώδης. [y] Χόριον δὲ καὶ ὑμένες ἴδιοι περὶ ἕκαστον [z] γίνονται τῶν ἐμβρύων, κα-
14 θάπερ ἐπὶ τῶν τετραπόδων. [a] Ἔχει δὲ τὰ ἔμβρυα τὴν κεφαλὴν νέα μὲν ὄντα ἄνω, [a] ἀδρυνόμενα δὲ καὶ [b] τέλεα [c] ὄντα κάτω. [d] Ἐγγίνεται δὲ καὶ [e] ἐν τῇ ἀριστερᾷ ἄρρενα καὶ ἐν τῇ δεξιᾷ θήλεα, καὶ ἐν τῇ αὐτῇ [f] ἅμα θήλεα καὶ ἄρρενα. Καὶ τὰ [g] ἔμβρυα διαιρούμενα, ὁμοίως ὥσπερ ἐπὶ τῶν τετραπόδων,

[b] ὠοειδὴς Da. [c] ἄλλων P.Ca. [d] προσγίνονται Ca, προσεγγίγνονται Aa. [e] σκυλλίοις Aa.Ca. [f] νεβρίας] νευρίους P.Da. [g] ἐμπέσῃ P. [h] τοῖς P.Da. [i] βάτοισιν P. [k] πρὸς] ἐν P. [l] ἔχει Aa.Ca. [m] δὴ P. [n] ἀπολελυμένων ἐπὶ τούτῳ Da, ἐπὶ τούτου ἀπολυομένων P. [o] λεοὶ Ca. [p] ἐντέρων P. [q] σκυλλίοις περιόντα Aa.Ca. [r] δὲ τὰ τοιαῦτα P.Da. [s] δοκεῖ Aa, om. Da. [t] ἔχειν τὸ] ἐν ἔχειν Aa.Ca. [v] ἕκαστος ἐνηρτημένος Aa, ἠρτημένος ἕκαστος Da, [w] κατὰ τὸ μέσον ᾗ] ἡ P. [x] μὴ ἔχῃ τὸ ᾠόν, ᾠοειδὴς P.Da. [y] χόριον—sect. 15. ἔμβρυα ἤδη] hæc post c. 13. sect. 9. πάλιν ponit Fa. [z] γίγνεται Aa. [a] ἀνδρυνόμενα Da. [b] τέλεια P.Da. [c] ὄντα om. P. [d] ἐγγίνονται P.Da. [e] ἐν post δὲ καὶ om. P. [f] ἅμα] ἅμα καὶ Da. [g] ἔμβρυα] ἔγκυα Aa, ἔγγυα Ca.

Digitized by Google

ἔχει τῶν σπλάγχνων ὅσα ἔχει μεγάλα, οἷον τὸ ἦπαρ, [h] καὶ αἱματώδη. Πάντα δὲ τὰ σελαχώδη [i] ἅμα ἔχουσιν ἄνω μὲν 15
[k] πρὸς τῷ ὑποζώματι ᾠά, τὰ μὲν μείζω τὰ δ' ἐλάττω, πολλά, κάτω δ' ἔμβρυα ἤδη· [l] διὸ [m] πολλοὶ κατὰ μῆνα τίκτειν καὶ ὀχεύεσθαι [n] οἴονται τοὺς τοιούτους τῶν ἰχθύων, ὅτι οὐχ ἅμα πάντα προΐενται, ἀλλὰ πολλάκις καὶ πολὺν χρόνον. Τὰ δὲ [o] κάτω [p] ἐν τῇ ὑστέρᾳ [q] ἅμα πέττεται καὶ [r] τελεσιουρ- 16
γεῖται. Οἱ μὲν οὖν ἄλλοι γαλεοὶ καὶ ἐξαφιᾶσι καὶ δέχονται εἰς ἑαυτοὺς τοὺς νεοττούς, καὶ αἱ ῥῖναι καὶ αἱ νάρκαι (ἤδη δ' [s] ὤφθη νάρκη μεγάλη περὶ ὀγδοήκοντα ἔχουσα ἐν [t] ἑαυτῇ ἔμβρυα), ὁ δ' ἀκανθίας [v] οὐκ εἰσδέχεται μόνος τῶν γαλεῶν διὰ τὴν ἄκανθαν. Τῶν δὲ πλατέων τρυγὼν καὶ βάτος οὐ δέχον- 17
ται διὰ τὴν τραχύτητα τῆς κέρκου. Οὐκ εἰσδέχεται δ' οὐδὲ βάτραχος τοὺς νεοττοὺς διὰ τὸ μέγεθος τῆς κεφαλῆς καὶ τὰς ἀκάνθας· οὐδὲ γὰρ ζωοτοκεῖ μόνος τούτων, ὥσπερ εἴρηται πρότερον. Αἱ μὲν οὖν πρὸς ἄλληλα διαφοραὶ τοῦτον ἔχουσι τὸν τρόπον αὐτῶν, καὶ ἡ γένεσις [w] ἡ ἐκ τῶν ᾠῶν· οἱ δὲ ἄρ- 11
ρενες περὶ τὸν [x] χρόνον τῆς ὀχείας τοὺς πόρους ἔχουσι [y] θοροῦ πλήρεις οὕτως ὥστε θλιβομένων [z] ἔξω ῥεῖν τὸ σπέρμα λευκόν. Εἰσὶ δ' [a] οἱ πόροι δίκροοι, [b] ἀπὸ τοῦ ὑποζώματος [c] καὶ τῆς μεγάλης φλεβὸς ἔχοντες τὴν ἀρχήν. Περὶ μὲν οὖν 2
τὸν χρόνον τοῦτον [d] ἤδη διάδηλοι [e] πρὸς τὴν τῶν θηλειῶν ὑστέραν εἰσὶν οἱ πόροι τῶν ἀρρένων, ὅταν δὲ μὴ αὐτὴ ἡ [f] ὥρα, ἧττον [g] διάδηλοι τῷ μὴ συνήθει· [h] πάμπαν γὰρ [i] ἐν ἐνίοις καὶ ἐνίοτε ἄδηλοι γίνονται, ὥσπερ ἐλέχθη περὶ τῶν ὄρχεων ἐν τοῖς ὄρνισιν. Ἔχουσι δὲ διαφορὰς καὶ ἄλλας μὲν πρὸς 3

[h] καὶ τὰ αἱματώδη $A^a.C^a$, καὶ αἱματώδης P. [i] αἷμα P. et corr. A^a. [k] περὶ τὸ ὑπόζωμα—δὲ τὰ ἔμβρυα ἤδη in margine $A^a.G^a$. [l] διὸ—c. 13. sect. 9. πάλιν post librum decimum ponit G^a, om. A^a. [m] πολλὰ $P.D^a$. [n] οἰόντε $P.D^a$. [o] κάτωθεν $P.D^a$. [p] ἐν om. P. [q] ἅμα πέττεσθαι D^a, ἀναπέττεσθαι P. [r] τελεσιουργεῖσθαι D^a. [s] ὦπται P. [t] αὐτῇ $P.D^a$. [v] μόνος οὐκ εἰσδέχεται $P.D^a$. [w] ἡ ante ἐκ om. C^a. [x] χρόνον τοῦτον τῆς $P.D^a$. [y] πλήρεις θοροῦ P, πλήρεις θόρου D^a. [z] ῥεῖν ἔξω $P.D^a$. [a] οἱ om. C^a. [b] ἀπὸ] καὶ ἀπὸ C^a. [c] καὶ om. $P.D^a$. [d] ἤδη om. C^a. [e] πρὸς—ἧττον διάδηλοι om. P. [f] ὥρα κα.. ἧττον P. [g] διαδηλοῖ D^a. [h] πάμπαν—γίνονται om. D^a. [i] ἐν om. P.

Digitized by Google

ἄλληλα οἵ τε θορικοὶ πόροι καὶ οἱ ὑστερικοί, καὶ ὅτι οἱ μὲν προσπεφύκασι τῇ ὀσφύϊ, οἱ δὲ τῶν θηλειῶν [k] πόροι εὐκίνητοί εἰσι καὶ λεπτῷ ὑμένι προσειλημμένοι. Θεωρείσθωσαν δὲ καὶ οἱ τῶν ἀρρένων πόροι, ὡς ἔχουσιν, ἐκ τῶν [l] ἐν ταῖς ἀνατομαῖς
4 διαγεγραμμένων. [1] Ἐπικυΐσκεται δὲ τὰ σελάχη, καὶ κύει τοὺς πλείστους μῆνας ἕξ. Πλειστάκις δ' [m] ἀποτίκτει [n] ὁ καλούμενος τῶν γαλεῶν [o] ἀστερίας· ἀποτίκτει γὰρ δὶς τοῦ μηνός.
[1] Ἄρχονται δ' ὀχεύεσθαι μηνὸς Μαιμακτηριῶνος. Οἱ δ' ἄλλοι γαλεοὶ δὶς τίκτουσι, πλὴν τοῦ [p] σκυλίου· οὗτος δ' ἅπαξ τοῦ
5 ἐνιαυτοῦ. Τίκτουσι δὲ [q] τὰ μὲν τοῦ ἔαρος αὐτῶν, ῥίνη δὲ καὶ τοῦ μετοπώρου πρὸς δύσιν Πλειάδος [r] χειμερινὴν [s] τὸ ὕστερον, τὸ δὲ πρῶτον τοῦ ἔαρος· [t] εὐθηνεῖ δ' αὐτῆς μάλιστα μὲν ὁ γόνος [v] ὁ ὕστερος· αἱ δὲ νάρκαι περὶ τὸ φθινόπωρον.
6 [1] Ἐκτίκτει δὲ τὰ σελάχη πρὸς τὴν γῆν [w] ἐκ τοῦ πελάγους καὶ τῶν βαθέων [x] ἐπανιόντα διά [y] τε τὴν ἀλέαν καὶ διὰ τὸ φο-
7 βεῖσθαι περὶ τῶν τέκνων. Τῶν μὲν οὖν ἄλλων ἰχθύων παρὰ τὰς συγγενείας οὐθὲν ὤπται συνδυαζόμενον, ῥίνη δὲ [z] δοκεῖ μόνη τοῦτο ποιεῖν καὶ βάτος· ἔστι γάρ τις ἰχθὺς ὃς καλεῖται ῥινόβατος· ἔχει γὰρ τὴν μὲν κεφαλὴν καὶ τὰ ἔμπροσθεν βάτου, τὰ δ' ὄπισθεν ῥίνης, ὡς γινόμενος ἐξ ἀμφοτέρων [a] τού-
8 των. Οἱ μὲν οὖν γαλεοὶ καὶ [b] οἱ γαλεοειδεῖς, οἷον ἀλώπηξ καὶ κύων, καὶ οἱ πλατεῖς [c] ἰχθύες, [d] νάρκη καὶ βάτος καὶ [e] λειόβατος καὶ τρυγών, τὸν εἰρημένον τρόπον ζῳοτοκοῦσιν
12 ᾠοτοκήσαντες, δελφὶς δὲ καὶ φάλαινα καὶ τὰ ἄλλα κήτη, ὅσα μὴ ἔχει βράγχια ἀλλὰ [f] φυσητῆρα, ζῳοτοκοῦσιν, ἔτι δὲ [g] πρίστις καὶ [h] βοῦς· οὐδὲν γὰρ τούτων φαίνεται ἔχον ᾠά, ἀλλ' εὐθέως κύημα, ἐξ οὗ διαρθρουμένου γίνεται τὸ ζῷον, κα-

k εὐκίνητοι πόροι Ca. l ἐν ταῖς ἀν.] ἀνατομῶν P.Da. m ἀποτίκτει om. P. n οἱ καλούμενοι P. o ἀστερίας ἀπο om. P. p σκυλλίου Ca. q τὰ μὲν] πάντες P, πάντα Da. r χειμερινῆς Ca, om. P. s τὸ ὕστερον τὸ δὲ πρῶτον] τὰ δὲ περὶ τὸν P. t ἀσθενεῖ Ca. v ὁ ὕστερος] ὕστερον P.Da. w ἐκ δὲ τοῦ P. x ἐπανιόντα om. in lacuna P. y τε om. Ca. z μόνη δοκεῖ P.Da. a τούτων τῶν ἰχθύων. οἱ P.Da. b οἱ γαλεοειδεῖς] ὁ P. c ἰχθῦς P. d νάρκοι καὶ βάτοι P.Da. e ῥινόβατος Da. f φυσητῆρας Ca. g πρίστης P.Da. h ἔβους P.

Digitized by Google

θάπερ ἄνθρωπος καὶ τῶν τετραπόδων τὰ ζῳοτόκα. Τίκτει 2
δ' ὁ [i]μὲν δελφὶς τὰ [k]μὲν [l]πολλὰ ἕν, ἐνίοτε δὲ καὶ δύο· ἡ δὲ
[m]φάλαινα ἢ δύο τὰ πλεῖστα [n]καὶ πλεονάκις, ἢ ἕν. [o]Ὁμοίως
δὲ [o]τῷ δελφῖνι καὶ ἡ [p]φώκαινα· καὶ γάρ ἐστιν ὅμοιον δελ-
φῖνι μικρῷ, γίνεται δ' ἐν τῷ Πόντῳ. Διαφέρει δὲ [q]φώκαινα 3
δελφῖνος· ἔστι γὰρ τὸ μέγεθος ἔλαττον, εὐρύτερον δ' ἐκ τοῦ
νώτου· τὸ χρῶμα [r]ἔχει κυανοῦν. [s]Πολλοὶ δὲ [t]δελφίνων τι
γένος εἶναί φασι τὴν φώκαιναν. [v]Ἀναπνεῖ δὲ πάντα ὅσα
ἔχει φυσητῆρα, [w]καὶ δέχεται τὸν ἀέρα· [x]πλεύμονα γὰρ
ἔχουσιν. Καὶ ὅ γε δελφὶς ὧπται, ὅταν καθεύδῃ, ὑπερέχων 4
τὸ ῥύγχος, καὶ ῥέγχει [y]καθεύδων. [z]Ἔχει δ' ὁ [z]δελφὶς καὶ ἡ
φώκαινα γάλα, καὶ θηλάζονται· καὶ εἰσδέχονται [a]δὲ τὰ
τέκνα [b]μικρὰ ὄντα. Τὴν δ' αὔξησιν τὰ τέκνα τῶν δελφίνων
[c]ποιοῦνται ταχεῖαν· ἐν ἔτεσι γὰρ δέκα μέγεθος [d]λαμβάνουσι
[e]τέλεον. Κύει δὲ δέκα μῆνας. Τίκτει δ' ὁ δελφὶς ἐν τῷ 5
θέρει, ἐν ἄλλῃ δ' ὥρᾳ οὐδεμιᾷ· συμβαίνει δὲ καὶ ἀφανίζεσθαι
αὐτὸν ὑπὸ κύνα περὶ τριάκονθ' ἡμέρας. Παρακολουθεῖ δὲ τὰ
τέκνα πολὺν χρόνον, καὶ ἔστι τὸ ζῷον φιλότεκνον. Ζῇ δ' ἔτη 6
πολλά· δῆλοι γὰρ ἔνιοι γεγόνασι βιοῦντες οἱ [f]μὲν πέντε
καὶ εἴκοσιν ἔτη, οἱ δὲ τριάκοντα· ἀποκόπτοντες γὰρ ἐνίων τὸ
οὐραῖον οἱ ἁλιεῖς ἀφιᾶσιν, ὥστε τούτῳ [g]γνωρίζεσθαι τοὺς
χρόνους αὐτῶν. [h]Ἡ δὲ φώκη ἔστι [h]μὲν τῶν ἐπαμφοτεριζόντων 7
ζῴων· οὐ δέχεται μὲν γὰρ τὸ ὕδωρ, ἀλλ' ἀναπνεῖ καὶ καθεύδει
καὶ τίκτει ἐν τῇ γῇ μέν, [i]πρὸς αἰγιαλοῖς δέ, ὡς οὖσα τῶν πε-
ζῶν, διατρίβει [k]δὲ τοῦ χρόνου [l]τὸν πολὺν καὶ τρέφεται ἐκ τῆς
[m]θαλάττης, διὸ μετὰ τῶν ἐνύδρων περὶ αὐτῆς λεκτέον. [n]Ζῳ- 8

[i] μὲν om. C[a]. [k] μὲν om. D[a]. [l] πλεῖστα ἕν, ἐνίοτε καὶ C[a]. [m] φάλαινα δύο τὰ πλεῖστα μέντοι ἕν A[a].C[a]. [n] καὶ om. D[a]. [o] τῷ δελφῖνι ante καὶ γὰρ C[a]. [p] φώκη P. [q] φώκη P, τοῦ C[a]. [r] ἔχει om. D[a]. [s] πολλοὶ—εἶναι] οἱ δελφῖνοι P. [t] δελφῖνος C[a]. [v] ἀναπνεῖ δὲ] ἀνὰ P. [w] καὶ om. P. [x] πνεύμονα C[a].D[a]. [y] καθεῦδον P. [z] δελφὶν D[a], δελφῖνος C[a]. [a] δὲ om. C[a].D[a]. [b] μικρὰ δὲ ὄντα τὴν αὔξησιν C[a]. [c] ποιεῖται C[a]. [d] λαμβάνει C[a]. [e] τέλειον P.D[a]. [f] μὲν] μὲν πλείω ἔτη ἡ C[a]. [g] γνωρίζουσι P.C[a]. [h] μὲν om. C[a]. [i] πρὸς τοῖς αἰγιαλοῖς P.D[a]. [k] δὲ om. A[a].C[a]. [l] τὸ πολὺ P.D[a]. [m] θαλάσσης P.D[a]. [n] ὠοτοκεῖ P.

Digitized by Google

οτοκεῖ μὲν οὖν εὐθὺς ἐν αὐτῇ, καὶ τίκτει ζῷα, καὶ [o] χόριον καὶ [p] τἆλλα προΐεται ὥσπερ πρόβατον. Τίκτει δ' ἓν ἢ δύο, τὰ [q] δὲ πλεῖστα τρία. Καὶ μαστοὺς [r] δ' ἔχει δύο, καὶ θηλάζεται ὑπὸ τῶν τέκνων καθάπερ τὰ τετράποδα. Τίκτει δ' [s] ὥσπερ ἄνθρωπος πᾶσαν ὥραν τοῦ ἔτους, μάλιστα δ' ἅμα
9 ταῖς πρώταις [t] αἰξίν. Ἄγει δὲ περὶ δωδεκαταῖα ὄντα τὰ τέκνα εἰς τὴν θάλατταν πολλάκις τῆς ἡμέρας, συνεθίζουσα κατὰ μικρόν· τὰ δὲ κατάντη φέρεται, ἀλλ' οὐ βαδίζει, διὰ τὸ μὴ δύνασθαι ἀπερείδεσθαι τοῖς ποσίν. Συνάγει δὲ καὶ συστέλλει [v] ἑαυτήν· σαρκῶδες γάρ ἐστι καὶ μαλακόν, καὶ
10 ὀστᾶ χονδρώδη ἔχει. Ἀποκτεῖναι δὲ φώκην χαλεπὸν βιαίως, [w] ἐὰν μή τις πατάξῃ [x] παρὰ τὸν κρόταφον· τὸ γὰρ σῶμα σαρκῶδες [y] αὐτῆς. Ἀφίησι δὲ [z] φωνὴν ὁμοίαν βοΐ. Ἔχει δὲ καὶ τὸ αἰδοῖον ἡ θήλεια ὅμοιον βατίδι, [a] πάντα δὲ τἆλλα γυναικί.

Περὶ μὲν [b] οὖν τῶν ἐνύδρων καὶ [c] ζῳοτοκούντων ἢ ἐν αὐτοῖς ἢ ἔξω ἡ γένεσις καὶ τὰ περὶ τὸν τόκον τοῦτον ἔχει τὸν τρό-
13 πον· οἱ δ' ᾠοκοκοῦντες τῶν ἰχθύων τὴν μὲν ὑστέραν δικρόαν ἔχουσι καὶ κάτω, καθάπερ ἐλέχθη πρότερον (ᾠοτοκοῦσι δὲ πάντες οἵ τε λεπιδωτοί, οἷον [d] λάβραξ κεστρεὺς κέφαλος [e] ἐτελίς, καὶ οἱ [f] λευκοὶ καλούμενοι πάντες, καὶ οἱ λεῖοι πλὴν
2 [g] ἐγχέλυος), ᾠὸν [h] δ' [i] ἴσχουσι ψαθυρόν. Τοῦτο δὲ φαίνεται διὰ τὸ τὴν ὑστέραν εἶναι πλήρη πᾶσαν ᾠῶν, ὥστ' ἔν γε τοῖς μικροῖς τῶν [k] ἰχθύων δοκεῖν ᾠὰ μόνον εἶναι δύο· διὰ τὴν μικρότητα γὰρ καὶ τὴν λεπτότητα ἄδηλος ἐν αὐτοῖς ἡ ὑστέρα. Περὶ μὲν οὖν τῆς ὀχείας πάντων τῶν ἰχθύων εἴρηται πρότε-
3 ρον. Εἰσὶ δὲ τῶν ἰχθύων οἱ μὲν πλεῖστοι ἄρρενες καὶ

[o] χωρίον Da. [p] τὰ ἄλλα P, γάλα Da. [q] δὲ πλεῖστα] πλεῖστα ἢ P. [r] δ' ἔχει δύο] ἔχει διὸ Ca. [s] ὥσπερ ὁ ἄνθρωπος Ca. [t] αἰξίν] ἐξείσι πρὸς τῇ πόᾳ Ca. [v] αὐτήν Ca. [w] ἂν μὴ πατάξῃ τις P, τις ἂν μὴ πατάξῃ Da. [x] περὶ Da. [y] αὐτῆς ἐστίν. ἀφίησι Ca. [z] ὁμοίαν φωνὴν βοΐ P, ὁμοίαν βοῒ φωνήν Da. [a] ἅπαντα δὲ τὰ τοιαῦτα ὅμοια γυναικί P.Da. [b] οὖν om. P. [c] ζωοτοκούντων δὲ ἐν ἑαυτοῖς ἡ ἔξω γένεσις Ca. [d] λάβρακες P. [e] ἔτελις Da, εὐτελεῖς Ca. [f] καλούμενοι λευκοὶ Ca. [g] ἐγχέλεως Da. [h] δ'] γὰρ P, om. Ca. [i] τίκτουσι ψαθυρόν Ca, ἴσχουσι τὸ ψαθυρόν P.Da. [k] ἰχθυδίων δοκεῖ Ca.

Digitized by Google

θήλεις, περὶ δ' ἐρυθρίνου καὶ [l] χάννης ἀπορεῖται· πάντες γὰρ ἁλίσκονται κυήματα ἔχοντες. Συνίσταται μὲν οὖν καὶ [m] ὀχευομένων ᾠὰ τοῖς συνδυαζομένοις τῶν ἰχθύων, ἴσχουσι δὲ καὶ ἄνευ ὀχείας. Δηλοῦσι δ' ἔνιοι τῶν ποταμίων· εὐθὺς γὰρ [n] γεννώμενοι ὡς εἰπεῖν καὶ μικροὶ ὄντες οἱ [o] φοξῖνοι κυήματ' ἔχουσιν. [4] Ἀπορραίνουσι δὲ τὰ ᾠά, καὶ καθάπερ λέγεται, τὰ μὲν πολλὰ [p] ᾠὰ οἱ ἄρρενες [q] ἀνακάπτουσι, τὰ δ' ἀπόλλυται ἐν τῷ ὑγρῷ· ὅσα δ' ἂν ἐκτέκωσιν εἰς τοὺς τόπους [r] εἰς οὓς ἐκτίκτουσι, ταῦτα σώζεται· εἰ γὰρ πάντα ἐσώζετο, παμπληθὲς [s] ἂν τὸ γένος ἦν [t] ἑκάστων. [5] Καὶ τούτων δ' οὐ γίνεται τὰ πολλὰ γόνιμα, ἀλλ' ὅσα ἂν [v] ἐπιρράνῃ ὁ ἄρρην τῷ [w] θορῷ· ὅταν γὰρ ἐκτέκῃ, παρεπόμενος ὁ ἄρρην ἐπιρραίνει ἐπὶ τὰ ᾠὰ [x] τὸν θορόν, καὶ ὅσα [y] μὲν ἂν ἐπιρρανθῇ, ἐκ πάντων γίνεται ἰχθύδια, ἐκ δὲ τῶν [z] ἄλλων ὅπως ἂν τύχῃ. [6] Ταὐτὸ δὲ [a] συμβαίνει τοῦτο καὶ ἐπὶ τῶν μαλακίων· ὁ γὰρ ἄρρην τῶν [b] σηπιῶν, ὅταν ἐκτέκῃ ἡ θήλεια, ἐπιρραίνει τὰ ᾠά. [c] [v] Ὅπερ εὔλογον [d] συμβαίνειν καὶ ἐπὶ τῶν ἄλλων μαλακίων, ἀλλ' ἐπὶ τῶν [b] σηπιῶν ὤφται ἐν τῷ παρόντι μόνον. [7] Ἐκτίκτουσι δὲ πρὸς τῇ γῇ, οἱ μὲν [e] κωβιοὶ πρὸς τοῖς λίθοις, πλὴν πλατὺ καὶ [f] ψαθυρὸν τὸ ἀποτικτόμενόν ἐστιν. [8] Ὁμοίως δὲ καὶ οἱ ἄλλοι· ἀλεεινά τε γάρ ἐστι τὰ περὶ τὴν γῆν, καὶ τροφὴν ἔχει μᾶλλον, καὶ πρὸς τὸ μὴ κατεσθίεσθαι ὑπὸ τῶν μειζόνων τὰ κυήματα. Διὸ καὶ ἐν τῷ Πόντῳ περὶ τὸν [g] Θερμώδοντα ποταμὸν οἱ πλεῖστοι τίκτουσιν· [h] νήνεμος γὰρ ὁ τόπος καὶ ἀλεεινὸς καὶ ἔχων ὕδατα γλυκέα. Τίκτουσι δ' οἱ μὲν ἄλλοι [i] τῶν ᾠοτόκων ἰχθύων ἅπαξ τοῦ ἐνιαυτοῦ, πλὴν τῶν μικρῶν [j] φυκίδων· αὗται δὲ δίς. Διαφέρει δ' ὁ

[l] χάνης Ca. [m] ὠὰ ὀχευομένων Da. [n] γινόμενοι Ca. [o] φοξίνοι Ca, φοξινοὶ P.Da. [p] ὠὰ post πολλὰ om. Ca. [q] ἀνακάμπτουσι P.Ca.Da. [r] εἰς post τόπους om. P.Da. [s] ἂν] ἄν τι Da, om. P. [t] ἑκάστῳ Ca. [v] ἐπιρραίνῃ Ca, περιρράνῃ P.Da. [w] θόρῳ ὅταν γὰρ ἐκτίκτῃ P.Da. [x] τὸν θορὸν] ἐκ τοῦ θοροῦ Ca. [y] μὲν] περ P. [z] ἄλλων] αὐτῶν P. [a] τοῦτο συμβαίνει Da. [b] σηπίων utrobique Ca. [c] ἅπερ Ca. [d] συμβαίνειν post ἄλλων μαλακίων Ca. [e] κηβωτίοις πρὸς λίθοις P. [f] ψαθυρὸν P.Da. [g] θερμόδοντα P.Da. [h] νήν.] ἄνεμος P. [i] τῶν ἰχθύων τῶν ᾠοτόκων Da. [j] φυκιδίων P.Ca.Da.

Digitized by Google

ἄρρην φύκης τῆς θηλείας τῷ [k] μελάντερος εἶναι καὶ μείζους
9 ἔχειν τὰς λεπίδας. Οἱ μὲν οὖν ἄλλοι ἰχθύες ἐν γόνῳ τίκτουσι καὶ τὰ ᾠὰ ἀφιᾶσιν· ἣν δὲ καλοῦσί τινες βελόνην, ὅταν [l] ἤδη ὥρα ᾖ τοῦ τίκτειν, διαρρήγνυται, καὶ οὕτω τὰ ᾠὰ ἐξέρχεται. [u]Ἔχει γάρ [m] τινα ὁ ἰχθὺς οὗτος διάφυσιν ὑπὸ τὴν γαστέρα καὶ τὸ [n] ἧτρον, ὥσπερ [o] οἱ [p] τυφλίναι ὄφεις·
10 ὅταν δ' [q] ἐκτέκῃ, συμφύεται ταῦτα πάλιν. [t]Ἡ δὲ γένεσις ἐκ τοῦ ᾠοῦ [r] ὁμοίως συμβαίνει ἐπί τε τῶν ἔσω ᾠοτοκούντων καὶ ἐπὶ τῶν [s] ἔξω· ἐπ' ἄκρου [t] τε γὰρ γίνεται καὶ ὑμένι περιέχεται, καὶ πρῶτον διάδηλοι οἱ ὀφθαλμοὶ μεγάλοι καὶ σφαι-
11 ροειδεῖς ὄντες. [t]Ηι καὶ δῆλον ὅτι οὐχ ὥσπερ τινές φασιν, ὁμοίως γίνονται τοῖς ἐκ τῶν σκωλήκων γινομένοις· τοὐναντίον [v] γὰρ συμβαίνει ἐπ' ἐκείνων, τὰ [w] κάτω μείζω πρῶτον, οἱ δ'
12 ὀφθαλμοὶ καὶ ἡ κεφαλὴ ὕστερον. [x v]Οταν δ' ἀναλωθῇ τὸ ᾠόν, γίνονται [y] γυρινώδεις, καὶ τὸ μὲν πρῶτον οὐδεμίαν τροφὴν λαμβάνοντα αὐξάνονται ἐκ τῆς ἀπὸ τοῦ ᾠοῦ [z] ἐγγιγνομένης ὑγρότητος, ὕστερον δὲ τρέφονται ἕως ἂν αὐξηθῶσι τοῖς ποταμίοις [a] ὕδασιν. Τοῦ δὲ [b] Πόντου καθαιρομένου ἐπιφέρεταί τι κατὰ τὸν [t]Ελλήσποντον ὃ καλοῦσι φῦκος· ἔστι δ'
13 ὠχρὸν τοῦτο. Οἱ δέ [c] τινές φασι τοῦτο ἄνθος εἶναί [d] τι φυσικὸν τὸ φυκίον. [t]Αρχομένου δὲ γίνεται τοῦ θέρους. Τούτῳ τρέφεται [e] καὶ τὰ ὄστρεα καὶ τὰ ἰχθύδια τὰ ἐν τοῖς τόποις τούτοις. Φασὶ δέ τινες τῶν θαλαττίων καὶ τὴν πορφύραν ἴσχειν ἀπὸ τούτου [f] τὸ ἄνθος.

14 Οἱ δὲ λιμναῖοι καὶ [g] οἱ ποτάμιοι τῶν ἰχθύων [h] κυήματα μὲν ἴσχουσι [i] πεντάμηνοι τὴν ἡλικίαν ὄντες ὡς ἐπὶ τὸ [k] πολύ,

[k] μελαντέρα Da. [l] ἤδη om. Ca. [m] τινα ἔσω ὁ Da. [n] ἧπαρ Ca. [o] al Da. [p] τυφλίαι Ca. [q] ἐκτίκῃ ζῇ καὶ συμφύεται πάλιν ταῦτα (ταυτά P) P.Da. [r] ὁμοίως om. P.Da. [s] ἔξω ζωοτοκούντων. ἐπ' P.Da. [t] τε om. Ca. [v] γὰρ οὐ συμβαίνει Aa. [w] κάτω] κάτω καὶ Ca, κατὰ τῶν Aa. [x] ὅταν om. P. in lacuna. [y] πυρινώδεις P.Da. [z] ἐγγενομένης P. [a] ὑδατίοις Aa.Ca. [b] ποτοῦ P.Da. [c] τινές om. P.Da. [d] τι φυσικὸν τὸ φυκίον] τοῦ φύκου ἀφ' οὗ τὸ φυκίον εἶναι P.Da. et partim corr. Aa. [e] καὶ om. Ca.Da. [f] τοῦ ἄνθους P.Da. [g] οἱ post καὶ om. P.Da. [h] κύημα P. [i] πέντε μῆνας τὴν ἡλικίαν ἔχοντες P.Da. [k] πολὺ εἰπεῖν τίκτουσι P.Da.

Digitized by Google

τίκτουσι δὲ τοῦ ἐνιαυτοῦ [l]περιιόντος ἅπαντες· ὥσπερ [m]δὲ καὶ οἱ θαλάττιοι, καὶ οὗτοι οὐκ ἐξαφιᾶσιν οὐδέποτε ἅμα πᾶν, οὔτε αἱ θήλειαι τὸ ᾠὸν οὔτε οἱ ἄρρενες τὸν θορόν, [n]ἀλλ' ἔχουσιν ἀεὶ πλείω ἢ ἐλάττονα [o]αἱ μὲν ᾠὰ οἱ δὲ θορόν. Τίκτουσι δ' ἐν τῇ καθηκούσῃ ὥρᾳ κυπρῖνος μὲν πεντάκις ἢ 2 ἑξάκις· [p]ποιεῖται δὲ τὸν τόκον μάλιστα ἐπὶ τοῖς ἄστροις· [q]χαλκὶς δὲ τίκτει τρίς, οἱ δ' ἄλλοι ἅπαξ [r]ἐν τῷ ἐνιαυτῷ. [s]Τίκτουσι δὲ πάντες ἐν ταῖς [t]προλιμνάσι τῶν ποταμῶν καὶ τῶν λιμνῶν πρὸς τὰ καλαμώδη, οἷον οἵ τε [v]φοξῖνοι καὶ [w]αἱ [x]πέρκαι. Οἱ δὲ γλάνεις καὶ αἱ πέρκαι συνεχὲς ἀφιᾶσι τὸ 3 κύημα, [y]ὥσπερ οἱ βάτραχοι· οὕτω δὲ συνεχές ἐστι τὸ κύημα περιειλιγμένον, ὥστε [z]τό γε τῆς πέρκης διὰ πλατύτητα ἀναπηνίζονται ἐν ταῖς λίμναις οἱ ἁλιεῖς [a]ἐκ τῶν καλάμων. Οἱ μὲν οὖν μείζους τῶν [b]γλανίων ἐν τοῖς [c]βαθέσι [d]ἐκτί- 4 κτουσιν, [e]ἔνιοι καὶ κατ' ὀργυιᾶς τὸ βάθος, οἱ δ' ἐλάττους αὐτῶν ἐν τοῖς βραχυτέροις, μάλιστα [f]πρὸς ῥίζαις ἰτέας ἢ ἄλλου τινὸς δένδρου, καὶ πρὸς τῷ καλάμῳ δὲ καὶ πρὸς τῷ [g]βρύῳ. Συμπλέκονται δὲ πρὸς ἀλλήλους ἐνίοτε καὶ [h]πάνυ 5 μέγας πρὸς μικρόν· καὶ [i]προσαγαγόντες τοὺς πόρους πρὸς ἀλλήλους, οὓς καλοῦσί τινες ὀμφαλούς, ᾗ τὸν γόνον ἀφιᾶσιν, [k]ὁ μὲν τὸ ᾠὸν [l]ὁ δὲ τὸν θορὸν [m]ἐξίησιν. [v]Οσα δ' ἂν τῷ θορῷ μιχθῇ τῶν ᾠῶν, εὐθύς τε λευκότερα φαίνεται καὶ μείζω ἐν ἡμέρᾳ ὡς εἰπεῖν. [v]Ὑστερον [n]δ' ἐν ὀλίγῳ χρόνῳ δῆλά 6 ἐστι τὰ ὄμματα [o]τοῦ ἰχθύος· τοῦτο γὰρ ἐν πᾶσι τοῖς ἰχθύσιν, ὥσπερ καὶ ἐν τοῖς ἄλλοις ζῴοις, ἐπιδηλότατόν ἐστιν εὐθὺς καὶ φαίνεται μέγιστον. [v]Οσων δ' ἂν [p]ᾠῶν ὁ θορὸς

[l] περιόντος $A^a.C^a$. [m] δὲ om. P. [n] ἀλλ'—δὲ θορόν om. $A^a.C^a$. [o] οἱ P. [p] ποιοῦνται C^a. [q] χάλκης P. [r] ἐν om. $P.D^a$. [s] τίκτουσι πάντες δ' C^a, πάντες δὲ τίκτουσι D^a. [t] προλιμνᾶσι C^a, πρὸς λιμνάσι $P.D^a$. [v] φορξῖνοι P. [w] αἱ om. $P.A^a.C^a$. [x] πέρσαι A^a. [y] ὥσπερ—κύημα om. $P.A^a$. [z] τότε C^a, $P.D^a$. [a] ἐκ om. $A^a.C^a$. [b] γλανιῶν A^a, γλανέων $P.C^a.D^a$. [c] βάθεσιν $A^a.C^a$. [d] ἐντίκτουσιν C^a. [e] ἔνιοι δὲ καὶ $A^a.C^a$. [f] πρὸς ταῖς ῥίζαις D^a. [g] βρίῳ A^a. [h] πάνυ om. $P.D^a$. [i] προσάγοντες $A^a.C^a$. [k] οἱ $P.D^a$. [l] οἱ $P.C^a.D^a$. [m] ἐξιᾶσιν $P.D^a$. [n] δὲ ὀλίγον χρόνον $P.D^a$. [o] τῶν ἰχθύων $P.D^a$. [p] ᾠῶν om. P.

Digitized by Google

μὴ θίγῃ, καθάπερ καὶ [q] ἐπὶ τῶν θαλαττίων, ἀχρεῖον [r] τὸ
7 ᾠὸν τοῦτο καὶ ἄγονόν ἐστιν. [t]Ἀπὸ δὲ τῶν γονίμων ᾠῶν
αὐξανομένων τῶν [s] ἰχθυδίων ἀποκαθαίρεται οἷον κέλυφος·
τοῦτο δ' ἐστὶν ὑμὴν [t] ὁ περιέχων τὸ ᾠὸν καὶ τὸ ἰχθύδιον.
8 [v]Ὅταν δὲ μιγῇ τῷ ᾠῷ ὁ θορός, σφόδρα γίνεται [v] κολλῶδες
τὸ συνεστηκὸς ἐξ αὐτῶν πρὸς ταῖς ῥίζαις [w] ἢ ὅπου ἂν ἐκτέ-
κωσιν. [x]Οὗ δ' ἂν πλεῖστον τέκωσιν, ᾠοφυλακεῖ ὁ ἄρρην,
9 ἡ δὲ θήλεια ἀπέρχεται τεκοῦσα. [u]Ἔστι δὲ βραδυτάτη μὲν
ἐκ τῶν ᾠῶν [y] ἡ [z] τῶν γλανίων αὔξησις, διὸ προσεδρεύει ὁ
ἄρρην καὶ [a] τετταράκοντα καὶ πεντήκοντα ἡμέρας, ὅπως μὴ
κατεσθίηται ὁ γόνος ὑπὸ τῶν παρατυχόντων [b] ἰχθυδίων·
δευτέρα δὲ [c] βραδυτῆτι [d] ἡ τοῦ κυπρίνου γένεσις, [e] ὅμως δὲ
10 ταχέως καὶ τούτων ὁ [f] σωζόμενος διαφεύγει γόνος. Τῶν δ'
ἐλαττόνων ἐνίων καὶ τριταίων [g] ὄντων ἤδη ἰχθύδιά ἐστιν.
Λαμβάνει δ' αὔξησιν τὰ ᾠά, ὧν ἂν ἐπιψαύσῃ ὁ θορός, καὶ
αὐθημερὸν καὶ [h] ὕστερον ἔτι. [i]Τὸ μὲν [k] οὖν τοῦ [l] γλάνιος
[m] γίνεται ὅσον ὄροβος, τὰ δὲ τῶν κυπρίνων καὶ τῶν τοιούτων
11 [n] ὅσον κέγχρος. Ταῦτα μὲν οὖν τοῦτον τὸν τρόπον τίκτει
καὶ γεννᾷ, [o] χαλκὶς δὲ τίκτει ἐν τοῖς [p] βαθέσιν ἀθρόα καὶ
[q] ἀγελαῖα, ὃν δὲ καλοῦσι [r] τίλωνα, πρὸς τοῖς αἰγιαλοῖς ἐν
12 [s] ὑπηνέμοις· ἀγελαῖος δὲ καὶ οὗτος. Κυπρῖνος δὲ καὶ [t] βά-
λερος καὶ οἱ ἄλλοι πάντες ὡς εἰπεῖν [v] ὠθοῦνται μὲν [w] εἰς τὰ
βραχέα πρὸς τὸν τόκον, μιᾷ δὲ θηλείᾳ πολλάκις ἀκολου-
θοῦσιν ἄρρενες καὶ τρισκαίδεκα καὶ τεσσαρεσκαίδεκα· τῆς θη-
λείας δ' [x] ἀφιείσης τὸ ᾠὸν καὶ ὑποχωρούσης ἐπακολουθοῦντες
13 ἐπιρραίνουσι τὸν θορόν. [t]Ἀπόλλυται δὲ τὰ πλεῖστ' αὐτῶν·

[q] ἐπὶ om. A[a].C[a]. [r] τὸ ᾠὸν om. A[a].C[a]. [s] ἰχθύων P.D[a]. [t] ὁ om. A[a].C[a]. [v] κοιλιῶδες A[a], σφοδρῶδες P. [w] ἢ om. A[a].C[a]. [x] οὗ—τέκωσιν om. P. ἐκτέκωσιν D[a]. [y] ἡ] ἢ ἐκ P. [z] τοῦ γλανίος A[a], τῶν γλανέων D[a]. [a] τεσσαράκοντα P. [b] ἰχθύων P.D[a]. [c] βραχύτητι C[a], βραδυτάτη A[a]. [d] ἡ om. P. [e] ὁμοίως A[a].C[a]. [f] ὀζόμενος P. [g] ὄντων ἤδη] ἐν τῷ εἴδει A[a].C[a]. [h] ἔτι ὕστερον P.D[a]. [i] τὰ A[a], ὁ P.D[a]. [k] οὖν om. P. [l] γλάνεως C[a]. [m] γίνεται ὅσον] ὃς γίνεται P. [n] ὅσα P. [o] χάλκις P. [p] βάθεσιν A[a].C[a]. [q] ἀγελαῖος P, ἀγελαίως A[a].C[a]. [r] τύλωνα A[a].C[a], ψίλωνα P, ψύλωνα D[a]. [s] ὑπηνεμίοις A[a].C[a].D[a]. [t] βαλίνος P.D[a]. [v] ὀχοῦνται P. [w] εἰς] πρὸς P.D[a]. [x] ἀφιούσης A[a].

Digitized by Google

διά τε γὰρ τὸ ὑποχωροῦσαν τίκτειν τὴν θήλειαν σκεδάννυται τὸ ᾠόν, [y] ὅ τι ἂν ὑπὸ ῥεύματος ληφθῇ καὶ μὴ προσπέσῃ πρὸς [z] ὕλην· καὶ γὰρ [a] οὐδ' ᾠοφυλακεῖ τῶν ἄλλων ἔξω [b] γλάνιος οὐθείς, πλὴν [c] ἐὰν ἀθρόῳ γόνῳ ἑαυτοῦ περιτύχῃ [d] ὁ κυπρῖνος· τοῦτον δέ φασιν ᾠοφυλακεῖν. Θορὸν δὲ [e] πάντες ἔχουσιν [f] οἱ 14
ἄρρενες πλὴν [g] ἐγχέλυος· αὕτη δ' [h] οὐδέτερον [i] οὔτ' ᾠὸν οὔτε θορόν. Οἱ μὲν οὖν κεστρεῖς ἐκ τῆς θαλάττης ἀναβαίνουσιν εἰς [k] τε τὰς λίμνας καὶ τοὺς ποταμούς, [l] αἱ δ' ἐγχέλυς τοὐναντίον ἐκ τούτων εἰς τὴν [m] θάλατταν.

Οἱ μὲν οὖν πλεῖστοι, [n] ὥσπερ εἴρηται, τῶν ἰχθύων γίνον- 15
ται ἐξ ᾠῶν. Οὐ μὴν ἀλλ' ἔνιοι καὶ ἐκ τῆς ἰλύος καὶ ἐκ τῆς ἄμμου γίνονται, καὶ τῶν τοιούτων γενῶν ἃ [o] γίνεται [p] ἐκ συνδυασμοῦ [q] καὶ ᾠῶν, ἐν τέλμασιν ἄλλοις τε, καὶ [r] οἷον περὶ Κνίδον φασὶν εἶναί ποτε, [s] ὃ [t] ἐξηραίνετο μὲν ὑπὸ [v] κύνα καὶ [w] ἡ ἰλὺς ἅπασα [x] ἐξηρεῖτο, ὕδωρ δ' ἤρχετο ἐγγίνεσθαι ἅμα τοῖς πρώτοις γιγνομένοις. [1]Ἐν [y] τούτῳ ἰχθύδια ἐνεγίνετο 2
[z] ἀρχομένου τοῦ ὕδατος. [1]Ἦν δὲ κεστρέων τι γένος τοῦτο, [a] ὃ οὐδὲ γίνεται ἐξ ὀχείας, μέγεθος [b] ἡλίκα μαινίδια μικρά· ᾠὸν δὲ τούτων [c] εἶχεν οὐδὲν [d] οὐδὲ θορόν. Γίνεται δὲ καὶ ἐν ποταμοῖς ἐν τῇ [1]Ἀσίᾳ, [e] οὐ διαρρέουσιν [f] εἰς τὴν θάλατταν, ἰχθύδια μικρά, [g] ἡλίκοι [h] ἐψητοί, ἕτερα τὸν αὐτὸν τρόπον τούτοις. [1]Ἔνιοι δὲ καὶ ὅλως φασὶ τοὺς κεστρεῖς φύεσθαι πάντας, οὐκ 3
ὀρθῶς λέγοντες· ἔχουσαι γὰρ φαίνονται καὶ ᾠὰ αἱ θήλειαι αὐτῶν καὶ [i] θορὸν οἱ ἄρρενες. [1]Ἀλλὰ γένος τί [k] ἐστιν αὐτῶν

y ὅ τι ἂν] ὅταν P.D[a]. z ὕλην C[a]. a οὐδὲν P.D[a]. b γλανίος A[a], γλανίως C[a], γλάνιδος P. c ἐὰν ἀθρόῳ] ἐν ἄρθρου P. d ὁ om. P. e ἔχουσι πάντες D[a]. f οἱ om. P. g ἐγχέλεως D[a]. h οὐδέτερον om. P.D[a]. i οὔτε θορὸν οὔτε ᾠὸν P.D[a]. k τε om. P.C[a].D[a]. l οἱ δ' ἐγχέλεις P, αἱ δ' ἐγχέλυες A[a]. m θάλασσαν P. n τῶν ἰχθύων ὥσπερ εἴρηται D[a]. o γίνονται D[a]. p ἐκ] καὶ P. q καὶ ante ᾠῶν om. P. r οἷοις P.D[a]. s ἃ D[a], δὲ P, om. A[a]. t ξηραίνεται P. v κύμμα C[a]. w ἡ om. A[a].C[a]. x ἐξήρει τὸ ὕδωρ ἤρχετο δ' A[a].C[a]. y τούτῳ δὲ ἰχθ. P.D[a]. z ἀρχομένοις A[a]. a ὃ οὐ γίνεται A[a], ὃ γίνεται μὲν P, οὐ γίνεται μὲν D[a]. b ἡλίκα μαινίδια] ἡλικία P. c οὐθὲν ἔχει A[a].C[a]. d οὐ θορὸν A[a], οὐδὲ τὸν θορόν τι P. e οὐ] ὅπου P.D[a]. f εἰς θάλασσαν P.D[a]. g ἡλίκα D[a]. h ἐψητὸν C[a], ἐψητοῦ P.D[a]. i θόρου D[a]. k ἐστιν om. P.

Digitized by Google

τοιοῦτον, ὃ [l] φύεται ἐκ τῆς ἰλύος καὶ τῆς ἄμμου. [v]Ὅτι [m] μὲν οὖν γίνεται αὐτόματα [n] ἔνια οὔτ' ἐκ ζῴων οὔτ' ἐξ ὀχείας, φα-
4 νερὸν ἐκ τούτων. [v]Ὅσα δὲ μήτ' ᾠοτοκεῖ μήτε ζῳοτοκεῖ, [o] πάντα γίνεται τὰ μὲν ἐκ τῆς ἰλύος τὰ δ' ἐκ τῆς ἄμμου καὶ τῆς ἐπιπολαζούσης σήψεως, οἷον καὶ τῆς ἀφύης ὁ καλούμενος ἀφρὸς γίνεται ἐκ τῆς ἀμμώδους γῆς· καὶ ἔστιν αὕτη ἡ ἀφύη [p] ἀναυξὴς καὶ [q] ἄγονος, καὶ ὅταν [r] πλείων γένηται χρόνος, ἀπόλλυται, [s] ἄλλη δὲ πάλιν ἐπιγίνεται, διὸ ἔξω χρόνου τινὸς ὀλίγου πᾶσαν ὡς εἰπεῖν τὴν ἄλλην [t] γίνεται ὥραν· διαμένει γὰρ [v] ἀρξαμένη ἀπὸ [w] ἀρκτούρου μετοπωρινοῦ μέχρι τοῦ ἔα-
5 ρος. Σημεῖον δ' ὅτι [x] ἐνίοτ' ἐκ τῆς γῆς ἀνέρχεται· ἁλιευομένων γάρ, ἐὰν [y] μὲν ᾖ ψῦχος, οὐχ ἁλίσκεται, ἐὰν δ' [z] ᾖ εὐδία, ἁλίσκεται, ὡς ἐκ τῆς γῆς ἀνιοῦσα πρὸς τὴν ἀλέαν. Καὶ [a] ἐλκόντων καὶ ἀναξυομένης τῆς γῆς [b] πλεονάκις πλείων γί-
νεται καὶ βελτίων. Αἱ δ' ἄλλαι ἀφύαι χείρους διὰ τὸ [c] τα-
6 χὺ λαμβάνειν αὔξησιν. Γίνονται δ' ἐν τοῖς ἐπισκίοις καὶ [d] ἑλώδεσι τόποις, ὅταν εὐημερίας [e] γενομένης ἀναθερμαίνηται ἡ γῆ, οἷον [f] περὶ Ἀθήνας ἐν Σαλαμῖνι καὶ πρὸς τῷ Θεμιστοκλείῳ καὶ ἐν Μαραθῶνι· ἐν γὰρ [g] τούτοις τοῖς τόποις γίνεται
7 ὁ ἀφρός. Φαίνεται δ' ἐν μὲν τόποις τοιούτοις καὶ εὐημερίαις τοιαύταις, γίνεται [h] δ' ἐνιαχοῦ καὶ ὁπόταν ὕδωρ [i] πολὺ [k] ἐξ οὐρανοῦ γένηται, ἐν τῷ ἀφρῷ [l] τῷ γιγνομένῳ ὑπὸ τοῦ ὀμβρίου ὕδατος, διὸ καὶ καλεῖται ἀφρός· καὶ ἐπιφέρεται ἐνίοτε [m] ἐπιπολῆς τῆς θαλάττης, [n] ὅταν εὐημερία ᾖ, ἐν ᾧ συστρέφε-
ται, οἷον ἐν τῇ κόπρῳ [o] τὰ σκωλήκια, οὕτως ἐν τούτῳ ὁ

[l] φύεσθαι P. [m] μὲν οὖν] δὲ P. [n] ἔνια καὶ οὔτ' Da. [o] ἅπαντα P.Da. [p] ἄναυξις P.Aa.Ca. [q] ἄρρενος Ca. [r] πλείω Ca. [s] ἀλλ' ἤδη πάλιν Aa.Ca. [t] ὥραν γίνεται P. [v] ἀρξάμενος P.Aa.Ca.Da, [w] ἄρκτου Ca. [x] ἐνίοτ' om. Aa. [y] ᾖ ψύχος μὲν P.Da. [z] ᾖ om. P.Ca.Da. [a] ἑλκομένη Ca. [b] πλείω πλεονάκις γίνεται καὶ βελτίω P. πλεονάκις om. Aa. [c] λαμβάνειν αὔξησιν ταχύ Da. [d] ἑλώδεσι] ἀλεεινοῖς Da, ἐν εὐέλοις P. [e] γινομένης Aa. [f] ἐν ἀθήναις περὶ σαλαμῖνα Aa.Ca. [g] τοῖς τοιούτοις Aa.Ca. [h] δ'] δὲ καὶ P. [i] πολὺ om. Aa.Ca. [k] ἐκ τοῦ οὐρανοῦ γένηται P, γένηται ἐκ τοῦ οὐρανοῦ Da. [l] τῷ alterum om. Aa.Ca. [m] ἐπὶ πολλῆς utrobique Aa. [n] ὅταν] ὅταν μὴ Ca. [o] τὰ μικρὰ σκωλήκια P, τὰ σκωλήκια μικρὰ Da.

Digitized by Google

ἀφρός, ὅπου ἂν συστῇ [o]ἐπιπολῆς· [p]διὸ πολλαχοῦ προσφέρεται ἐκ τοῦ πελάγους ἡ ἀφύη αὕτη. Καὶ [q]εὐθηνεῖ δὲ καὶ 8
ἁλίσκεται [r]πλείστη, [s]ὁπόταν ἔνυγρον καὶ [t]εὐδιεινὸν γένηται τὸ ἔτος. [u]Ἡ δ' ἄλλη ἀφύη γόνος ἰχθύων ἐστίν, [w]ἡ μὲν κα- 9
λουμένη κωβῖτις κωβιῶν τῶν μικρῶν καὶ φαύλων, οἳ καταδύνουσιν εἰς τὴν γῆν· ἐκ δὲ τῆς [x]φαληρικῆς γίγνονται [y]μεμβράδες, ἐκ δὲ τούτων τριχίδες, ἐκ δὲ τῶν τριχίδων τριχίαι, ἐκ [z]δὲ μιᾶς ἀφύης, [a]οἷον τῆς ἐν τῷ [b]Ἀθηναίων λιμένι, οἱ [b]ἐγκρασίχολοι καλούμενοι. [c]Ἔστι δὲ καὶ ἄλλη ἀφύη, ἣ γόνος ἐστὶ 10
μαινίδων καὶ [d]κεστρέων. [e]Ὁ δ' ἀφρὸς ὁ ἄγονος ὑγρός ἐστι καὶ διαμένει ὀλίγον χρόνον, καθάπερ εἴρηται πρότερον· τέλος γὰρ λείπεται [f]κεφαλὴ καὶ ὀφθαλμοί. Πλὴν νῦν εὕρηται τοῖς ἁλιεῦσι πρὸς τὸ διακομίζειν· ἁλιζομένη γὰρ [e]πλείω [f]μένει χρόνον.

Αἱ δ' [g]ἐγχέλυς οὔτ' ἐξ ὀχείας γίνονται οὔτ' φοτοκοῦσιν, 16
[h]οὐδ' ἐλήφθη [i]πώποτε οὔτε θορὸν ἔχουσα οὐδεμία οὔτ' [k]φά, οὔτ' [l]ἀνασχισθεῖσαι [m]ἐντὸς θορικοὺς πόρους οὔθ' ὑστερικοὺς [n]ἔχουσιν· ἀλλὰ τοῦτο ὅλον τὸ γένος τῶν ἐναίμων οὐ γίνεται οὔτ' ἐξ ὀχείας [o]οὔτ' ἐξ φῶν. Φανερὸν δ' ἐστὶν ὅτι οὕτως ἔχει· 2
[p]ἐν ἐνίαις γὰρ τελματώδεσι λίμναις τοῦ τε ὕδατος παντὸς ἐξαντληθέντος καὶ τοῦ πηλοῦ [q]ξυσθέντος γίνονται πάλιν, [r]ὅταν ὕδωρ γένηται ὄμβριον· ἐν δὲ τοῖς αὐχμοῖς οὐ γίνονται, οὐδ' ἐν ταῖς διαμενούσαις λίμναις· καὶ γὰρ ζῶσι καὶ τρέφονται ὀμβρίῳ ὕδατι. [u]Ὅτι μὲν οὖν οὔτ' ἐξ ὀχείας οὔτ' [s]ἐξ φῶν γίνονται, 3
φανερόν ἐστιν· δοκοῦσι δέ [t]τισι γεννᾶν, ὅτι ἐν ἐνίαις τῶν [v]ἐγ-

[o] ἐπὶ πολλῆς Aª. [p] διὸ—πλείστη om. Cª. [q] εὐσθενεῖ Dª. [r] πλεῖστον Aª. [s] ὅταν Cª. [t] εὐδιηνὸν Dª, εὔυλον P. [w] ἡ μὲν καλουμένη κωβῖτις Sylburgius: codices ὁ μὲν καλούμενος κωβίτης. [x] φλιαρικῆς Aª. [y] βεμβράδες Aª, μὲν ἄραδες P.Dª. [z] δὲ μιᾶς] δ' ἐνίας Aª.Cª. [a] οἷον—γόνος ἐστὶ om. Cª. [b] ἐν κρασὶ χόλοι Dª, ἐν κρασὶ χολοὶ P, ἐν κρασίᾳ ὄχοι Aª. [c] κεστρῶν Aª. [d] κεφαλαὶ Aª. [e] πλεῖον P. [f] διαμένει Dª. [g] ἐγχέλεις P.Dª. [h] οὔτ' Aª.Cª. [i] πώ om. Dª. [k] οὔτ' ὠὸν Dª, om. P. [l] ἀνασχισθεῖσα P.Aª.Dª. [m] ἐντὸς] τοὺς Aª. [n] ἔχουσα P.Aª.Dª. [o] οὔτε ζώων Dª, οὔτ' ἐκ ζώων P. [p] ἐν om. Dª. [q] ἐξοισθέντος P, ἐξοισθέντος Dª. [r] ὅταν] οὗ ἂν P. [s] ἐκ ζώων P.Dª. [t] τινες Cª. [v] ἐγχελίων P, ἐγχέλεων Dª.

Digitized by Google

χελύων ἐλμίνθια [w] ἐγγίνεται· ἐκ τούτων [x] γὰρ οἴονται [y] γί-
4 νεσθαι ἐγχέλυς. Τοῦτο δ' ἐστὶν οὐκ ἀληθές, ἀλλὰ γίγνονται
ἐκ τῶν καλουμένων γῆς ἐντέρων, ἃ αὐτόματα [z] συνίσταται ἐν
τῷ πηλῷ καὶ ἐν τῇ γῇ τῇ ἐνίκμῳ. Καὶ ἤδη εἰσὶν ὠμμέναι αἱ
μὲν [a] ἐκδύνουσαι [b] ἐκ τούτων, αἱ δ' ἐν διακινιζομένοις καὶ διαι-
5 ρουμένοις γίνονται φανεραί. Καὶ ἐν τῇ θαλάττῃ [c] δὲ καὶ
[d] ἐν τοῖς ποταμοῖς [e] γίνονται τὰ τοιαῦτα, ὅταν ᾖ μάλιστα
σῆψις, τῆς μὲν [f] θαλάττης πρὸς τοῖς τοιούτοις τόποις [g] οὗ
ἂν ᾖ φῦκος, τῶν δὲ ποταμῶν καὶ λιμνῶν [h] περὶ τὰ χείλη· ἐν-
ταῦθα γὰρ ἡ ἀλέα [i] ἰσχύουσα σήπει. Περὶ μὲν οὖν τῆς τῶν ἐγ-
χελύων γενέσεως τοῦτον ἔχει τὸν τρόπον.

17 Τοὺς δὲ τόκους οὔτε πάντες οἱ ἰχθύες ποιοῦνται τὴν αὐτὴν
ὥραν οὔθ' ὁμοίως, οὔτε κύουσι τὸν ἴσον χρόνον. Πρὸ μὲν
[k] οὖν τῆς ὀχείας [l] ἀγέλαι γίνονται ἀρρένων καὶ θηλειῶν· ὅταν
2 δὲ περὶ τὴν ὀχείαν, [m] καὶ τοὺς τόκους ὧσι, συνδυάζονται. Κύ-
ουσι δὲ τούτων ἔνιοι [n] μὲν οὐ πλείους τριάκονθ' ἡμερῶν, οἱ δὲ
ἐλάττω χρόνον, [o] πάντες δ' ἐν χρόνοις [p] διαιρουμένοις εἰς τὸν
τῶν ἑβδομάδων ἀριθμόν. Κύουσι [q] δὲ πλεῖστον χρόνον [r] οὓς
3 καλοῦσί τινες [s] μαρίνους. [t] Σάργος δὲ κυΐσκεται μὲν περὶ
τὸν Ποσειδεῶνα μῆνα, κύει δ' ἡμέρας τριάκοντα· καὶ ὃν κα-
λοῦσι [u] δέ τινες [v] χελῶνα [w] τῶν κεστρέων, [x] καὶ ὁ μύξων
[y] τὴν αὐτὴν ὥραν καὶ ἴσον χρόνον κύουσι [z] τῷ [a] σάργῳ. Πο-
νοῦσι [b] δὲ τῇ κυήσει πάντες, διὸ μάλιστα τὴν ὥραν ταύτην ἐκ-
4 πίπτουσιν· φέρονται [c] γὰρ [d] οἰστρῶντες πρὸς τὴν γῆν. Καὶ
ὅλως ἐν κινήσει περὶ τὸν χρόνον τοῦτον διατελοῦσιν ὄντες,

[w] ἐγγίνονται P.D[a]. [x] γὰρ ante τούτων D[a], om. C[a]. [y] ἐγγί-
νεσθαι, C[a].D[a]. [z] συνίστανται P. [a] ἐκλυόμεναι C[a]. [b] ἐκ τῶν
τοιούτων A[a]. [c] δὲ om. P.C[a]. [d] ἐν om. D[a]. [e] γίγνεται C[a].
[f] θαλάσσης P.D[a]. [g] οὗ om. P. [h] παρὰ P.C[a]. [i] ἴσχουσα P.A[a].D[a].
[k] οὖν om. A[a]. [l] αἱ ἀγέλαι D[a], αἱ ἀγελαῖαι A[a].C[a]. [m] ὧσι καὶ τοὺς τόκους
D[a]. [n] μὲν om. P. [o] πάντα P.A[a].C[a]. [p] διαιρούμενα A[a]. [q] δέ τινες
πλεῖστον A[a]. [r] ὃν P. [s] μαρίνου P. [t] σαργὸς A[a].C[a]. [u] δέ om. A[a].C[a].
[v] χέλλωνα A[a].C[a]. [w] τῶν κεστρέων om. P. [x] καὶ μύξωνα D[a], καὶ μύξωνα
δὲ P. [y] τὴν—χρόνον] τὸν αὐτὸν καὶ ἴσον χρόνον P, τὸν αὐτὸν χρόνον D[a].
[z] τῇ A[a]. [a] σαργῷ A[a].C[a].D[a]. [b] δ' ἐν τῇ A[a].C[a]. [c] γὰρ] δ' A[a].C[a].
[d] οἱ σύροντες P.

Digitized by Google

ἕως ἂν ἐκτέκωσιν· καὶ μάλιστα ὁ κεστρεὺς τοῦτο ποιεῖ τῶν ἰχθύων· ὅταν δ' ἐκτέκωσιν, ἡσυχάζουσιν. Πολλοῖς δὲ τῶν ἰχθύων πέρας ἐστὶ τοῦ τίκτειν, ὅταν ἐγγένηται σκωλήκια ἐν τῇ γαστρί· ἐγγίνεται γὰρ μικρὰ καὶ ἔμψυχα, ἃ ἐξελαύνει τὰ κυήματα. Οἱ δὲ τόκοι γίνονται τοῖς μὲν ῥυάσι τοῦ [e] ἔαρος, καὶ τοῖς πλείστοις δὲ περὶ τὴν ἐαρινὴν ἰσημερίαν· [f] τοῖς [g] δ' ἄλλοις οὐχ ἡ αὐτὴ ὥρα τοῦ ἔτους, ἀλλὰ τοῖς μὲν [h] τοῦ θέρους, τοῖς δὲ περὶ τὴν [i] φθινοπωρινὴν ἰσημερίαν. Τίκτει δὲ πρῶτον τῶν τοιούτων [k] ἀθερίνη (τίκτει δὲ πρὸς τῇ γῇ), κέφαλος δὲ ὕστατος· δῆλον δ' ἐκ τοῦ πρῶτον [l] ταύτης φαίνεσθαι τὸν γόνον, [m] τοῦ δ' ὕστατον. Τίκτει δὲ καὶ κεστρεὺς ἐν τοῖς πρώτοις, καὶ σάλπη τοῦ θέρους ἀρχομένου [n] ἐν τοῖς πλείστοις, ἐνιαχοῦ [o] δὲ μετοπώρου. Τίκτει δὲ καὶ [p] ὁ [q] αὐλωπίας, ὃν καλοῦσί [r] τινες ἀνθίαν, τοῦ θέρους. Μετὰ δὲ [s] τούτους χρύσοφρυς καὶ λάβραξ καὶ [t] μόρμυρος καὶ ὅλως οἱ καλούμενοι δρομάδες. [v] Ὕστατοι δὲ τῶν ἀγελαίων τρίγλη καὶ κορακῖνος· τίκτουσι δὲ [v] οὗτοι περὶ τὸ μετόπωρον. Τίκτει δ' [w] ἡ τρίγλη [x] ἐπὶ τῷ πηλῷ, διὸ ὀψὲ τίκτει· πολὺν γὰρ χρόνον ὁ πηλὸς ψυχρός ἐστιν. [y] Ὁ δὲ κορακῖνος ὕστερον τῆς τρίγλης ἐπὶ τῶν [y] φυκίων ἐκπορευόμενος, διὰ τὸ [z] βιοτεύειν ἐν τοῖς πετραίοις χωρίοις· [a] κύει δὲ πολὺν χρόνον. Αἱ δὲ μαινίδες τίκτουσι μετὰ τροπὰς χειμερινάς. Τῶν [b] δ' ἄλλων ὅσοι πελάγιοι, οἱ πολλοὶ θέρους τίκτουσιν· σημεῖον δ' ὅτι οὐχ ἁλίσκονται τὸν χρόνον τοῦτον. Πολυγονώτατον δ' ἐστὶ τῶν ἰχθύων [c] μαινίς, τῶν δὲ σελαχῶν βάτραχος· ἀλλὰ σπάνιοί εἰσι διὰ τὸ ἀπόλλυσθαι ῥᾳδίως· τίκτει γὰρ ἀθρόα [d] καὶ πρὸς τῇ γῇ.

[e] ἀέρος P.A[a].C[a]. [f] τοῖς δ' —ἰσημερίαν om. P. [g] ἄλλοις δ' A[a]. [h] τοῦ ante θ. om. A[a].C[a]. [i] μετοπωρινὴν P, ἐαρινὴν D[a]. [k] ἀνθερίνη D[a]. [l] αὐτῆς φαίνεσθαι C[a], φαίνεσθαι ταύτης A[a]. [m] τοῦ] τὸ P. [n] ἐν τοῖς πλείστοις om. P. [o] δὲ καὶ μετ. P. [p] ὁ] κεστρεὺς ὁ A[a], om. C[a]. [q] αὐλοπίας P.D[a]. [r] τινες om. P.D[a]. [s] ταῦτα ὁ P.D[a]. [t] μόρμυρος] ὀσμῦλος A[a].C[a]. [v] αὐτοὶ A[a].C[a]. [w] ἡ om. P. [x] ἐν D[a]. [y] φυσικῶν C[a]. [z] βιωτεύειν P. [a] καὶ κύει δὲ P.D[a]. [b] δ' ἄλλων] πολλῶν δὲ P. [c] ἡ μαινὶς P.D[a]. [d] καὶ] ἅμα P, καὶ ἅμα D[a].

Digitized by Google

[v]Ολως δ' [e] ὀλιγογονώτερα μέν ἐστι τὰ σελάχη διὰ τὸ ζῳο-
10 τοκεῖν, σώζεται δὲ μάλιστα ταῦτα διὰ τὸ μέγεθος. [1]Οψί-
γονον δ' ἐστὶ καὶ ἡ καλουμένη βελόνη, καὶ αἱ πολλαὶ αὐτῶν
πρὸ τοῦ τίκτειν διαρρήγνυνται ὑπὸ τῶν ᾠῶν· ἴσχει δ' οὐχ
οὕτω πολλὰ ὡς μεγάλα. Καὶ ὥσπερ τὰ φαλάγγια δέ,
[f] περικέχυνται καὶ περὶ τὴν βελόνην· ἐκτίκτει γὰρ πρὸς
11 [g] αὐτῇ, κἂν τις θίγῃ, φεύγουσιν. [h]Η δ' ἀθερίνη τίκτει τρί-
βουσα τὴν κοιλίαν πρὸς τὴν ἄμμον. Διαρρήγνυνται δὲ καὶ
οἱ [h] θύννοι ὑπὸ τῆς πιμελῆς, ζῶσι δ' ἔτη δύο. Σημεῖον δὲ
τούτου ποιοῦνται οἱ ἁλιεῖς· [i] ἐκλιπουσῶν γάρ [k] ποτε τῶν
[l] θυννίδων ἐνιαυτόν, τῷ [m] ἐχομένῳ ἔτει καὶ οἱ θύννοι ἐξέλιπον.
Δοκοῦσι δ' [n] ἐνιαυτῷ εἶναι πρεσβύτεροι τῶν πηλαμύδων.
12 [1]Οχεύονται [o] δ' [p] οἱ θύννοι καὶ [q] οἱ σκόμβροι περὶ τὸν [1]Ελα-
φηβολιῶνα φθίνοντα, τίκτουσι δὲ περὶ τὸν [1]Εκατομβαιῶνα
13 ἀρχόμενον· τίκτουσι δὲ οἷον ἐν θυλάκῳ τὰ ᾠά. [h]Η δ' αὔξη-
σίς ἐστι τῶν θυννίδων ταχεῖα· ὅταν γὰρ τέκωσιν οἱ ἰχθύες
ἐν τῷ Πόντῳ, γίγνονται ἐκ τοῦ ᾠοῦ ἃς καλοῦσιν οἱ μὲν
[r] σκορδύλας, [s] Βυζάντιοι δ' αὐξίδας διὰ τὸ ἐν ὀλίγαις [t] αὐξά-
νεσθαι ἡμέραις, καὶ ἐξέρχονται [v] μὲν τοῦ φθινοπώρου ἅμα
ταῖς [w] θυννίσιν, εἰσπλέουσι δὲ τοῦ ἔαρος ἤδη οὖσαι πηλα-
14 μύδες. Σχεδὸν δὲ καὶ οἱ ἄλλοι πάντες ἰχθύες ταχεῖαν [x] λαμ-
βάνουσι τὴν αὔξησιν, [y] πάντες δ' ἐν τῷ Πόντῳ θᾶττον· παρ'
15 ἡμέραν γὰρ καὶ [z] αἱ [a] ἄμιαι [b] πολὺ ἐπιδήλως [c] αὔξονται. [v]Ολως
δὲ δεῖ νομίζειν τοῖς αὐτοῖς ἰχθύσι μὴ ἐν τοῖς αὐτοῖς τόποις
μήτε [d] τῆς ὀχείας καὶ τῆς κυήσεως εἶναι τὴν αὐτὴν ὥραν μήτε
τοῦ τόκου καὶ τῆς εὐημερίας, ἐπεὶ καὶ οἱ καλούμενοι [e] κορα-
κῖνοι ἐνιαχοῦ τίκτουσι περὶ τὸν [f] πυραμητόν· ἀλλὰ τοῦ ὡς

[e] ὀλιγόγονα Da, ὀλιγοτόκα P. [f] περικέχυνται δὲ Aa.Ca. [g] αὐτὴν P.Da. [h] θύνοι Da. [i] ἐκλειπουσῶν Aa.Ca. [k] τότε Da. [l] θυνίδων Da, θυνῶν P. [m] ἐρχομένῳ Aa. [n] ἐνιαυτὸν P. [o] δ'] γὰρ P. [p] οἱ om. P. [q] οἱ om. P.Aa.Ca. [r] σκοράδυλας P.Da. [s] οἱ δὲ βυζάντιοι Aa. [t] ἡμέραις αὐξάνεσθαι P.Da. [v] μὲν ἐκ τοῦ P. [w] θύνναις P.Da. [x] λαμβάνωσι Aa. [y] πάντα P.Aa.Ca. [z] αἱ om. P.Da. [a] ἀμίαι Aa. [b] πολλαὶ P.Da. [c] αὐξάνονται P.Da. [d] τῆς κυήσεως καὶ τῆς ὀχείας Aa.Ca. alterum τῆς om. P.Da. [e] καρκῖνοι P. [f] πυράμητον Aa.Ca, πυραμηγόν P.

Digitized by Google

ἐπὶ τὸ πολὺ γιγνομένου ἐστόχασται τὰ εἰρημένα. Ἰσχουσι 16
δὲ καὶ οἱ γόγγροι κυήματα· ἀλλ' οὐκ ἐν πᾶσι τοῖς τόποις·
ὁμοίως τοῦτο ἐπίδηλον, οὐδὲ τὸ κύημα σφόδρα φανερὸν διὰ
τὴν πιμελήν· ἴσχει γὰρ μακρόν, ὥσπερ καὶ οἱ ὄφεις. Ἀλλ'
ἐπὶ τὸ πῦρ τιθέμενον διάδηλον ποιεῖ· ἡ μὲν γὰρ πιμελὴ θυ-
μιᾶται καὶ τήκεται, τὰ δὲ πηδᾷ καὶ ψοφεῖ [g] ἐκθλιβόμενα.
Ἔτι δ' ἄν τις ψηλαφᾷ καὶ τρίβῃ τοῖς δακτύλοις, τὸ μὲν 17
στέαρ λεῖον φαίνεται, τὸ δ' ᾠὸν [h] τραχύ. Ἔνιοι μὲν οὖν
γόγγροι στέαρ μὲν ἔχουσιν ᾠὸν δ' οὐδέν, οἱ δὲ τοὐναντίον
στέαρ [i] μὲν οὐθέν, ᾠὸν δὲ τοιοῦτον οἷον [k] εἴρηται νῦν.

Περὶ μὲν οὖν τῶν ἄλλων ζῴων καὶ [l] πλωτῶν καὶ πτηνῶν, 18
καὶ περὶ τῶν πεζῶν ὅσα ᾠοτοκεῖ, σχεδὸν εἴρηται περὶ πάν-
των, περί [m] τε οἰκείας καὶ κυήσεως [n] καὶ τῶν ἄλλων τῶν ὁμοι-
οτρόπων τούτοις· περὶ [o] δὲ τῶν πεζῶν ὅσα ζῳοτοκεῖ καὶ περὶ
[p] ἀνθρώπου λεκτέον τὰ συμβαίνοντα τὸν αὐτὸν τρόπον. Περὶ
μὲν οὖν οἰκείας [q] εἴρηται καὶ ἰδίᾳ καὶ κοινῇ κατὰ πάντων.
[r] Πάντων δὲ κοινὸν τῶν ζῴων τὸ περὶ τὴν ἐπιθυμίαν καὶ τὴν 1
ἡδονὴν ἐπτοῆσθαι τὴν ἀπὸ τῆς οἰκείας μάλιστα. Τὰ μὲν
οὖν θήλεα χαλεπώτατα, ὅταν ἐκτέκωσι πρῶτον, οἱ δ' ἄρρενες
περὶ τὴν οἰκείαν. Οἵ τε γὰρ ἵπποι δάκνουσι τοὺς ἵππους 3
[s] καὶ καταβάλλουσι καὶ διώκουσι τοὺς [t] ἱππέας, καὶ οἱ ὗες οἱ
ἄγριοι χαλεπώτατοι, καίπερ [v] ἀσθενέστατοι περὶ τὸν καιρὸν
τοῦτον ὄντες, διὰ τὴν οἰκείαν, καὶ πρὸς ἀλλήλους [w] μὲν ποι-
οῦνται μάχας θαυμαστάς, θωρακίζοντες [x] ἑαυτοὺς καὶ ποιοῦν-
τες τὸ δέρμα ὡς παχύτατον ἐκ παρασκευῆς, πρὸς τὰ δένδρα
[y] τρίβοντες καὶ τῷ πηλῷ μολύνοντες πολλάκις καὶ ξηραί-
νοντες [z] ἑαυτούς· μάχονται δὲ πρὸς ἀλλήλους, ἐξελαύνοντες

[g] ἐκθλιβόμενον P. [h] παχύ P.D[a]. [i] μὲν] μόνον P.D[a]. [k] εἴρηταί μοι νῦν P.D[a]. [l] πτηνῶν καὶ πλωτῶν A[a].C[a]. [m] τε] τῆς A[a].C[a]. [n] καὶ τῶν] καὶ γενέσεως καὶ τῶν P.D[a]. [o] δὲ πεζῶν ὅσα ὠοτοκεῖ A[a].C[a]. [p] ἀνθρώπων P.D[a]. [q] εἴρηται ταδὶ κατὰ C[a], εἴρηται καὶ κοινῇ καὶ ἰδίᾳ κατὰ D[a]. [r] πάντων δὲ κοινὸν τῶν ζώων] δὲ τῶν ζώων κοινὸν P.D[a]. [s] καὶ καταβάλλουσι—ἱππέας om. P. [t] ἱππεῖς A[a].C[a]. [v] ἀσθενέστεροι C[a]. [w] μὲν] δὲ A[a], om. D[a]. [x] ἑαυτοὺς] ἀλλήλους αὐτοὺς A[a].C[a]. [y] διατρίβοντες P.D[a]. [z] αὐτούς C[a], αὐτῆς A[a].

Digitized by Google

ἐκ τῶν [a] συοφορβίων, οὕτω σφοδρῶς ὥστε πολλάκις ἀμφό-
4 τεροι ἀποθνήσκουσιν. [b]Ὡσαύτως δὲ καὶ οἱ ταῦροι καὶ οἱ κριοὶ καὶ οἱ τράγοι· πρότερον γὰρ ὄντες σύννομοι ἕκαστοι περὶ τοὺς καιροὺς τῆς ὀχείας μάχονται διιστάμενοι πρὸς ἀλλήλους. Χαλεπὸς δὲ καὶ ὁ κάμηλος περὶ τὴν ὀχείαν ὁ ἄρρην, ἐάν [b] τε ἄνθρωπος ἐάν τε κάμηλος πλησιάζῃ· ἵππῳ μὲν γὰρ ὅλως ἀεὶ
5 πολεμεῖ. Τὸν αὐτὸν δὲ τρόπον καὶ ἐπὶ τῶν ἀγρίων· καὶ γὰρ ἄρκτοι καὶ λύκοι καὶ λέοντες χαλεποὶ τοῖς πλησιάζουσι γίνονται [c] περὶ τὸν καιρὸν τοῦτον, πρὸς ἀλλήλους δ' ἧττον μάχονται διὰ τὸ μὴ ἀγελαῖον εἶναι μηθὲν τῶν τοιούτων ζῴων. Χαλεπαὶ δὲ [d] καὶ αἱ θήλειαι ἄρκτοι ἀπὸ τῶν σκύμνων, ὥσπερ
6 καὶ αἱ κύνες ἀπὸ τῶν σκυλακίων. [e]Ἐξαγριαίνονται δὲ καὶ οἱ ἐλέφαντες περὶ τὴν ὀχείαν, διό[e]περ φασὶν οὐκ ἐᾶν αὐτοὺς ὀχεύειν τὰς θηλείας τοὺς [f] τρέφοντας ἐν τοῖς [f]Ἰνδοῖς· ἐμμανεῖς γὰρ γινομένους ἐν τοῖς χρόνοις τούτοις [g] ἀνατρέπειν τὰς οἰκήσεις [h] αὐτῶν ἅτε φαύλως [i] ᾠκοδομημένας, καὶ ἄλλα πολλὰ
7 ἐργάζεσθαι. Φασὶ δὲ καὶ τὴν τῆς [k] τροφῆς δαψίλειαν πραοτέρους αὐτοὺς παρέχειν· καὶ προσάγοντες [l] δ' αὐτοῖς ἑτέρους [m] κολάζουσι καὶ [n] δουλοῦνται προστάττοντες τύπτειν [o] τοῖς προσαγομένοις. Τὰ δὲ πολλάκις ποιούμενα [p] τὰς ὀχείας καὶ μὴ κατὰ μίαν ὥραν, οἷον τὰ συνανθρωπευόμενα, [q] ὗές τε καὶ κύνες, [r] ἧττον τοιαῦτα [s] ποιοῦντα φαίνεται διὰ τὴν ἀφθο-
8 νίαν τῆς ὁμιλίας. Τῶν δὲ θηλειῶν ὁρμητικῶς ἔχουσι πρὸς τὸν συνδυασμὸν μάλιστα μὲν ἵππος, ἔπειτα βοῦς. Αἱ μὲν οὖν ἵπποι αἱ θήλειαι ἱππομανοῦσιν· ὅθεν καὶ ἐπὶ τὴν βλασφημίαν τὸ ὄνομα αὐτῶν ἐπιφέρουσιν ἀπὸ μόνου τῶν ζῴων
9 [t] τὴν ἐπὶ τῶν ἀκολάστων περὶ τὸ ἀφροδισιάζεσθαι. Λέγονται δὲ καὶ ἐξανεμοῦσθαι περὶ τὸν καιρὸν τοῦτον· [v] διὸ ἐν

[a] συοφορβείων D^a. [b] τε ὁ ἄνθρωπος A^a. [c] περὶ] πρὸς A^a. [d] καὶ om. A^a. [e] περ om. D^a. [f] στρέψαντας P. [g] ἀναστρέφειν P. [h] αὐτῶν οὕτε P, αὐτά τε $A^a.C^a$. [i] οἰκοδομουμένας $P.D^a$. [k] τροφῆς ἀδηλίαν παρ' αὐτοῖς ἔχειν· καὶ P. [l] δ' om. P. [m] κολάζονται $P.D^a$. [n] δουλεύονται A^a, δουλεύουσι C^a. [o] τοὺς προσαγομένους D^a, τοὺς προστατταμένους P. [p] τὴν ὀχείαν $A^a.C^a$. [q] ὗες] οἷον ὗες P. [r] ἧττον τὰ τ. $P.D^a$. [s] ποιοῦντα om. $P^a.C^a$. [t] τὴν] τούτου τὴν C^a, om. P. [v] διὸ καὶ ἐν D^a.

Digitized by Google

Κρήτῃ οὐκ ἐξαιροῦσι τὰ ὀχεῖα ἐκ τῶν θηλειῶν. [v]Οταν δὲ 10
τοῦτο πάθωσι, θέουσιν ἐκ τῶν ἄλλων ἵππων. [w]Εστι δὲ τὸ
πάθος [x]ὅπερ ἐπὶ [x]τῶν ὑῶν λέγεται τὸ καπρίζειν. Θέουσι
δὲ οὔτε πρὸς ἕω οὔτε πρὸς δυσμάς, ἀλλὰ πρὸς ἄρκτον ἢ
νότον. [v]Οταν δ' ἐμπέσῃ τὸ πάθος, [y]οὐδένα ἐῶσι πλησιά-
ζειν, ἕως ἂν ἢ ἀπείπωσι διὰ τὸν [z]πόνον ἢ πρὸς [a]θάλατταν
ἔλθωσιν· τότε δ' ἐκβάλλουσί τι. Καλοῦσι δὲ καὶ τοῦτο,
ὥσπερ ἐπὶ τοῦ τικτομένου, ἱππομανές· ἔστι δ' οἷον ἡ καπρία,
καὶ ζητοῦσι τοῦτο μάλιστα πάντων [b]αἱ περὶ τὰς φαρμα-
κείας. Περὶ δὲ τὴν ὥραν τῆς ὀχείας [c]συγκύπτουσί τε πρὸς 11
ἀλλήλας μᾶλλον ἢ πρότερον, καὶ τὴν κέρκον κινοῦσι πυκνά,
καὶ τὴν φωνὴν ἀφιᾶσιν ἀλλοιοτέραν ἢ κατὰ τὸν [d]ἄλλον
χρόνον· [e]ῥεῖ δ' αὐταῖς ἐκ τοῦ αἰδοίου ὅμοιον γονῇ, λεπτό-
τερον δὲ πολὺ ἢ τὸ τοῦ ἄρρενος· [f]καὶ καλοῦσι [g]τοῦτό τινες
ἱππομανές, ἀλλ' [h]οὐ τὸ ἐπὶ τοῖς πώλοις ἐπιφυόμενον· ἐρ-
γώδες δ' εἶναί φασι [i]λαβεῖν· κατὰ μικρὸν γὰρ [k]ῥεῖν. Καὶ 12
οὐροῦσι δὲ πολλάκις, ὅταν [l]σκυζῶσι, καὶ πρὸς αὐτὰς [m]παί-
ζουσιν. Τὰ μὲν οὖν περὶ [n]τοὺς ἵππους τοῦτον ἔχει τὸν
τρόπον, αἱ δὲ βόες [o]ταυρῶσιν· οὕτω δὲ σφόδρα κατακώχιμαι
τῷ πάθει γίνονται, ὥστε μὴ δύνασθαι αὐτῶν κρατεῖν μηδὲ
[p]λαμβάνεσθαι τοὺς βουκόλους. Δῆλαι δ' εἰσὶ καὶ αἱ ἵπποι 13
καὶ [q]αἱ βόες, ὅταν ὀργῶσι πρὸς τὴν ὀχείαν, καὶ τῇ ἐπάρσει
τῶν αἰδοίων, καὶ τῷ πυκνὰ οὐρεῖν αἱ βόες ὥσπερ [r]αἱ ἵπποι.
[v]Ετι [s]δ' αἵ γε βόες ἐπὶ τοὺς ταύρους ἀναβαίνουσι, καὶ παρα-
κολουθοῦσιν ἀεί, καὶ [t]παρεστᾶσιν. Πρότερα δὲ τὰ νεώτερα 14
ὀργᾷ πρὸς τὴν ὀχείαν καὶ ἐν [v]τοῖς ἵπποις καὶ ἐν [v]τοῖς βου-
σίν· καὶ ὅταν εὐημερίαι γίνωνται καὶ τὰ σώματα εὖ ἔχωσι,
μᾶλλον ὀργῶσιν. Αἱ μὲν οὖν ἵπποι ὅταν ἀποκείρωνται,

[w] ὥσπερ $A^a.C^a$. [x] τῶν ὑῶν] τινῶν P, ὑῶν D^a. [y] οὐδὲν P. [z] πόθον C^a. [a] θάλασσαν A^a. [b] οἱ P.C^a.D^a. [c] συγκόπτουσί P. [d] ἄλλον om. A^a.C^a. [e] ἐκρεῖ P.D^a. [f] καὶ καλοῦσι] καλοῦσι δὲ P. [g] τινες τοῦτο A^a.C^a. [h] οὐ τοῦτο ἐπὶ τοῖς πολλοῖς A^a.C^a. [i] λαμβάνειν A^a.C^a. [k] ῥεῖ P.D^a. [l] σκύζωσι plerique. [m] παίζωσι P.A^a.C^a.D^a. [n] τοὺς] τὰς D^a. [o] ταυριῶσιν A^a.C^a. [p] λαμβάνειν A^a.C^a. [q] οἱ β. A^a. [r] αἱ ἵπποι] καὶ ἵπποι P. [s] δ' om. A^a.C^a. [t] παριστᾶσι P. [v] ταῖς utrobique D^a.

Digitized by Google

ἀποπαύονται τῆς ὁρμῆς μᾶλλον καὶ γίνονται [w] κατηφέστε-
15 ραι. Οἱ δ' ἄρρενες ἵπποι διαγινώσκουσι τὰς θηλείας τὰς
συννόμους ταῖς ὀσμαῖς, κἂν ὀλίγας ἡμέρας [x] ἅμα γένωνται
πρὸ τῆς ὀχείας· [y] κἂν ἀναμιχθῶσιν [z] ἀλλήλοις, ἐξελαύνουσι
δάκνοντες, καὶ νέμονται χωρίς, ἕκαστοι τὰς ἑαυτῶν ἔχοντες.
16 Διδόασι δ' ἑκάστῳ [a] περὶ τριάκοντα ἢ μικρῷ πλείους. [v] Ὅταν
δὲ προσίῃ [b] τις ἄρρην, συστρέψας εἰς [c] ταὐτὸ καὶ περιδραμὼν
κύκλῳ, προσελθὼν μάχεται· κἄν τις κινῆται, δάκνει καὶ κω-
λύει. [t] Ὁ δὲ ταῦρος, ὅταν ὥρα τῆς ὀχείας ᾖ, τότε γίνεται
σύννομος καὶ μάχεται τοῖς ἄλλοις, τὸν δὲ [d] πρότερον χρόνον
μετ' ἀλλήλων [e] εἰσίν, ὃ καλεῖται [f] ἀτιμαγελεῖν· πολλάκις
17 γὰρ οἵ [g] γ' ἐν τῇ [1] Ἠπείρῳ οὐ φαίνονται τριῶν μηνῶν. [u] Ὅλως
[h] δὲ [i] τὰ [k] ἄγρια [l] πάντα ἢ τὰ πλεῖστα οὐ [m] συννέμονται
[n] τοῖς θήλεσι πρὸ τῆς ὥρας τοῦ ὀχεύειν, ἀλλ' ἐκκρίνονται,
ὅταν εἰς ἡλικίαν ἔλθωσι, καὶ χωρὶς βόσκονται τὰ ἄρρενα τῶν
θηλειῶν. Καὶ αἱ ὗες δ' ὅταν ἔχωσι πρὸς τὴν ὀχείαν [o] ὁρμη-
τικῶς, ὃ καλεῖται [p] καπρᾶν, ὠθοῦνται καὶ πρὸς τοὺς ἀνθρώ-
18 πους. Περὶ δὲ τὰς κύνας τὸ τοιοῦτον πάθος καλεῖται σκυ-
ζᾶν. [q] Ἔπαρσις μὲν οὖν τοῖς θήλεσιν [q] ἐγγίνεται τῶν αἰ-
δοίων, ὅταν πρὸς τὴν ὀχείαν [r] ὀργῶσι, [s] καὶ ὑγρασία περὶ
τὸν τόπον· αἱ δ' ἵπποι καὶ ἀπορραίνουσι λευκὴν ὑγρότητα
19 περὶ τὸν καιρὸν τοῦτον. Καθάρσεις δὲ γίνονται [t] μὲν κατα-
μηνίων, οὐ μὴν [v] ὅσαι [w] γε ταῖς γυναιξὶν οὐθενὶ τῶν ἄλλων
ζῴων. Τοῖς μὲν οὖν προβάτοις καὶ αἰξίν, ἐπειδὰν [x] ὥρα ᾖ
ὀχεύεσθαι, ἐπισημαίνει πρὸ τοῦ ὀχεύεσθαι· καὶ ἐπειδὰν ὀχευ-
θῶσι, [y] γίνεται τὰ σημεῖα, εἶτα διαλείπει, [z] μέχρι οὗ ἂν [a] μέλ-
20 λωσι τίκτειν. Τότε δ' ἐπισημαίνει, καὶ οὕτω γινώσκουσιν

[w] κατωφερέστεροι Ca. [x] ἅμα] ἀλλαχόθεν ἅμα P, ἀλλαχόθι ἅμα Da. [y] κἂν] καὶ Aa.Ca.Da. [z] ἀλλήλαις Ca, τὰς ἄλλας Da. [a] περὶ om. P. [b] τις om. P. [c] αὐτὸ Aa. [d] πρότερον μὲν χρόνον P. [e] εἰσίν om. P. [f] ἀτιμαγέλειν Da. [g] γ'] τε P. [h] δὲ] τε P.Aa.Ca. [i] τάγε P. [k] ἀγριώτερα Aa.Ca. [l] πάντων Aa. [m] συννέμεται Aa.Ca. [n] ταῖς P.Da. [o] ὁρμητικῶς ante πρὸς Da, post καλεῖται P. [p] καπριᾶν Aa.Ca.Da. [q] γίγνεται Ca, γίγνονται Aa. [r] ὁρμῶσι P.Ca.Da. [s] καὶ om. Aa.Ca. [t] μὲν om. P. [v] ὅσα Aa.Ca. [w] τε Aa. [x] ᾖ ὥρα Ca. [y] γίνονται P.Da. [z] μέχρις Aa.Ca.Da. [a] θέλωσι Aa.

Digitized by Google

ὅτι [b] ἐπίτοκοι οἱ ποιμένες. [1] Ἐπειδὰν δὲ τέκῃ, κάθαρσις γίνεται πολλή, τὸ μὲν πρῶτον οὐ σφόδρα αἱματώδης, ὕστερον μέντοι σφόδρα. Βοῒ δὲ καὶ ὄνῳ καὶ ἵππῳ πλείω μὲν τούτων διὰ τὸ [c] μέγεθος, ἐλάττω [d] δὲ κατὰ λόγον [e] πολλῷ. [2] Ἡ μὲν οὖν βοῦς ὅταν ὀργᾷ πρὸς τὴν [f] ὀχείαν ἡ θήλεια, [21] [g] καθαίρεται κάθαρσιν βραχεῖαν ὅσον ἡμικοτύλιον ἢ μικρῷ [h] πλέον· [i] καιρὸς δὲ γίνεται τῆς ὀχείας μάλιστα περὶ τὴν κάθαρσιν. [3] Ἵππος δὲ τῶν τετραπόδων ἁπάντων αὐτοκώτατον καὶ λοχίων καθαρώτατον, καὶ ἐλαχίστην προΐεται αἵματος [k] ῥύσιν, ὡς κατὰ τὸ τοῦ σώματος [l] μέγεθος. Μάλιστα δὲ [22] καὶ ταῖς βουσὶ καὶ ταῖς ἵπποις τὰ καταμήνια [m] ἐπισημαίνει [n] διαλείποντα [o] δίμηνον καὶ [p] τετράμηνον καὶ ἑξάμηνον· ἀλλ' οὐ [q] ῥᾴδιον γνῶναι μὴ παρεπομένῳ μηδὲ συνήθει σφόδρα, διὸ ἔνιοι οὐκ οἴονται γίνεσθαι αὐτοῖς. Τοῖς δ' ὀρεῦσι τοῖς θήλεσιν οὐθὲν γίνεται καταμήνιον, ἀλλὰ τὸ οὖρον παχύτερον τὸ τῆς θηλείας. [4] Ὅλως μὲν οὖν τὸ τῆς κύστεως περίττωμα [23] τοῖς τετράποσι παχύτερον ἢ [r] τὸ τῶν ἀνθρώπων, [s] τὸ δὲ τῶν προβάτων καὶ [t] τῶν αἰγῶν τῶν θηλειῶν παχύτερον [v] ἔτι ἢ τὸ τῶν ἀρρένων· ὄνου δὲ λεπτότερον τὸ τῶν θηλειῶν, βοὸς [w] δὲ δριμύτερον τὸ τῆς θηλείας. Μετὰ δὲ τοὺς τόκους ἁπάντων [24] τῶν τετραπόδων παχύτερον τὸ οὖρον γίνεται, καὶ μᾶλλον τῶν ἐλάττω προϊεμένων κάθαρσιν. Τὸ δὲ γάλα γίνεται, ὅταν ὀχεύεσθαι ἄρχωνται, πυοειδές· χρήσιμον δὲ γίνεται, ἐπειδὰν τέκωσιν ὕστερον. Κύοντα δὲ [x] καὶ πρόβατα καὶ [25] αἶγες [y] πιότερα γίνονται καὶ ἐσθίουσι μᾶλλον· καὶ βόες δὲ ὡσαύτως καὶ τἆλλα [z] τὰ τετράποδα πάντα. [5] Ὀρμητικώτατα μὲν [a] οὖν ὡς ἐπὶ τὸ [b] πᾶν εἰπεῖν πρὸς τὴν ὀχείαν τὴν

[b] ἐπίτοκά εἰσιν οἱ Da. [c] μέγεθος γίνεται ἔλαττον P.Da. [d] δὴ P.Aa. [e] πολλῷ. ἡ] πολλῶν Aa.Ca. [f] ὀχείαν] γῆν P. [g] καθαίρεται] καὶ καθαίρεται καὶ P. [h] πλεῖον Da, πλείω P. [i] γίνεται δὲ καιρὸς Da. [k] ῥύσιν] ῶσιν P. [l] μέγεθος om. P. in lacuna. [m] σημαίνει Da, συμβαίνει P. [n] διαλιπόντα P.Da. [o] δὲ μόνον P. [p] τρίμηνον Da. [q] ῥᾴδιον] δυνατὸν P.Da. [r] τὸ om. P. [s] τὸ δὲ τῶν] τῶν δὲ Aa. [t] τῶν ante αἰγ. om. P.Aa.Ca. [v] ἔτι om. Aa.Ca.Da. [w] δὲ καὶ δρ. Da. [x] καὶ πρ.] τὰ πρ. P.Da. [y] πιότερα P. [z] τὰ om. P.Ca.Da. [a] οὖν] οὖν ἐστὶν Da, om. Aa. [b] πᾶν] πολὺ P.Da.

Digitized by Google

ἐαρινὴν ὥραν [c]ἐστίν· οὐ μὴν [d]τὰ πάντα γε ποιεῖται τὸν αὐτὸν καιρὸν τῆς ὀχείας, ἀλλὰ πρὸς τὴν ἐκτροφὴν τῶν τέ-
26 κνων ἐν τοῖς καθήκουσι καιροῖς. Αἱ μὲν οὖν [e]ἥμεροι ὗες κύουσι τέτταρας μῆνας, [f]τίκτουσι δὲ τὰ πλεῖστα εἴκοσιν· πλὴν ἂν πολλὰ τέκωσιν, οὐ δύνανται ἐκτρέφειν πάντα. Γηράσκουσαι δὲ τίκτουσι μὲν ὁμοίως, ὀχεύονται δὲ βραδύτερον· κυΐσκονται [g]δ' ἐκ μιᾶς ὀχείας, ἀλλὰ πολλάκις [h]ἐπιβιβάσκουσι διὰ τὸ ἐκβάλλειν μετὰ τὴν ὀχείαν τὴν καλουμένην ὑπό τινων
27 καπρίαν. Τοῦτο μὲν οὖν συμβαίνει πάσαις, ἔνιαι δ' ἅμα τούτῳ καὶ τὸ σπέρμα προΐενται. [i]Ἐν [i]δὲ τῇ κυήσει ὃ ἂν [k]βλαφθῇ τῶν τέκνων καὶ τῷ μεγέθει πηρωθῇ, καλεῖται μετάχοιρον· τοῦτο δὲ γίνεται ὅπου ἂν [l]τύχῃ τῆς ὑστέρας. [v]Ὅταν
28 δὲ γεννήσῃ, τῷ πρώτῳ τὸν πρῶτον παρέχει [m]μαστόν. [n]Θυῶσαν δ' οὐ δεῖ [o]εὐθὺς [p]βιβάζειν, πρὶν [q]ἂν μὴ τὰ ὦτα [r]καταβάλῃ· εἰ δὲ μή, [s]ἀναθυᾷ πάλιν· [t]ἂν δ' ὀργῶσαν βιβάσῃ, μία ὀχεία, ὥσπερ εἴρηται, ἀρκεῖ. Συμφέρει δ' ὀχεύοντι μὲν τῷ κάπρῳ παρέχειν κριθάς, τετοκυίᾳ δὲ τῇ ὑῒ κριθὰς ἐφθάς.
29 Εἰσὶ δὲ τῶν ὑῶν αἱ μὲν εὐθὺς καλλίχοιροι μόνον, αἱ δ' ἐπαυξανόμεναι τὰ τέκνα καὶ τὰς δέλφακας χρηστὰς γεννῶσιν. Φασὶ δέ τινες, ἐὰν τὸν ἕτερον ὀφθαλμὸν [v]ἐκκοπῇ ἡ ὗς, ἀποθνήσκειν διὰ ταχέων ὡς ἐπὶ τὸ πολύ. Ζῶσι δ' αἱ πλεῖσται μὲν περὶ ἔτη πεντεκαίδεκα, ἔνιαι δὲ καὶ τῶν εἴκοσιν ὀλίγον ἀπολείπουσιν.

19 Τὰ δὲ πρόβατα [w]κυΐσκεται μὲν ἐν τρισὶν ἢ [x]τέτταρσιν ὀχείαις, [y]ἂν δ' ὕδωρ ἐπιγένηται μετὰ τὴν ὀχείαν, ἀνακυΐσκει· ὁμοίως δὲ καὶ [z]αἱ αἶγες. Τίκτουσι [a]δὲ τὰ μὲν πλεῖστα δύο, ἐνίοτε δὲ [b]καὶ τρία [c]ἢ τέτταρα. Κύει δὲ πέντε μῆνας καὶ

[c] ἐστίν om. D[a]. [d] τὰ om. A[a].C[a]. [e] ἥμεραι A[a].C[a]. [f] τίκτουσι] κύουσι pr. A[a]. [g] δ' οὐκ ἐκ P.D[a]. et corr. A[a]. [h] ἐπιβάλλουσι P, ἐπιβόσκουσι A[a]. [i] δ' ἐπικυήσει P. [k] βλαβῇ A[a]. [l] γένηται A[a].C[a]. [m] μασθόν P. [n] ὀργῶσαν corr. C[a]. [o] εὐθέως P. [p] λαμβάνειν A[a].C[a]. [q] ἂν om. A[a].C[a]. [r] καταβάλλῃ P.D[a], καταλάβῃ A[a].C[a]. [s] ἀναθυμᾷ P.A[a].C[a]. [t] ἐὰν C[a]. [v] ἐκκοπῇ ὗς ἀποθνήσκει A[a].C[a]. [w] κυΐσκουσι D[a]. [x] τέτρασιν A[a]. [y] ἐὰν C[a]. [z] αἱ om. P.A[a].C[a]. [a] δὲ] μὲν C[a]. [b] καὶ om. C[a]. [c] ἢ] ἤδη δὲ καὶ P.D[a].

Digitized by Google

πρόβατον καὶ αἶξ· διὸ [d]ἐν ἐνίοις τόποις, ὅσοι ἀλεεινοί εἰσι καὶ ἐν οἷς εὐημεροῦσι καὶ τροφὴν ἄφθονον ἔχουσι, δὶς τίκτουσιν. Ζῇ [e]δ' αἶξ μὲν περὶ ἔτη ὀκτώ, πρόβατον δὲ δέκα, τὰ 2
δὲ [f]πλεῖστα ἐλάττω, πλὴν οἱ ἡγεμόνες τῶν προβάτων· οὗτοι δὲ καὶ πεντεκαίδεκα. [1]Ἐν ἑκάστῃ [g]δὲ ποίμνῃ κατασκευάζουσιν ἡγεμόνα τῶν ἀρρένων, ὃς ὅταν ὀνόματι κληθῇ ὑπὸ τοῦ ποιμένος προηγεῖται· συνεθίζουσι [h]δὲ τοῦτο δρᾶν ἐκ νέων. Τὰ δὲ περὶ τὴν Αἰθιοπίαν πρόβατα ζῇ καὶ δώδεκα 3
καὶ [i]τριακαίδεκα ἔτη, καὶ αἶγες δὲ [k]καὶ δέκα καὶ ἔνδεκα. [1]Ὀχεύει δὲ καὶ ὀχεύεται, ἕως ἂν ζῇ, καὶ πρόβατον καὶ αἶξ. Διδυμοτοκοῦσι δὲ καὶ πρόβατα καὶ αἶγες διά τε εὐβοσίαν, καὶ ἐὰν ὁ κριὸς ᾖ [l]ὁ [m]τράγος ᾖ διδυμοτόκος ᾖ ἡ μήτηρ. Θηλυγόνα δέ, [n]τὰ δ' ἀρρενογόνα γίνεται διά τε τὰ ὕδατα 4
(ἔστι γὰρ τὰ μὲν θηλυγόνα τὰ δὲ ἀρρενογόνα) [o]καὶ διὰ [p]τὰς ὀχείας ὡσαύτως, καὶ [q]βορείοις μὲν ὀχευόμενα ἀρρενοτοκεῖ μᾶλλον, νοτίοις δὲ θηλυτοκεῖ. Μεταβάλλει δὲ καὶ τὰ θηλυτοκοῦντα καὶ ἀρρενοτοκεῖ· δεῖ δ' ὁρᾶν ὀχευόμενα πρὸς βορέαν. Τὰ δ' εἰωθότα [r]πρωῒ ὀχεύεσθαι, [s]ἐὰν [t]ὀψὲ [v]ὀχεύῃ 5
τις, οὐχ ὑπομένουσι τοὺς κριούς. Λευκὰ δὲ τὰ [w]ἔκγονα γίνεται καὶ μέλανα, ἐὰν ὑπὸ τῇ τοῦ κριοῦ γλώττῃ λευκαὶ φλέβες ὦσιν [x]ἢ μέλαιναι, λευκὰ μὲν ἐὰν λευκαί, [y]μέλανα δ' ἐὰν μέλαιναι· ἐὰν δ' [z]ἀμφότεραι, [a]ἀμφότερα· πυρρὰ δ' [b]ἐὰν πυρραί. Τὰ δὲ τὸ ἁλυκὸν ὕδωρ πίνοντα πρότερον ὀχεύεται· 6
δεῖ δ' ἁλίζειν πρὶν τεκεῖν καὶ ἐπειδὰν τέκῃ, καὶ ἔαρος αὖθις. Αἰγῶν δ' ἡγεμόνα οὐ καθιστᾶσιν οἱ νομεῖς διὰ τὸ μὴ μόνιμον εἶναι τὴν φύσιν αὐτῶν, ἀλλ' ὀξεῖαν καὶ εὐκίνητον. Τῶν δὲ 7
προβάτων ἐὰν μὲν τὰ πρεσβύτερα ὁρμᾷ πρὸς τὴν ὀχείαν κατὰ τὴν τεταγμένην [c]ὥραν, φασὶν [d]οἱ ποιμένες σημεῖον

[d] ἐν om. C[a]. [e] δὲ καὶ αἶξ A[a]. [f] πλείστω A[a]. [g] δὲ] γὰρ P. [h] δὲ post συνεθ. om. A[a].C[a]. [i] τρισκαίδεκα P.D[a]. [k] καὶ δέκα om. P. [l] ὁ post ἢ om. P.A[a].C[a]. [m] τράγος] ταῦρος A[a].C[a]. [n] τὰ δ'] καὶ P.D[a]. [o] καὶ om. P. [p] τὰ ὀχεῖα A[a].C[a]. [q] βορρείοις C[a]. [r] πρωῒ] τῷ πρωῒ A[a]. [s] ἐὰν] δὶς ἐὰν C[a]. [t] ὀψὲ om. A[a].C[a]. [v] ὀχευθῇ P. [w] ἔγγονα P.A[a].C[a]. [x] ἢ] καὶ P. [y] ἐὰν δὲ μέλαιναι μέλανα A[a].C[a]. [z] ἀμφότερα A[a]. [a] ἄμφω A[a].C[a]. [b] ἂν C[a].D[a]. [c] φασὶν ὥραν P.A[a].C[a]. [d] οἱ ποιμένες om. P.

Digitized by Google

εὐετηρίας εἶναι τοῖς προβάτοις, ἐὰν δὲ τὰ νεώτερα, [e]κακοθηνεῖν τὰ πρόβατα.

20 Τῶν δὲ κυνῶν ἔστι μὲν γένη πλείω, ὀχεύει δὲ [f]κύων ἡ Λακωνικὴ [g]μὲν ὀκτάμηνος [h]καὶ [i]ὀχεύεται· καὶ τὸ σκέλος δ' αἴροντες [k]οὐροῦσιν ἤδη ἔνιοι περὶ τὸν χρόνον τοῦτον. Κυΐσκεται δὲ κύων ἐκ μιᾶς ὀχείας· δῆλον δὲ τοῦτο γίνεται μάλιστα [l]ἐν τοῖς κλέπτουσι τὰς ὀχείας· ἅπαξ γὰρ ἐπιβάντες
2 πληροῦσιν. Κύει δ' ἡ μὲν Λακωνικὴ ἕκτον μέρος τοῦ ἐνιαυτοῦ (τοῦτο δ' ἐστὶν [m]ἡμέραι ἑξήκοντα), κἂν ἅρα μιᾷ ἢ δυσὶν ἢ [n]τρισὶ [o]πλείονας ἡμέρας καὶ ἐλάττους μιᾷ. Τυφλὰ δὲ γίνεται αὐτῇ τὰ σκυλάκια, [p]ὅταν τέκῃ, δώδεκα [q]ἡμέρας. Τεκοῦσα δὲ πάλιν ὀχεύεται [r]ἕκτῳ μηνί, καὶ οὐ πρότερον.
3 [s]Ἔνιαι δὲ κύουσι [t]τῶν κυνῶν [v]τὸ πέμπτον μέρος τοῦ ἐνιαυτοῦ (τοῦτο δ' ἐστὶν ἡμέραι ἑβδομήκοντα καὶ δύο), τυφλὰ δὲ γίνεται τὰ σκυλάκια τούτων τῶν κυνῶν ἡμέρας [w]δεκατέτταρας. [u]Ἔνιαι δὲ κύουσι μὲν τέταρτον μέρος τοῦ ἐνιαυτοῦ (τοῦτο δ' ἐστὶ τρεῖς μῆνες ὅλοι), τυφλὰ [x]δὲ τὰ σκυλά-
4 κια τούτων γίνεται ἑπτακαίδεχ' ἡμέραις. Δοκεῖ δὲ σκυζᾶν τὸν ἴσον χρόνον [y]κύων. Τὰ δὲ καταμήνια ταῖς κυσὶν [z]ἑπτὰ ἡμέραις γίνεται· συμβαίνει δ' ἅμα καὶ ἔπαρσις αἰδοίου. Ἐν δὲ τῷ χρόνῳ τούτῳ οὐ [a]προσίενται ὀχείαν, ἀλλ' [b]ἐν ταῖς μετὰ [c]ταύτας [d]ἑπτὰ ἡμέραις· τὰς γὰρ πάσας δοκεῖ [e]σκυζᾶν ἡμέρας τέτταρας καὶ δέκα ὡς ἐπὶ τὸ πολύ, οὐ μὴν ἀλλά τισι
5 καὶ περὶ ἑκκαίδεχ' ἡμέρας γεγένηται τοῦτο τὸ πάθος. Ἡ δ' ἐν τοῖς τόκοις κάθαρσις γίνεται ἅμα τοῖς σκυλακίοις τικτομένοις, ἔστι δ' αὕτη παχεῖα καὶ φλεγματώδης· καὶ τὸ [f]πλῆ-

[e] κακοηθυνεῖν Ca. [f] κύων] πλεῖων Aa.Ca. [g] μὲν om. Aa.Ca. [h] καὶ] καὶ ἡ θήλεια δὲ ὡσαύτως Aa.Ca. [i] ὀχεύοντες P. [k] οὐρῶσιν P. [l] ἐν] δὴ Aa.Ca. [m] ἡμέρας Ca. [n] τρισὶ om. Aa. [o] πλείοσιν ἡμέραις ἢ ἐλάττω Aa.Ca. [p] ὅταν δὲ τέκῃ P. [q] ἡμέραις Aa. [r] ὀκτὼ μησὶ P. [s] ἔνιοι P. [t] τῶν κυνῶν om. Aa. [v] τὸ om. P.Aa.Ca. [w] δεκατέσσαρας nonnulli. [x] δὲ γίνεται τούτων τὰ σκυλάκια Da, καὶ τούτοις γίνεται τὰ σκυλάκια P. [y] κύων ὅσον κύει. τὰ P.Da. [z] ἑπτὰ ἡμέρας P, ἡμέραις ἑπτὰ Da. [a] προῖεται Aa.Ca. [b] ἐν om. P. [c] ταῦτα Aa.Ca. [d] ἑπτὰ ἡμέραις] ἐν ἑπτὰ ἑτέραις P. [e] κυνᾶν Aa.Ca, κυνῶν P. [f] πλῆθος ὅταν τέκωσιν P.Da.

Digitized by Google

θος δ', ὅταν ἐκτέκωσιν, ἀπισχναίνεται [g] ἔλαττον ἢ κατὰ τὸ σῶμα. Τὸ δὲ γάλα αἱ κύνες ἴσχουσι πρὸ τοῦ τεκεῖν ὡς ἐπὶ τὸ πολὺ ἡμέρας πέντε· οὐ μὴν ἀλλ' ἐνίαις [h] καὶ ἑπτὰ [i] γίνεται πρότερον καὶ τέτταρσιν. Χρήσιμον δ' εὐθύς [k] ἐστι τὸ 6 γάλα, ὅταν τέκωσιν. Ἡ δὲ Λακωνικὴ μετὰ τὴν ὀχείαν τριάκονθ' [l] ἡμέραις [m] ὕστερον. Τὸ μὲν οὖν πρῶτον παχύ ἐστι, χρονιζόμενον δὲ γίνεται λεπτότερον. Διαφέρει δὲ παχύτητι τὸ κύνειον [n] τῶν ἄλλων ζῴων μετὰ τὸ ὕειον καὶ δασυπόδειον. Γίνεται δὲ σημεῖον καὶ ὅταν ἡλικίαν ἔχωσι η τοῦ ὀχεύεσθαι· ὥσπερ γὰρ τοῖς ἀνθρώποις, ἐπὶ ταῖς [o] θηλαῖς τῶν [p] μαστῶν ἐπιγίνεται ἀνοίδησίς τις καὶ χόνδρον ἴσχουσιν· οὐ μὴν ἀλλ' ἔργον μὴ συνήθει ὄντι ταῦτα καταμαθεῖν· οὐ γὰρ [q] ἔχει μέγεθος οὐθὲν τὸ σημεῖον. Τῇ μὲν οὖν θηλείᾳ τοῦτο συμβαίνει, [r] τῷ δ' ἄρρενι οὐθὲν τούτων. Τὸ δὲ σκέλος 8 αἴροντες οὐροῦσιν οἱ ἄρρενες ὡς μὲν ἐπὶ [s] τὸ πολὺ ὅταν ἐξάμηνοι ὦσιν· [t] ποιοῦσι δέ τινες [v] τοῦτο καὶ ὕστερον, ἤδη ὀκτάμηνοι ὄντες, καὶ πρότερον [w] ἢ ἐξάμηνοι· ὡς γὰρ ἁπλῶς εἰπεῖν, ὅταν [x] ἰσχύειν ἄρξωνται, αὐτὸ ποιοῦσιν. Αἱ δὲ θήλειαι πᾶσαι καθεζόμεναι οὐροῦσιν· ἤδη δέ τινες καὶ τούτων ἄρασαι τὸ σκέλος οὖρησαν. Τίκτει [y] δὲ κύων σκυλάκια [z] τὰ πλεῖστα 9 δώδεκα, ὡς δ' ἐπὶ τὸ πολὺ πέντε ἢ ἓξ· ἤδη δὲ καὶ ἓν ἔτεκέ τις· αἱ δὲ Λακωνικαὶ ὡς ἐπὶ τὸ πολὺ [a] ὀκτώ. Ὀχεύονται δ' αἱ θήλειαι καὶ ὀχεύουσιν οἱ ἄρρενες ἕως ἂν ζῶσιν. Ἴδιον δ' ἐπὶ τῶν Λακωνικῶν συμβαίνει πάθος· πονήσαντες γὰρ μᾶλλον δύνανται ὀχεύειν ἢ [b] ἀργοῦντες. Ζῇ [c] δ' ἡ μὲν Λα- 10 κωνικὴ κύων ὁ μὲν ἄρρην [d] περὶ ἔτη δέκα, ἡ δὲ θήλεια περὶ ἔτη δώδεκα, τῶν δ' ἄλλων κυνῶν αἱ [e] μὲν πλεῖσται περὶ ἔτη

[g] ἔλαττον ἢ] καὶ ἔλαττον P.D[a]. [h] καὶ ἐν ἑπτὰ P. [i] γίνεται καὶ πρότερον καὶ τέσσαρσι A[a].C[a]. [k] ἐστι om. P. [l] ἡμέρας C[a]. [m] ὕστερον ante μετὰ τὴν A[a].C[a]. [n] τῶν] πρὸς τὸ (τὰ P.) τῶν P.D[a]. [o] θηλείαις A[a].C[a]. [p] μασθῶν P.D[a]. [q] ἴσχει P.D[a]. [r] τὸ δ' ἄρρεν A[a].C[a]. [s] τὸ om. A[a]. [t] ποιοῦσι—ἐξάμηνοι om. P. [v] τοῦτο καὶ ὕστερον] καὶ ἕτεροι τοῦτο P.D[a]. [w] ἢ] οἱ A[a].C[a]. [x] ἰσχύειν] ὀχεύειν P.D[a]. [y] δὲ] δὲ καὶ D[a]. [z] δώδεκα τὰ πλεῖστα P.D[a]. [a] ὀκτώ] καὶ ὀκτώ P, ὀκτὼ καὶ A[a].C[a]. [b] ὀργοῦντες corr. A[a]. [c] δὲ τῶν λακωνικῶν κυνῶν P.D[a]. [d] περὶ om. P.D[a]. [e] μὲν om. P.C[a].D[a].

Digitized by Google

[f]τετταρακαίδεκα [g]ἢ πεντεκαίδεκα, ἔνιαι δὲ καὶ εἴκοσιν· διὸ καὶ [v]Ὅμηρον [h]οἴονταί τινες ὀρθῶς ποιῆσαι τῷ εἰκοστῷ ἔτει
11 ἀποθανόντα τὸν κύνα τοῦ [i]Ὀδυσσέως. [i]Ἐπὶ μὲν οὖν τῶν Λακωνικῶν διὰ τὸ πονεῖν τοὺς ἄρρενας μᾶλλον μακροβιώτεραι αἱ θήλειαι τῶν ἀρρένων· ἐπὶ δὲ τῶν ἄλλων λίαν μὲν οὐκ ἐπίδηλον, μακροβιώτεροι δ' ὅμως οἱ ἄρρενες τῶν θηλειῶν εἰσίν. [i]Ὀδόντας δὲ κύων οὐ βάλλει πλὴν τοὺς καλουμένους
[i]κυνόδοντας· τούτους δ' ὅταν [k]ὦσι τετράμηνοι, ὁμοίως αἵ τε
12 θήλειαι καὶ οἱ ἄρρενες. Διὰ δὲ τὸ τούτους μόνους βάλλειν ἀμφισβητοῦσί τινες· οἱ μὲν γὰρ διὰ [l]τὸ δύο μόνους βάλλειν ὅλως οὔ φασι (χαλεπὸν γὰρ ἐπιτυχεῖν τούτοις), οἱ δ' ὅταν ἴδωσι τούτους, ὅλως οἴονται βάλλειν καὶ τοὺς ἄλλους. Τὰς δ' ἡλικίας ἐκ τῶν ὀδόντων σκοποῦσιν· οἱ μὲν γὰρ νέοι λευκοὺς καὶ ὀξεῖς ἔχουσιν, οἱ δὲ πρεσβύτεροι μέλανας καὶ ἀμβλεῖς.

21 Βοῦς δὲ πληροῖ μὲν ὁ ἄρρην ἐκ μιᾶς ὀχείας, βαίνει δὲ [m]σφοδρῶς ὥστε [n]συγκάμπτεσθαι [o]τὴν βοῦν· ἐὰν δ' ἁμάρτῃ τῆς ὁρμῆς, [p]εἴκοσιν ἡμέρας διαλείπουσα προσίεται πάλιν ἡ θήλεια τὴν ὀχείαν. Οἱ μὲν οὖν πρεσβύτεροι τῶν ταύρων οὐδ' ἀναβαίνουσι πλεονάκις ἐπὶ τὴν αὐτὴν τῆς αὐτῆς ἡμέρας, ἐὰν μὴ ἄρα [q]διαλιπόντες· οἱ δὲ νεώτεροι καὶ τὴν αὐτὴν βιάζονται πλεονάκις καὶ ἐπὶ πολλὰς ἀναβαίνουσι διὰ τὴν ἀκμήν.
2 [v]Ἥκιστα [r]δὲ λάγνον [s]τῶν ἀρρένων ἐστὶ βοῦς. [i]Ὀχεύει δ' ὁ νικῶν τῶν ταύρων· ὅταν δ' ἐξαδυνατήσῃ διὰ τὴν λαγνείαν, ἐπιτίθεται ὁ ἡττώμενος, καὶ κρατεῖ πολλάκις. [i]Ὀχεύει δὲ τὰ ἄρρενα καὶ ὀχεύεται τὰ θήλεα ἐνιαύσια ὄντα πρῶτον, ὥστε [t]καὶ γεννᾶν· οὐ [v]μὴν ἀλλὰ τό γ' ὡς ἐπὶ τὸ πολὺ ἐνιαύσιοι καὶ ὀκτάμηνοι, τὸ δὲ μάλισθ' ὁμολογούμενον [w]διε-
3 τεῖς. Κύει δ' ἐννέα μῆνας, δεκάτῳ δὲ τίκτει· ἔνιοι δὲ διισχυ-

[f] τεσσαρεσκαίδεκα D^a. [g] ἢ πεντεκαίδεκα om. $A^a.C^a$. [h] τινες οἴονται P.D^a. [i] κυνώδοντας P. [k] εἰσὶ A^a. [l] τὸ] τε C^a. [m] σφόδρα A^a. [n] συγκάπτεσθαι P.$A^a.C^a$. [o] τὸν βοῦν· ἐὰν διαμάρτῃ $A^a.C^a$. [p] εἴκοσι δ' ἡμέρας $A^a.C^a$. [q] διαλείποντες $A^a.C^a$. [r] δὲ λαινὸν τῶν pr. P, δ' ἐλαυνόντων corr. [s] τῶν ἀρρένων ante λάγνον $A^a.C^a$. [t] καὶ post ὥστε om. A^a. [v] μὴν δ' ἀλλὰ $A^a.C^a$. [w] διέτεις A^a, διέτης C^a, διετές P.

Digitized by Google

ρίζονται δέκα μῆνας κύειν [x] ἡμερολεγδόν. [y] Ὅ τι δ' ἂν ἔμπροσθεν ἐξενεχθῇ τῶν εἰρημένων χρόνων, [z] ἐκβόλιμόν ἐστι [a] καὶ [b] οὐ θέλει ζῆν· [c] μαλακαὶ γὰρ καὶ ἀτελεῖς γίνονται αἱ [d] ὁπλαί. Τίκτει δ' ἓν τὰ πλεῖστα, ὀλιγάκις δὲ δύο· καὶ τίκτει καὶ [e] ὀχεύει ἕως ἂν [f] ζῇ. Ζῶσι δ' ὡς ἐπὶ τὸ πολὺ περὶ πεντε- 4
καίδεκα ἔτη [g] αἱ θήλειαι· καὶ οἱ ἄρρενες δ', [h] ἐὰν ἐκτμηθῶσιν.
[i] Ἔνιοι δὲ ζῶσι καὶ εἴκοσιν ἔτη [k] καὶ ἔτι πλείω, ἐὰν εὔφορον ἔχωσι τὸ σῶμα· καὶ γὰρ τῶν βοῶν [l] τοὺς τομίας ἐθίζουσι, καὶ καθιστᾶσι [m] τῶν βοῶν ἡγεμόνας ὥσπερ τῶν προβάτων, καὶ ζῶσιν οὗτοι πλείω χρόνον τῶν ἄλλων διά τε τὸ [n] μὴ πονεῖν καὶ διὰ τὸ νέμεσθαι ἀκέραιον νομήν. [o] Ἀκμάζει δὲ 5
μάλιστα [o] πεντέτης ὤν, διὸ καὶ [p] Ὁμηρόν φασι πεποιηκέναι τινὲς ὀρθῶς ποιήσαντα

ἄρσενα πενταέτηρον

καὶ τὸ

βοὸς [p] ἐννεώροιο·

δύνασθαι γὰρ ταὐτόν. Τοὺς δ' ὀδόντας βάλλει βοῦς [q] διετής, καὶ οὐκ [r] ἀθρόους [s] ἀλλ' ὥσπερ ἵππος· τὰς δ' ὁπλάς, ὁπόταν ποδαγρᾷ, οὐκ ἀποβάλλει, ἀλλ' οἰδεῖ μόνον σφόδρα τοὺς πόδας. Τὸ δὲ γάλα, ὅταν τέκῃ, χρήσιμον γίνεται· 6
[t] ἔμπροσθεν δ' οὐκ ἔχει γάλα. Τὸ δὲ πρῶτον γινόμενον γάλα ὅταν παγῇ, οὕτω γίνεται [v] σκληρὸν ὥσπερ λίθος· τοῦτο δὲ συμβαίνει, ἐὰν μή τις [w] μίξῃ ὕδατι. [x] Νεώτεραι δ' ἐνιαυσίων οὐκ [y] ὀχεύονται, πλὴν ἐάν τι τερατῶδες [z] ᾖ· ἤδη δέ τινες καὶ τετράμηνοι ὠχεύθησαν [z] καὶ ὤχευσαν. [a] Ἀρ- 7
χονται δὲ τῆς ὀχείας περὶ τὸν [a] Θαργηλιῶνα μῆνα καὶ τὸν

[x] ἡμερολεγδῶν Da, ἡμερολιδών P. [y] ὅ τι] ὅταν P. [z] ἐμβόλιμον Da. [a] καὶ om. P. [b] οὐ θέλει] οὐ ζῇ ἔτι κἂν μικρὸν προτερήσῃ τῷ τόκῳ οὔτε θέλει P.Da. [c] μάλα P.Aa.Ca.Da. [d] ἁπλαί Aa.Ca. [e] ἀργεύει Aa. [f] ζῇ P. [g] αἱ] καὶ P. [h] ἂν Ca. [i] ἔνιαι Da. [k] καὶ ἔτι om. Ca. [l] τοὺς —ἡγεμόνας] εἰσιν ἡγεμόνες Aa.Ca. [m] ἡγεμόνας τῶν βοῶν Da. [n] μὴ addidit intp. vetus. [o] πενταετὴς P.Da. [p] ἐννεώτεροι ὀδυνᾶσθαι P. [q] διέτης Aa. [r] ἀθρόως Ca. [s] ἀλλ' om. Aa.Ca. [t] ἔμπροσθεν—γίνεται om. P. [v] σκληρὸν γὰρ ὥσπερ P. [w] μίξῃ] συμμίξῃ Aa.Ca. [x] νεώτερα P. [y] ὀχεύεται P.Aa.Ca. [z] ᾖ et καὶ ὤχευσαν om. P.Da. [a] θαρταλίωνα P.

Digitized by Google

[b] Σκιρροφοριῶνα αἱ πλεῖσται· οὐ μὴν ἀλλ' ἔνιαι καὶ μέχρι τοῦ μετοπώρου [c] κυΐσκονται. [v] Οταν δὲ [d] πολλαὶ κύωσι καὶ [e] προσδέχωνται τὴν ὀχείαν, σφόδρα δοκεῖ σημεῖον εἶναι καὶ χειμῶνος καὶ ἐπομβρίας. Αἱ δὲ συνήθειαι γίνονται μὲν [f] ταῖς βουσὶν ὥσπερ [f] ταῖς ἵπποις, ἧττον δέ.

22 [g] [v] Ιππος δ' ἄρχεται ὀχεύειν ὁ μὲν ἄρρην διέτης, καὶ ἡ θήλεια διέτης ὀχεύεσθαι· ταῦτα μέντοι ὀλίγα ἐστί, καὶ τὰ [h] ἔκγονα τούτων ἐλάττω καὶ ἀσθενικώτερα· ὡς δ' ἐπὶ τὸ πολὺ ἄρχονται ὀχεύειν τριετεῖς ὄντες, καὶ [i] αἱ ἵπποι ὀχεύεσθαι, καὶ ἐπιδιδόασι δ' ἀεὶ πρὸς τὸ [k] βελτίω τὰ [l] ἔκγονα γίνεσθαι μέχρι [m] ἐτῶν εἴκοσιν. Κύει δ' ἔνδεκα μῆνας, δωδεκάτῳ δὲ τίκτει. Πληροῖ δ' ὁ ἵππος οὐκ ἐν τεταγμέναις ἡμέραις, ἀλλ' ἐνίοτε [n] μὲν ἐν μιᾷ ἢ δυσὶν ἢ τρισίν, ἐνίοτε [o] δ' ἐν πλείοσιν· θᾶττον δὲ [p] πληροῖ ἐπιβαίνων ὄνος [q] ἢ ἵππος. [r] Η δ' ὀχεία οὐκ ἐπίπονος τῶν ἵππων, ὥσπερ ἡ τῶν βοῶν. [r] Λαγνίστατον [s] δὲ καὶ τῶν θηλειῶν καὶ τῶν ἀρρένων [t] μετ' ἄνθρωπον ἵππος ἐστίν. [r] Η δὲ τῶν νεωτέρων ὀχεία γίνεται παρὰ τὴν ἡλικίαν, ὅταν εὐβοσία καὶ ἀφθονία γένηται τροφῆς. [v] Εστι μὲν οὖν ὡς ἐπὶ τὸ πολὺ [v] μονοτόκος, τίκτει μέντοι ποτὲ καὶ δύο τὰ πλεῖστα. Καὶ [w] ἡμιόνους δ' [x] ἤδη ἔτεκέ τις δύο· ἃ κρίνουσιν ἐν [y] τέρασιν. [r] Οχεύει μὲν οὖν ἵππος καὶ [z] τριακοντάμηνος· ὥστε δὲ καὶ γεννᾶν ἀξίως, ὅταν [a] παύσηται βάλλων. [v] Ηδη δέ τινες καὶ βάλλοντες ἐπλήρωσαν, ὡς φασίν, [b] ἂν μὴ φύσει [c] ἄγονοι τυγχάνωσιν ὄντες. [v] Εχει μὲν οὖν ὀδόντας [d] τετταράκοντα, βάλλει δὲ τοὺς μὲν πρώτους [e] τέτταρας τριακοντάμηνος, τοὺς

[b] σκιροφορίωνα P, σκιροφορίωνα Da. [c] κυΐσκεται Aa. [d] πολλαὶ intp: codices πολλὰ. [e] προσδέχονται Aa. [f] τοῖς utrobique P.Da. [g] ὁ ἵππος ἄρχεται δ' P. [h] ἔγγονα Aa, ἧττονα P. [i] οἱ Da. [k] βέλτιον P.Da. [l] ἔγγονα P, δ' ἔγγονα Aa.Ca. [m] τῶν P. [n] μὲν om. Aa. [o] δ' ἐν] δὲ P.Da. [p] ἐπιβαίνων πληροῖ Da, ἐπιβαίνει πληρῶν P. [q] ἢ ἵππος] ἵππῳ Aa. [r] λαγνίαστον Ca, ἀλλ' ἀγνίστατον P.Da. [s] δὲ om. Da. [t] ἵππος μετ' ἄνθρωπον Da. [v] μονότοκον vel μονοτόκον P.Aa.Ca. [w] ἡμιόνους intpp: codices ἡμίονος. [x] ἤδη om. Aa.Ca. [y] τέσσαρσιν Aa. [z] τριακονταμήνειος, omisso ὥστε, P. [a] παύηται Aa.Ca. [b] ἐὰν Ca. [c] ἀπόγονοι τύχωσιν Aa.Ca. [d] τεσσαράκοντα P.Da, μεγάλους Ca. [e] τέτταρας καὶ τρ. P.

Digitized by Google

μὲν δύο ἄνωθεν [f]τοὺς δὲ δύο κάτωθεν· [g]ἐπειδὰν δὲ γένηται ἐνιαυτός, βάλλει τὸν αὐτὸν τρόπον τέτταρας, δύο μὲν ἄνωθεν δύο δὲ κάτωθεν, καὶ πάλιν ὅταν ἄλλος ἐνιαυτὸς γένηται, ἑτέρους τέτταρας τὸν αὐτὸν τρόπον· τεττάρων δ' ἐτῶν παρελθόντων καὶ ἓξ μηνῶν οὐκέτι βάλλει οὐδένα. [h]Ἤδη δέ τις 6 [h]τὸ πρῶτον εὐθὺς ἅμα [i]πάντας ἐξέβαλε, καὶ ἄλλος ἅμα τοῖς τελευταίοις ἅπαντας· [k]ἀλλὰ τὰ τοιαῦτα γίνεται ὀλίγακις. [l]Ὥστε σχεδὸν συμβαίνει, [l]ὅταν τεττάρων ἐτῶν [m]ᾖ καὶ ἓξ μηνῶν, χρήσιμον εἶναι πρὸς τὴν [n]γέννησιν μάλιστα. Εἰσὶ δ' οἱ πρεσβύτεροι τῶν ἵππων γονιμώτεροι, καὶ οἱ ἄρρενες τῶν ἀρρένων καὶ αἱ θήλειαι τῶν θηλειῶν. [t]Ἀναβαίνουσι δὲ καὶ 7 ἐπὶ τὰς μητέρας οἱ ἵπποι καὶ [o]ἐπὶ τὰς θυγατέρας· καὶ τότε δοκεῖ [p]τέλειον εἶναι τὸ ἱπποφόρβιον, ὅταν ὀχεύσωσι [q]τὰ ἑαυτῶν ἔκγονα. Οἱ δὲ Σκύθαι ἱππεύουσι ταῖς κυούσαις ἵπποις, ὅταν θᾶττον στραφῇ τὸ ἔμβρυον, καὶ φασὶ γίνεσθαι αὐτὰς [r]εὐτοκωτέρας. Τὰ μὲν οὖν ἄλλα τετράποδα [s]κατακείμενα 8 τίκτει, διὸ καὶ πλάγια προέρχεται τὰ ἔμβρυα πάντων· [t]ἡ δ' ἵππος ἡ θήλεια ὅταν ἤδη πλησίον ᾖ τῆς ἀφέσεως, [v]ὀρθὴ στᾶσα προΐεται τὸ [w]ἔκγονον. Ζῶσι δὲ τῶν ἵππων οἱ [x]μὲν πλεῖστοι περὶ ὀκτωκαίδεκα ἔτη καὶ εἴκοσιν, [y]ἔνιοι [z]δὲ πεντεκαιεἰκοσι καὶ τριάκοντα· ἐὰν δέ τις [a]ἐπιμελῶς θεραπεύῃ, [b]ἐκτείνει καὶ πρὸς τὰ πεντήκοντα. [t]Ὁ δὲ μακρότατος βίος 9 τῶν [c]πλείστων ἐστὶν ὡς ἐπὶ τὸ πολὺ [d]τριακοντέτης· ἡ δὲ θήλεια ὡς ἐπὶ τὸ πολὺ μὲν πέντε καὶ εἴκοσιν ἔτη, ἤδη δέ τινες καὶ [e]τετταράκοντα ἔτη βεβιώκασιν. [f]Ἐλάττω δὲ χρόνον βιοῦσιν οἱ ἄρρενες τῶν θηλειῶν διὰ τὰς ὀχείας, καὶ [g]οἱ ἰδίᾳ

[f] τοὺς δὲ δύο] δύο δὲ P.D[a]. [g] ἐπειδὰν—κάτωθεν om. P. [h] εὐθὺς τὸ πρῶτον D[a]. [i] πάντας ἐξέβαλλε P, ἐξέβαλε πάντας A[a].C[a]. [k] ἀλλὰ τοιαῦτα γίνεται σχεδὸν ὀλιγάκις A[a].C[a]. [l] ὅταν δὲ τεττάρων C[a]. [m] ᾖ καὶ] ᾖ A[a], ᾖ C[a]. [n] γένεσιν P.D[a]. [o] ἐπὶ om. A[a].C[a]. [p] τέλειον D[a], τὸ τέλειον P. [q] αὐτῶν τὰ P. [r] ἐντοκωτέρας P. [s] τίκτει κατακείμενα P.D[a]. [t] ἡ δὲ θήλεια ἵππος P. [v] ὀρθήσασα πρ. P. [w] ἔγγονον P.A[a]. [x] μὲν om. P. [y] ἔνιοι—εἴκοσι om. P. [z] δὲ] δὲ καὶ D[a]. [a] ἐπιμελῶς om. P.D[a]. [b] ἐκτείνεται A[a]. [c] πλειόνων C[a], ἵππων D[a]. [d] τριακονταέτης C[a], τριάκοντα ἐννέα ἔτη D[a]. τριακοντέτης—πολὺ om. P. [e] τεσσαράκοντα P. [f] ἔλαττον A[a].C[a]. [g] οἱ om. P.D[a], ἰδίᾳ om. A[a].C[a].

Digitized by Google

10 [h]τρεφόμενοι τῶν ἐν τοῖς ἱπποφορβίοις. [i]Ἡ μὲν οὖν θήλεια πέντ' ἐτῶν τέλος λαμβάνει μήκους καὶ ὕψους, ὁ δ' ἄρρην [j]ἐξ ἐτῶν· μετὰ δὲ ταῦτα ἐν ἄλλοις [k]ἓξ ἔτεσι τὸ πλῆθος λαμβάνει τοῦ σώματος, καὶ ἐπιδίδωσι [l]μέχρι ἐτῶν εἴκοσιν.
11 [m][n]Ἀποτελειοῦται δὲ τὰ θήλεα τῶν ἀρρένων ἔμπροσθεν, ἐν [o]δὲ τῇ γαστρὶ τὰ ἄρρενα τῶν [p]θηλειῶν, καθάπερ καὶ ἐπὶ τῶν ἀνθρώπων· ταὐτὸ δὲ τοῦτο συμβαίνει καὶ ἐπὶ τῶν ἄλλων ζῴων ὅσα πλείω τίκτει. Θηλάζειν δέ φασι τὸν μὲν ἡμίονον [q]ἐξάμηνον, εἶτ' οὐκέτι [r]προσίεσθαι διὰ τὸ [s]σπᾶσθαι καὶ
12 πονεῖν· τὸν δ' ἵππον πλείω χρόνον. [t]Ἀκμάζει δὲ καὶ ἵππος καὶ ἡμίονος μετὰ τοὺς βόλους· [u]ὅταν δὲ [v]πάντας ὧσι βεβληκότες, οὐ ῥᾴδιον γνῶναι τὴν ἡλικίαν. Διὸ καὶ [w]λέγουσι γνώμην ἔχειν, ὅταν [x]ἄβολος ᾖ· ὅταν [y]δὲ βεβληκώς, οὐκ
13 ἔχειν. [z][a]Ὅμως δὲ μάλιστα γνωρίζεται ἡ ἡλικία μετὰ τοὺς βόλους τῷ κυνόδοντι· τῶν μὲν γὰρ [b]ἱππαστῶν γίνεται [c]μικρὸς διὰ τὴν τρίψιν (κατὰ τοῦτον γὰρ [d]ἐμβάλλεται ὁ χαλινός), τῶν δὲ μὴ [e]ἱππαστῶν μέγας μὲν ἀλλ' ἀπηρτημέ-
14 νος, τῶν [f]δὲ νέων ὀξὺς καὶ [g]μικρός. [h]Ὀχεύει δ' ὁ μὲν ἄρρην πᾶσάν [i]τε ὥραν καὶ [j]ἕως ζῇ· καὶ ἡ θήλεια δ' ὀχεύεται ἕως ἂν ζῇ, [k]οὔπω δὲ πᾶσαν ὥραν, [l]ἐὰν μή τις [m]δεσμὸν ἢ ἄλλην τινὰ προσενέγκῃ [n]ἀνάγκην· ὥρα δ' οὐκ ἀφαιρεῖται οὐδεμία τεταγμένη [o]τοῦ [p]ὀχεύεσθαι καὶ ὀχεύειν. Οὐ μέντοι γε ὅτ' ἔτυχε γενομένης τῆς ὀχείας δύνανται [q]ἃ ἂν γεννήσωσιν ἐκτρέ-
15 φειν. [r]Ἐν [s]Ὀποῦντι [t]δ' ἐν ἱπποφορβίῳ ἵππος ἐγένετο [u]ὃς ὤχενεν ἐτῶν [v][w]ὢν [x]τετταράκοντα· ἔδει δὲ τὰ [y]πρόσθια σκέλη

[h] τρεφόμεναι P.D[a]. [i] ἐξ ἔτεσι] ἔξεσι A[a]. [k] μέχρις D[a]. [l] ἀποτελειοῦται] καὶ ἀποτελοῦνται· τελειοῦνται D[a]. et omissa καὶ P. [m] δὲ post τὰ C[a]. [n] θηλειῶν ὕστερον καθάπερ A[a].C[a]. [o] ἐξάμηνον om. P. [p] προΐεσθαι A[a].C[a], προσίεται P.D[a]. [q] ἀποσπᾶσθαι A[a].C[a]. [r] πάντες A[a].C[a]. [s] λέγεται γνώριμα A[a].C[a]. [t] βόλος A[a].C[a]. [u] δὲ] ἐκ P. [w] ὅλως A[a].C[a]. [x] utrobique ἑπταετῶν P.D[a]. et corr. A[a]. [y] μακρὸς A[a].C[a]. [z] ἐκβάλλεται A[a]. [a] δὲ om. A[a].C[a]. [b] μακρός P.C[a]. [c] τε] τὴν A[a]. [d] ἕως ἂν ζῇ P.D[a]. [e] οὕτω C[a]. et pr. A[a]. [f] ἐὰν μή] ἕως ἂν C[a]. et pr. A[a]. [g] δεσμῶν A[a]. [h] ἀνάγκην om. A[a].C[a]. [i] τοῦ om. P. [k] ὀχεύειν καὶ ὀχεύεσθαι A[a]. [l] ἃ] ὅτ' A[a].C[a]. [m] δ'—ὃς] δὲ ὁ φορβίου ἵππος A[a]. [n] ὢν om. A[a]. [o] τεσσαράκοντα P.C[a].D[a]. [p] πρόσθεν A[a].

Digitized by Google

συνεπαίρειν. [u]Αρχονται δ' ὀχεύεσθαι [q] αἱ ἵπποι τοῦ ἔαρος. [v]Οταν δὲ τέκῃ [r] ἡ ἵππος, οὐκ εὐθὺς [s] μετὰ τοῦτο πίμπλαται ἀλλὰ διαλείπει χρόνον, καὶ τίκτει [t] ἀμείνω τετάρτῳ ἢ πέμπτῳ ἔτει μετὰ τὸν τόκον. [v v]Ενα δ' ἐνιαυτὸν καὶ πάμπαν 16
ἀνάγκη διαλείπειν καὶ ποιεῖν ὥσπερ [w] νειόν. [v]Ιππος μὲν οὖν διαλείπουσα τίκτει, ὥσπερ εἴρηται, [x] ὄνος δὲ συνεχῶς. Γίνονται δὲ τῶν ἵππων αἱ μὲν καὶ ἄτεκνοι ὅλως, [y] αἱ δὲ συλλαμβάνουσι μέν, οὐ δύνανται δ' ἐκφέρειν· σημεῖον δὲ τῶν τοιούτων [z] λέγουσιν εἶναι, τὸ ἔμβρυον [a] ἀνασχιζόμενον ἔχειν [b] ἄλλα νεφροειδῆ περὶ τοὺς νεφρούς, ὥστε [c] δοκεῖν τέτταρας [d] ἔχειν νεφρούς. [v]Οταν δὲ τέκῃ [e] ἡ ἵππος, τό τε [f] χόριον εὐ- 17
θὺς κατεσθίει, καὶ ἀπεσθίει τοῦ πώλου ὃ ἐπιφύεται ἐπὶ τοῦ μετώπου [g] τῶν πώλων, [h] καλεῖται δὲ ἱππομανές· ἔστι δὲ τὸ μέγεθος ἔλαττον [i] μικρῷ ἰσχάδος, τὴν δ' ἰδέαν πλατύ, περιφερές, μέλαν. [k] Τοῦτο ἐάν τις φθῇ λαβὼν καὶ ὄσφρηται ἡ 18
ἵππος, ἐξίσταται καὶ [l] μαίνεται πρὸς τὴν ὀσμήν· διὸ καὶ [m] τοῦτο αἱ φαρμακίδες ζητοῦσι καὶ συλλέγουσιν. [n]Εὰν δ' [o] ὠχευμένην ἵππον ὑπὸ ἵππου ὄνος ὀχεύσῃ, διαφθείρει τὸ ἔμβρυον [p] τὸ [q] ἐνυπάρχον. [v]Ιππων δ' ἡγεμόνα οὐ καθιστᾶσιν οἱ [r] ἱπποφορβοὶ [s] ὥσπερ βοῶν, διὰ τὸ μὴ μόνιμον εἶναι τὴν φύσιν αὐτῶν ἀλλ' ὀξεῖαν καὶ εὐκίνητον.

[u]Ονος δ' ὀχεύει μὲν καὶ ὀχεύεται τριακοντάμηνος, καὶ βάλ- 23
λει τοὺς πρώτους ὀδόντας· τοὺς δὲ δευτέρους ἕκτῳ μηνί, καὶ τοὺς τρίτους καὶ τοὺς τετάρτους ὡσαύτως· τούτους δὲ [t] γνώμονας καλοῦσι, τοὺς τετάρτους. [u]Ηδη δὲ καὶ ἐνιαυσία ὄνος ἐκύησεν ὥστε καὶ ἐκτραφῆναι. [v]Εξουρεῖ δ', ὅταν ὀχευθῇ, 2

q αἱ om. A[a].C[a]. r ἡ] ὁ P.D[a], om. C[a]. et pr. A[a]. s μετὰ τοῦτο om. P.D[a]. t ἄμεινον A[a].C[a]. v ἕνα] ἔνια P.C[a]. w νέον P.D[a]. x ὄνος Gaza, ἡμίονος P.A[a].C[a].D[a]. y αἱ δὲ σ. μέν om. P, μέν om.A[a].C[a]. z λέγει A[a]. a ἀνεσχημένον P. b ἀλλὰ P.D[a]. c δοκεῖ A[a]. d ἔχειν] εἶναι P.D[a]. e ἡ om. A[a]. f χορίον P. g τῶν πολλῶν A[a], τούτων τῶν πωλίων P.D[a]. h καλεῖται δὲ] ὁ καλ. P.D[a]. i μικρᾶς D[a], μικρὸν P. k τοῦτο δὲ ἐάν τις ὀφθῇ A[a].C[a]. l ἐκμαίνεται A[a].C[a]. m τοῦτο om. P.D[a]. n ἐπὰν P.A[a]. o ὀχενομένην P.A[a].C[a]. p τὸ post ἔμβρυον om. P. q ὑπάρχον P.A[a].C[a]. r ἱπποφορβεῖς A[a]. s ὥσπερ τῶν βοῶν A[a].C[a]. t γνῶμα A[a].C[a], γνώμας P.D[a]. v ἐξουρεῖ] φέρει A[a].

Digitized by Google

τὴν γονήν, ἐὰν μὴ κωλύηται· διὸ τύπτουσι μετὰ τὴν ὀχείαν
[w] εὐθὺς καὶ διώκουσιν. Τίκτει δὲ δωδεκάτῳ μηνί. Τίκτει δὲ
τὰ μὲν πολλὰ ἕν· μονοτόκον γάρ ἐστι φύσει· τίκτει δ' ἐνίοτε
3 καὶ δύο. [t]Ὁ μὲν οὖν ὄνος ἐπαναβὰς διαφθείρει τὸ τοῦ ἵππου
ὄχευμα, ὥσπερ εἴρηται· ὁ δ' ἵππος τὸ τοῦ ὄνου οὐ διαφθεί-
ρει, ὅταν [x]ᾖ ὠχευμένη ἡ ἵππος ὑπὸ τοῦ ὄνου. [u]Ἰσχει δὲ γάλα
κύουσα δεκάμηνος οὖσα. [y]Τεκοῦσα δὲ βιβάζεται ἑβδόμῃ
ἡμέρᾳ, καὶ μάλιστα [z]δέχεται τὸ [a]πλῆσμα ταύτῃ [b]βιβασθεῖ-
4 σα τῇ ἡμέρᾳ, λαμβάνει δὲ καὶ ὕστερον. [t]Ἐὰν δὲ μὴ τέκῃ πρὶν
[c]τὸ γνῶμα [d]λιπεῖν, οὐκέτι λαμβάνει πλῆσμα οὐδὲ κυΐσκεται
τοῦ λοιποῦ βίου παντός. Τίκτειν δ' οὐ θέλει οὔτε ὁρωμένη
ὑπὸ ἀνθρώπου οὔτ' ἐν τῷ φωτί, ἀλλ' εἰς τὸ σκότος ἀπάγου-
σιν, ὅταν μέλλῃ τίκτειν. Τίκτει δὲ διὰ βίου, ἐὰν τέκῃ πρὶν
[c]τὸ γνῶμα [d]λιπεῖν. Βιοῖ δ' ὄνος [e]πλείω τριάκοντ' ἐτῶν,
5 καὶ [f]ἡ θήλεια τοῦ ἄρρενος πλείω [g]ἔτη. [v]Ὅταν δ' ἵππος
[h]ὀχεύσῃ ὄνον ἢ ὄνος ἵππον, πολὺ μᾶλλον ἐξαμβλοῖ ἢ ὅταν
τὰ ὁμογενῆ ἀλλήλοις μιχθῇ, οἷον ἵππος ἵππῳ [i]ἢ ὄνος ὄνῳ.
[t]Ἀποβαίνει δὲ καὶ ὁ τῆς κυήσεως χρόνος, ὅταν μιχθῇ ἵππος
καὶ ὄνος, κατὰ τὸ ἄρρεν, λέγω δ' ἐν ὅσῳ χρόνῳ τοῦτο γίνεται
6 ἐξ ὁμογενῶν γινόμενον. Τὸ δὲ μέγεθος τοῦ σώματος καὶ τὸ
εἶδος καὶ ἡ ἰσχὺς μᾶλλον τῷ θήλει ἀφομοιοῦται τοῦ [k]γενο-
μένου. [l]Ἂν δὲ συνεχῶς [m]μίσγηται καὶ μὴ [n]διαλείπῃ χρό-
νον τινὰ οὕτως ὀχευόμενα, ταχέως [o]ἄγονον τὸ θῆλυ γίνεται·
διὸ συνεχῶς οὐ μίσγουσιν [p]οὕτως οἱ περὶ ταῦτα πραγματευ-
7 όμενοι, ἀλλὰ διαλείπουσί τινα χρόνον. Οὐ [q]προσδέχεται δ'
οὔτε ἡ ἵππος τὸν ὄνον οὔτε ἡ ὄνος τὸν ἵππον, ἐὰν μὴ τύχῃ
τεθηλακὼς ὁ ὄνος ἵππον· ὑποβάλλουσι γὰρ ἐπίτηδες οὓς κα-

[w] εὐθὺ C[a]. [x] ᾖ ὀχευομένη ἡ C[a], ἡ ὀχευομένη ᾖ A[a]. [y] τίκτουσα P.D[a]. [z] δέχεται] δὲ δέχεται P. [a] πλησίασμα A[a].C[a]. [b] τῇ ἡμέρᾳ βιβασθεῖσα P.D[a]. [c] τὸ γνωμην utrobique P. [d] λείπειν utrobique P.D[a]. [e] πλεῖον A[a]. [f] ἡ om. P. [g] ἔτι P. [h] ὀχεύῃ P.D[a]. [i] ἢ] οἷον D[a]. [k] γινομένου A[a]. [l] ἐὰν C[a]. [m] μίγνυται A[a]. [n] διαλίπῃ A[a].C[a].D[a]. [o] τὸ θῆλυ ἄγονον P.D[a]. [p] οὕτως οἱ περὶ τὰ τοιαῦτα D[a], οἵ τε περὶ ταῦτα P. [q] προσδέχονται A[a].C[a].

Digitized by Google

λοῦσιν [r] ἱπποθήλας. Οὗτοι δ' ὀχεύουσιν ἐν τῇ [s] νομῇ βίᾳ κρατοῦντες, ὥσπερ οἱ ἵπποι.

[t] Ὁ δ' ὀρεὺς ἀναβαίνει μὲν καὶ ὀχεύει μετὰ τὸν πρῶτον 24
βόλον, [t] ἑπταετὴς δ' ὢν καὶ πληροῖ, καὶ ἤδη ἐγένετο [v] γίννος ὅταν [w] ἀναβῇ ἐφ' ἵππον θήλειαν· ὕστερον δ' οὐκέτι ἀναβαίνει. Καὶ ὁ θῆλυς δ' ὀρεὺς ἤδη ἐπληρώθη, οὐ μέντοι [x] γε ὥστ' ἐξενεγκεῖν διὰ τέλους. [y] Αἱ δ' ἐν τῇ [z] Συρίᾳ τῇ ὑπὲρ 2
Φοινίκης ἡμίονοι καὶ ὀχεύονται καὶ τίκτουσιν· ἀλλ' ἔστι [a] τὸ γένος ὅμοιον μὲν ἕτερον δέ. Οἱ δὲ καλούμενοι [b] γίννοι γίνονται ἐξ [c] ἵππου, ὅταν νοσήσῃ ἐν τῇ κυήσει, ὥσπερ [d] ἐν μὲν τοῖς ἀνθρώποις οἱ [e] νάνοι, ἐν δὲ τοῖς ὑσὶ τὰ μετάχοιρα· καὶ ἴσχει δέ, ὥσπερ οἱ [e] νάνοι, ὁ [f] γίννος τὸ αἰδοῖον μέγα. Ζῇ [g] δ' 3
ἡμίονος ἔτη πολλά· ἤδη γάρ τις βεβίωκεν ἔτη [h] καὶ ὀγδοήκοντα, οἷον [i] Ἀθήνῃσιν ὅτε τὸν νεὼν [i] ᾠκοδόμουν· [k] ὃς καὶ ἀφειμένος ἤδη διὰ [l] τὸ γῆρας συναμπρεύων [m] καὶ [n] παραπορευόμενος παρώξυνε τὰ [o] ζεύγη πρὸς τὸ ἔργον, ὥστ' ἐψηφίσαντο μὴ ἀπελαύνειν αὐτὸν τοὺς [p] σιτοπώλους ἀπὸ τῶν [q] τηλιῶν. Γηράσκει δὲ βραδύτερον ὁ θῆλυς ὀρεὺς τοῦ ἄρρε- 4
νος. Λέγουσι δ' ἔνιοι ὅτι ἡ μὲν καθαίρεται οὐροῦσα, ὁ δ' ἄρρην διὰ τὸ ὀσφραίνεσθαι τοῦ οὔρου [r] γηράσκει θᾶττον.

Τούτων μὲν οὖν τῶν ζῴων αἱ γενέσεις τοῦτον ἔχουσι τὸν τρόπον. Τὰ δὲ νέα καὶ τὰ παλαιὰ τετράποδα διαγινώσκου- 25
σιν οἱ περὶ τὰς θεραπείας [s] ὄντες αὐτῶν· ἐὰν μὲν ἀπὸ τῆς γνάθου τὸ δέρμα [t] ἐφελκόμενον [v] ταχὺ ἐπίῃ, νέον τὸ τετράπουν, ἐὰν δὲ πολὺν χρόνον [w] μένῃ ἐρρυτιδωμένον, παλαιόν.

[r] ἱπποθῆρας Aª.Cª. [s] νομῇ βίᾳ] νεομηνίᾳ Aª.Cª. [t] ἑπτέτης Dª, ἐπιτριέτης Cª. [v] γῖννος Aª.Cª, ἶννος P.Dª. [w] ἀναβαίνῃ Aª.Cª. [x] γε om. Aª.Cª. [y] αἱ μὲν ἐν P, ἐν δὲ Aª. [z] οὐρίαι τῇ ὑπὲρ φοινίκην Cª. [a] τὸ om. Aª. [b] γῖννοι P.Aª.Dª. [c] ἵππων Aª. [d] ἐν μὲν om. Aª.Cª. [e] νάννοι utrobique P.Aª.Cª.Dª. [f] γῖνος Aª.Cª, γίννος Dª. [g] δ'] δ' ὁ Dª, δ' ἡ P.Cª. [h] καὶ om. Dª. [i] οἰκοδόμουν Dª. [k] ὃς καφήμενος P. [l] τὸ om. P.Cª.Dª. [m] καὶ om. P.Dª. [n] περιπορευόμενος Aª.Cª. [o] ζυγὰ Aª.Cª. [p] σιτοπώλας P.Dª. [q] τηλίων P.Dª, τηλείων Aª, θηλειῶν Cª. [r] γηράσκει μᾶλλον θᾶττον P.Dª. [s] αὐτῶν ὄντες Aª.Cª. [t] ἀφελκόμενον Dª. [v] παχὺ P.Aª.Cª. [w] μένῃ ἐρρυτιδούμενον Aª, ἐρρυτιδωμένον μένῃ P.Dª.

Digitized by Google

26 Ἡ δὲ κάμηλος κύει μὲν δέκα μῆνας, τίκτει δ' ἀεὶ ἓν μόνον· μονοτόκον γάρ ἐστιν. Ἐκκρίνουσι δ' ἐκ τῶν καμήλων ἐνιαύσιον τὸ [x] ἔκγονον. Ζῇ δὲ χρόνον [y] πολύν, πλείω ἢ πεντήκοντα ἔτη. Τίκτει δὲ τοῦ ἔαρος, καὶ γάλα ἔχει μέχρι οὗ ἂν ἐν γαστρὶ λάβῃ. Ἔχει δὲ καὶ τὰ κρέα καὶ τὸ [z] γάλα ἥδιστα πάντων· πίνουσι δὲ [a] τὸ γάλα δύο καὶ ἕνα ἢ τρία καὶ ἕνα πρὸς ὕδωρ κεράσαντες.

27 Ὁ δ' ἐλέφας ὀχεύει καὶ ὀχεύεται [b] πρῶτον εἴκοσιν ἐτῶν. Ὅταν δ' ὀχευθῇ ἡ θήλεια, φέρει ἐν γαστρί, ὡς μέν τινές φασιν, ἐνιαυτὸν καὶ ἓξ μῆνας, ὡς δ' ἕτεροι, τρί' ἔτη· τοῦ δὲ μὴ ὁμολογεῖσθαι τὸν χρόνον αἴτιον [c] τὸ μὴ [d] εὐθεώρητον εἶναι τὴν ὀχείαν. Τίκτει δ' ἡ θήλεια συγκαθίσασα ἐπὶ τὰ ὄπισθεν, καὶ ἀλγοῦσα δήλη ἐστίν. Ὁ δὲ σκύμνος ὅταν γένηται, θηλάζει τῷ στόματι [e] καὶ οὐ τῷ μυκτῆρι, καὶ βαδίζει καὶ βλέπει εὐθὺς [f] γεννηθείς.

28 Αἱ δ' [g] ὗες αἱ ἄγριαι τοῦ χειμῶνος [b] ἀρχόμενον ὀχεύονται, τίκτουσι δὲ τοῦ [i] ἔαρος ἀποχωροῦσαι εἰς τοὺς δυσβατωτάτους τόπους καὶ [k] ἀποκρήμνους μάλιστα καὶ φαραγγώδεις καὶ συσκίους. Διατρίβει δ' ὁ ἄρρην ἐν ταῖς ὑσὶν ὡς ἐπὶ τὸ πολὺ ἡμέρας τριάκοντα. Τὸ δὲ πλῆθος τῶν τικτομένων καὶ ὁ χρόνος τῆς κυήσεως ὁ [l] αὐτὸς καὶ ἐπὶ τῶν ἡμέρων ὑῶν ἐστίν.

2 Τὰς δὲ φωνὰς [m] παραπλησίους ἔχουσι [n] τοῖς ἡμέροις, πλὴν μᾶλλον ἡ θήλεια φωνεῖ, ὁ δ' ἄρρην σπανίως. Τῶν δ' ἀρρένων [o] καὶ ἀγρίων οἱ τομίαι μείζους γίνονται καὶ χαλεπώτεροι, ὥσπερ καὶ Ὅμηρος ἐποίησεν

> [p] θρέψεν ἐπὶ χλούνην σῦν ἄγριον· οὐδὲ ἔφκει
> θηρί γε σιτοφάγῳ, [q] ἀλλὰ ῥίῳ ὑλήεντι.

3 Γίνονται δὲ τομίαι διὰ τὸ νέοις οὖσιν ἐμπίπτειν νόσημα

x ἔγγονον P. y πολύ Ca. z γάλα μέχρι οὗ ἂν ἐν γαστρὶ λάβῃ ἥδιστα Da. a τὸ om. P. b πρῶτον] πρὸ τῶν P.Da. c τὸ δὲ μὴ Aa. d εὐθεώρητον εἶναι] θεωρεῖσθαι P. e καὶ ante οὐ om. P.Da. f γεννώμενος P.Da. g ὗς Aa.Ca. h ἀρχόμεναι Aa. i ἀέρος Aa. k ἀποκρημνοτάτους μάλιστα Aa.Ca. l αὐτός τε ὡς καὶ P. m παραπλησίας Aa, παραπλησίως P.Ca. n ταῖς Da. o καὶ ἀγρίων om. Aa.Ca. p θρίψιν P. q ἀλλ' ἀγρίῳ corr. Da.

Digitized by Google

[r]κνησμὸν εἰς τοὺς ὄρχεις· εἶτα ξυόμενοι πρὸς τὰ δένδρα ἐκθλίβουσι τοὺς ὄρχεις.

[s]Ἡ δ' ἔλαφος τὴν μὲν ὀχείαν ποιεῖται, [t]καθάπερ ἐλέχθη 29
πρότερον, [v]τὰ πλεῖστα μὲν ἐξ ὑπαγωγῆς (οὐ γὰρ ὑπομένει ἡ θήλεια τὸν ἄρρενα πολλάκις διὰ τὴν συντονίαν), οὐ μὴν ἀλλὰ καὶ ὑπομένουσαι ἐνίοτε ὀχεύονται, καθάπερ τὰ πρόβατα· καὶ ὅταν ὀργῶσι, [w]παρεκκλίνουσιν ἀλλήλας. [x]Μεταλλάττει δ' 2
ὁ ἄρρην καὶ οὐ [y]πρὸς μιᾷ διατρίβει, ἀλλὰ [z]διαλιπὼν βραχὺν χρόνον πλησιάζει [a]ἄλλαις. [b]Ἡ δ' ὀχεία γίνεται μετ' ἀρκτοῦρον περὶ τὸν Βοηδρομιῶνα καὶ Μαιμακτηριῶνα. Κύει δ' ὀκτὼ μῆνας· κυΐσκεται δ' ἐν ὀλίγαις ἡμέραις, καὶ ὑφ' ἑνὸς πολλαί. Τίκτει δ' ὡς μὲν [c]ἐπὶ τὸ πολὺ ἕν, ἤδη δέ τινες ὠμ- 3
μέναι εἰσὶν ὀλίγαι καὶ δύο. Καὶ ποιεῖται τοὺς τόκους παρὰ τὰς ὁδοὺς διὰ τὸν πρὸς τὰ θηρία φόβον. [d]Ἡ δ' αὔξησις [e]ταχεῖα τῶν νεβρῶν. Κάθαρσις δὲ κατ' ἄλλους μὲν χρόνους [f]οὐ συμβαίνει ταῖς ἐλάφοις· ὅταν δὲ [g]τίκτωσι, γίνεται φλεγματώδης αὐταῖς κάθαρσις. Εἴθισται δ' [h]ἄγειν τοὺς νεβροὺς 4
ἐπὶ τοὺς σταθμούς· ἔστι δὲ τοῦτο τὸ χωρίον αὐταῖς καταφυγή, πέτρα [i]περιρραγεῖσα μίαν ἔχουσα εἴσοδον, οὗ καὶ ἀμύνεσθαι [k]εἴωθεν ἤδη τοὺς ἐπιτιθεμένους. Περὶ δὲ τῆς ζωῆς μυθολογεῖται μὲν ὡς [l]ὂν μακρόβιον, οὐ [m]φαίνεται δ' οὔτε τῶν μυθολογουμένων οὐθὲν [n]σαφές, ἥ τε κύησις καὶ ἡ αὔξησις τῶν νεβρῶν συμβαίνει οὐχ ὡς μακροβίου τοῦ ζῴου ὄντος. [o]Ἐν 5
δὲ τῷ ὄρει τῷ [p]Ἐλαφώεντι καλουμένῳ, ὅ ἐστι τῆς [q]Ἀσίας ἐν τῇ [r]Ἀργινούσῃ, οὗ [s]ἐτελεύτησεν [t]Ἀλκιβιάδης, [u]αἱ ἔλαφοι [v]πᾶσαι τὸ οὖς ἐσχισμέναι εἰσίν, ὥστε κἂν [w]ἐκτοπίσωσι [x]γινώσκεσθαι τούτῳ· καὶ τὰ ἔμβρυα [y]δ' [z]ἐν τῇ γαστρὶ ὄντα εὐ-

[r] κνισμὸν Ca, κνισμῶν P. [s] ὁ P.Ca. [t] καθὼς Aa. [v] τὰ] τὰ δὲ Aa.Ca. [w] παρεγκλίνουσιν Ca. [x] μεταβάλλει Aa.Ca. [y] προσδιατρίβει, omisso μιᾷ, Aa.Ca. [z] διαλείπων P. [a] ἀλλήλαις Aa.Ca. [b] ἐπὶ om. P.Da. [c] ταχεῖα μὲν τῶν Aa.Ca. [d] οὐ om. Aa.Ca. [e] τέκωσι P.Da. [f] ἀλγεῖν Aa.Ca. [g] περιδοχμία corr. Ca. [h] εἴωθε τοῖς ἐπιτιθεμένοις Aa.Ca. [i] ὂν] ἐστι corr. Ca. [k] φαίνονται δὲ τῶν Aa.Ca. [l] σαφές] ὁμφαῖς Ca. [m] ἐλαφόεντι Aa, ἐλατάεντι P.Da. [n] ἀργινοῦσῃ Aa.Ca. [o] τετελεύτηκεν P.Da. [p] αἱ om. P.Da. [q] πᾶσαι] ἱστᾶσαι P. [r] ἐκτοπίσωσι] εἰς τοὐπίσω Aa.Ca. [s] γινώσκεται τοῦτο P, γίνεσθαι τούτῳ καταφανεῖς Da. [t] δ' om. P. [v] εὐθὺς ἔχει ἐν τῇ γαστρὶ, omisso ὄντα, Aa.Ca.

Digitized by Google

θὺς ἔχει τοῦτο τὸ σημεῖον. Θηλὰς [w]δ' ἔχουσιν [x]αἱ θήλειαι
6 τέτταρας ὥσπερ αἱ [y]βόες. Ἐπειδὰν δὲ [z]πλησθῶσιν αἱ θήλειαι, ἐκκρίνονται οἱ ἄρρενες καθ' ἑαυτούς, καὶ διὰ τὴν [a]ὁρμὴν τὴν τῶν ἀφροδισίων ἕκαστος μονούμενος βόθρους ὀρύττει, καὶ [b]βρωμᾶται ὥσπερ οἱ τράγοι· καὶ τὰ πρόσωπα διὰ τὸ ῥαίνεσθαι μέλανα γίνεται [c]αὐτῶν, ὥσπερ [d]τῶν τράγων. Οὕτω δὲ διάγουσιν, [e]ἕως ἂν ὕδωρ γένηται· μετὰ δὲ ταῦτα
7 τρέπονται πρὸς τὴν νομήν. Ταῦτα δὲ ποιεῖ τὸ ζῷον διὰ τὸ φύσει λάγνον εἶναι καὶ διὰ τὴν παχύτητα· ὑπερβάλλουσα γὰρ γίνεται τοῦ θέρους αὐτῶν, διὸ καὶ οὐ δύνανται θεῖν, ἀλλ' ἁλίσκονται ὑπὸ τῶν πεζῇ διωκόντων ἐν τῷ δευτέρῳ [f]δρόμῳ καὶ τρίτῳ, καὶ φεύγουσι διὰ τὸ καῦμα καὶ τὸ ἄσθμα εἰς τὸ
8 ὕδωρ. Καθ' ὃν δὲ χρόνον [g]ὀχεύουσι, τὰ κρέα γίνεται [h]φαῦλα καὶ δυσώδη, καθάπερ [i]καὶ τῶν τράγων. Ἐν μὲν οὖν τῷ χειμῶνι [j]γίνονται λεπτοὶ καὶ ἀσθενεῖς, πρὸς [k]δ' ἔαρ μάλιστ'
9 ἀκμάζουσι πρὸς τὸ δραμεῖν. Ἐν δὲ τῷ φεύγειν ἀνάπαυσιν ποιοῦνται τῶν δρόμων, καὶ [l]ὑφιστάμενοι μένουσιν ἕως ἂν πλησίον ἔλθῃ ὁ διώκων· τότε δὲ πάλιν φεύγουσιν. Τοῦτο δὲ δοκοῦσι ποιεῖν διὰ τὸ πονεῖν τὰ ἐντός· τὸ γὰρ ἔντερον ἔχει λεπτὸν καὶ ἀσθενὲς οὕτως ὥστ' ἐὰν ἡρέμα τις πατάξῃ, διακόπτεται τοῦ δέρματος ὑγιοῦς ὄντος.

30 Αἱ δ' ἄρκτοι τὴν [m]μὲν ὀχείαν ποιοῦνται, ὥσπερ εἴρηται πρότερον, οὐκ ἀναβαδὸν ἀλλὰ κατακεκλιμέναι ἐπὶ τῆς γῆς. Κύει δ' ἄρκτος τριάκονθ' [n]ἡμέρας. Τίκτει δὲ [o]καὶ ἓν καὶ δύο, τὰ δὲ πλεῖστα πέντε. Ἐλάχιστον δὲ τίκτει τὸ ἔμβρυον τῷ μεγέθει ὡς κατὰ τὸ σῶμα τὸ [p]ἑαυτῆς· [q]ἔλαττον μὲν γὰρ γαλῆς τίκτει, [q]μεῖζον δὲ μυός, καὶ ψιλὸν καὶ τυφλόν,

[w] δ'] τ' P. [x] αἵτε θ. Aa.Ca. [y] βοῦς P.Da. [z] δ' ἐμπλησθῶσιν αἱ θηλαί P.Da. [a] ὀσμὴν Aa.Ca. [b] βρωμᾶται γρ. Aa, βρῶμα P, βρομᾷ Da, βρομεῖ Aa.Ca. [c] αὐτοῖς Da. [d] τῶν] τὰ τῶν P.Da. [e] ὡς P. [f] καὶ τρίτῳ δρόμῳ Da. [g] ὀχεύονται corr. Aa, ἔχουσι Ca. [h] δυσώδη καὶ φαῦλα Da, καὶ φαῦλα καὶ δυσώδη Aa.Ca. [i] καὶ om. Aa.Ca. [k] δ'] δὲ τὸ P.Da. [l] ὑφ. μὲν μένουσιν Aa, ὑφ. μὲν ναίουσιν Ca. [m] μὲν om. Da. [n] ἡμέραις P.Ca.Da. [o] καὶ post δὲ om. Ca. [p] αὐτῆς P.Da. [q] ἐλάττους et mox μείζους P.Aa.Ca.

Digitized by Google

καὶ σχεδὸν ἀδιάρθρωτα τὰ σκέλη καὶ τὰ πλεῖστα τῶν μορίων. Τὴν δ' ὀχείαν ποιεῖται τοῦ μηνὸς τοῦ [r]Ἐλαφηβο- 2
λιῶνος, τίκτει δὲ περὶ τὴν ὥραν τὴν τοῦ [s]φωλεύειν. Γίγνονται [t]μὲν οὖν περὶ τὸν χρόνον τοῦτον καὶ ἡ θήλεια καὶ ἡ ἄρρην [v]πιότατοι· ὅταν δ' [w]ἐκθρέψῃ τρίτῳ μηνί, [x]ἐκφαίνουσιν ἤδη τοῦ [y]ἔαρος. Καὶ [z]ἡ [a]ὕστριξ δὲ [b]φωλεύει καὶ κύει ἴσας ἡμέρας, καὶ τἆλλα ὡσαύτως τῇ ἄρκτῳ. Κύουσαν δ' ἄρκτον ἔργον ἐστὶ [c]λαβεῖν.

Λέων δ' ὅτι μὲν ὀχεύει ὄπισθεν καὶ ἔστιν ὀπισθουρητικόν, 31
εἴρηται πρότερον· ὀχεύει δὲ καὶ τίκτει οὐ πᾶσαν ὥραν, καθ' ἕκαστον μέντοι τὸν ἐνιαυτόν. Τίκτει μὲν οὖν τοῦ ἔαρος, τίκτει δ' ὡς ἐπὶ τὸ πολὺ δύο, τὰ μέντοι πλεῖστα ἕξ· τίκτει δ' ἐνίοτε καὶ ἕν. [t]Ὁ δὲ λεχθεὶς μῦθος περὶ τοῦ ἐκβάλλειν 2
τὰς ὑστέρας τίκτοντα ληρώδης ἐστί, συνετέθη δ' ἐκ τοῦ σπανίους εἶναι τοὺς λέοντας, ἀποροῦντος τὴν αἰτίαν τοῦ τὸν μῦθον [d]συνθέντος· σπάνιον γὰρ τὸ γένος [e]τὸ τῶν λεόντων ἐστὶ καὶ [f]οὐκ ἐν πολλῷ γίνεται τόπῳ, ἀλλὰ τῆς Εὐρώπης ἁπάσης ἐν τῷ μεταξὺ τοῦ [t]Ἀχελῴου καὶ τοῦ [g]Νέσσου ποταμοῦ. Τίκτει δὲ καὶ ὁ λέων πάνυ μικρὰ οὕτως ὥστε δίμηνα ὄντα μόλις [h]βαδίζειν. Οἱ δ' ἐν Συρίᾳ λέοντες τίκτουσι 3
πεντάκις, τὸ πρῶτον πέντε, εἶτ' ἀεὶ ἑνὶ ἐλάττονα· μετὰ δὲ [i]ταῦτα [k]οὐκέτι οὐδὲν τίκτουσιν, ἀλλ' ἄγονοι διατελοῦσιν. Οὐκ ἔχει δὲ ἡ λέαινα [l]χαίτην, ἀλλ' ὁ ἄρρην λέων. Βάλλει δὲ ὁ λέων [m]τῶν ὀδόντων τοὺς κυνόδοντας καλουμένους τέτταρας [n]μόνους, δύο μὲν ἄνωθεν δύο δὲ κάτωθεν· βάλλει δ' [o]ἑξάμηνος ὢν τὴν ἡλικίαν.

[t]Ἡ δὲ ὕαινα [p]τῷ μὲν χρώματι [q]λυκώδης ἐστί, δασυτέρα 32

[r] ἐλαφηβωλέωνος P. [s] φωλεῖν Da, ὀχεύειν P. [t] μὲν οὖν] δὲ Aa.Ca. [v] πιότατος P.Da. [w] θρέψῃ P. [x] ἐκφαίνεται Aa, ἐκφέρεται Ca. [y] ἀέρος Aa.Ca. [z] ὁ Aa, om. P. [a] ἀστρὶξ Ca, στρὶξ Aa. [b] φωλεύει rc. Aa, φωλεῖται P.Aa.Ca.Da. [c] ληφθῆναι Aa.Ca. [d] συντεθέντος P.Ca. [e] τὸ post γένος om. Aa. [f] οὐχ ἓν Aa.Ca. [g] νέσου Aa.Ca, νεοστοῦ P. [h] βαδίζει Aa.Ca. [i] ταῦτα] χρόνον τινὰ Aa.Ca. [k] οὐδὲν οὐκέτι P. [l] χαίτην] καὶ τὴν ante lacunam P. [m] τῶν ὀδόντων om. P.Da. [n] μόνον Ca. [o] δεκάμηνος P. [p] τὰ μὲν χρώματα P. [q] λευκώδης ἐστί Da, ἐστι λευκώδης Aa.Ca.

Digitized by Google

[r] δέ, καὶ λοφιὰν ἔχει δι' ὅλης τῆς ῥάχεως· περὶ δὲ τῶν αἰδοίων ὃ λέγεται, ὡς ἔχει ἄρρενος καὶ θηλείας, ψευδός ἐστιν.
2 Ἀλλ' ἔχει τὸ μὲν τοῦ [s] ἄρρενος ὅμοιον τῷ τῶν λύκων [t] καὶ τῶν κυνῶν, τὸ δὲ δοκοῦν θηλείας εἶναι ὑποκάτω μὲν ἔχει τῆς κέρκου, παραπλήσιον δ' ἐστὶ τῷ σχήματι [v] τῷ τοῦ θήλεος, οὐκ ἔχει μέντοι οὐδένα πόρον· ὑποκάτω δ' [w] ἐστὶν αὐτοῦ ὁ
3 τῆς περιττώσεως πόρος. Ἡ δὲ θήλεια [x] ὕαινα ἔχει μὲν [y] καὶ τὸ ὅμοιον τῷ τῆς θηλείας λεγομένῳ αἰδοίῳ, ἔχει δ' ὥσπερ ὁ ἄρρην [z] αὐτὸ ὑποκάτω τῆς κέρκου, [a] πόρον δ' οὐδένα ἔχει· μετὰ [b] δὲ [c] τοῦτο ὁ τῆς περιττώσεώς ἐστι πόρος, ὑποκάτω δὲ τούτου τὸ ἀληθινὸν αἰδοῖον. Ἔχει [d] δ' ἡ ὕαινα ἡ θήλεια καὶ ὑστέραν, ὥσπερ καὶ τὰ ἄλλα ζῷα τὰ θήλεα, ὅσα ἐστὶ τοιαῦτα. Σπάνιον δ' ἐστι λαβεῖν [e] θήλειαν ὕαιναν· [f] ἐν ἔνδεκα γοῦν κυνηγός [g] τις μίαν ἔφη λαβεῖν.

33 Οἱ δὲ δασύποδες ὀχεύονται [h] μὲν συνιόντες ὄπισθεν, ὥσπερ εἴρηται πρότερον (ἔστι γὰρ ὀπισθουρητικόν), ὀχεύονται δὲ καὶ τίκτουσι πᾶσαν ὥραν, καὶ ἐπικυΐσκονται ὅταν [i] κύωσι, καὶ τίκτουσι κατὰ [k] μῆνα. Τίκτουσι δ' οὐκ ἀθρόα, ἀλλὰ
2 διαλείπουσιν ἡμέρας [l] ὅσας ἂν τύχωσιν. Ἰσχει δ' ἡ θήλεια γάλα πρότερον ἢ τεκεῖν, καὶ τεκοῦσα εὐθὺς ὀχεύεται, καὶ συλλαμβάνει ἔτι θηλαζομένῃ· τὸ δὲ γάλα παχύτητι ὅμοιόν ἐστι τῷ ὑείῳ. Τίκτει [m] δὲ τυφλά, ὥσπερ τὰ πολλὰ τῶν πολυσχιδῶν.

34 Ἡ δ' ἀλώπηξ [n] ὀχεύει μὲν ἀναβαίνουσα, τίκτει [o] δ' ὥσπερ [p] ἡ ἄρκτος, καὶ ἔτι μᾶλλον ἀδιάρθρωτον. Ὅταν δὲ μέλλῃ τίκτειν, ἐκτοπίζει οὕτως ὥστε [q] σπάνιον εἶναι [r] τὸ ληφθῆναι

[r] δέ] τε P.D[a]. [s] ἄρρενος] ἄρρενος ἐνὸς A[a], θήλεος ἐνὸς C[a]. [t] καὶ] καὶ τῷ C[a]. [v] τῷ post σχήματι om. P.D[a]. [w] αὐτοῦ ἐστὶν C[a], αὐτῆς ἐστὶν A[a]. [x] ὕαινα] ἕνα P. [y] καὶ τὸ] τοι P. [z] αὐτὸ] οὐ τὸ C[a]. [a] πόρον δ' οὐδένα ἔχει] παραπλήσιον δ' ἐστὶ τῷ σχήματι τῷ τοῦ θήλεος, οὐκ ἔχει μέντοι οὐδένα πόρον A[a]. [b] δὲ om. C[a]. [c] τοῦτον A[a].C[a]. [d] δ'] δὲ καὶ C[a]. [e] ὕαιναν θήλειαν P.D[a]. [f] ἐν om. A[a]. [g] τις] τὴν P. [h] μὲν] μὲν οὖν P. [i] κύωσι] τέκωσι D[a]. [k] μῆνας C[a]. [l] ὁπόσας P.D[a]. [m] δὲ] δ' οὐ A[a].C[a]. [n] ὀχεύεται P.A[a].C[a]. [o] δ'] δ' οὐ τυφλὰ A[a]. [p] ἡ] ὁ P.C[a], om. A[a]. [q] σπάνιόν τι εἶναι P. [r] τὸ—ἐκτέκῃ om. A[a].C[a].

Digitized by Google

κύουσαν. [v]Οταν δ' ἐκτέκῃ, τῇ γλώττῃ [s]λείχουσα ἐκθερμαίνει καὶ συμπέττει. Τίκτει δὲ τέτταρα τὰ πλεῖστα.

Λύκος δὲ [t]κύει μὲν καὶ τίκτει καθάπερ κύων τῷ χρόνῳ 35
καὶ τῷ πλήθει τῶν γιγνομένων, καὶ τυφλὰ τίκτει ὥσπερ κύων· ὀχεύει δὲ καὶ ὀχεύεται κατὰ μίαν ὥραν, καὶ τίκτει ἀρχομένου τοῦ θέρους. Λέγεται δέ τις περὶ τοῦ τόκου λόγος πρὸς μῦθον συνάπτων· φασὶ γὰρ [v]πάντας τοὺς λύκους ἐν δώδεχ' ἡμέραις τοῦ ἐνιαυτοῦ τίκτειν. Τούτου [w]δὲ 2
τὴν αἰτίαν ἐν μύθῳ [x]λέγουσιν, ὅτι ἐν τοσαύταις ἡμέραις [y]τὴν Λητὼ [z]παρεκόμισαν ἐξ [a]Ὑπερβορέων εἰς Δῆλον, [b]λύκαιναν φαινομένην διὰ τὸν τῆς [v]Ηρας [c]φόβον. Εἰ δ' ἐστὶν ὁ χρόνος οὗτος τῆς κυήσεως [d]ἢ μή ἐστιν, οὐδέν πω συνῶπται μέχρι [e]γε τοῦ νῦν, ἀλλ' ἢ ὅτι λέγεται μόνον. Οὐκ ἀληθὲς [f]δὲ φαίνεται [g]ὃν οὐδὲ τὸ λεγόμενον [h]ὡς ἅπαξ [i]ἐν τῷ βίῳ τίκτουσιν οἱ λύκοι.

Οἱ δ' αἴλουροι καὶ [k]οἱ ἰχνεύμονες τίκτουσιν ὅσαπερ [l]καὶ 3
[m]οἱ κύνες, καὶ τρέφονται τοῖς αὐτοῖς· ζῶσι δὲ περὶ ἔτη ἕξ. Καὶ ὁ [n]πανθὴρ δὲ τίκτει [o]τυφλὰ ὥσπερ λύκος, τίκτει δὲ τὰ πλεῖστα [p]τέτταρα [q]τὸν ἀριθμόν. Καὶ οἱ θῶες δ' [r]ὁμοίως κυΐσκονται τοῖς κυσί, καὶ τίκτουσι τυφλά· τίκτουσι δὲ καὶ δύο καὶ τρία καὶ τέτταρα τὸν ἀριθμόν. [u]Ἔστι δὲ τὴν ἰδέαν ἐπ' [s]οὐρὰν μὲν μακρός, τὸ δ' ὕψος [t]βραχύτερος. [t]Ὁμοίως δὲ ταχυτῆτι διαφέρει, [v]καίπερ τῶν σκελῶν ὄντων βραχέων, [w]διὰ τὸ ὑγρὸς εἶναι, καὶ πηδᾷ πόρρω.

Εἰσὶ δ' ἐν Συρίᾳ οἱ καλούμενοι ἡμίονοι, ἕτερον γένος τῶν 36
ἐκ συνδυασμοῦ γινομένων ἵππου καὶ ὄνου, [x]ὅμοιοι δὲ τὴν ὄψιν, ὥσπερ καὶ οἱ ἄγριοι [y]ὄνοι πρὸς τοὺς ἡμέρους, ἀπό

[s] ἐκλείχουσα θερμαίνει P. [t] κύει] ὀχεύει P. [v] ἅπαντας P.D[a]. [w] δὴ P. [x] λέγει A[a]. [y] τῇ P. [z] ἐκόμισεν A[a].C[a]. [a] ὑπερβοραίων P. [b] λύκαινα φαινομένη A[a].C[a]. [c] φόβον] χρόνον A[a]. [d] μή] alel A[a], αὖς C[a]. [e] γε om. A[a].C[a]. [f] δὲ om. A[a].C[a]. [g] ὂν] οἷον P.D[a]. [h] ὡς] δὴ P, om. A[a].C[a]. [i] ἐν τῷ βίῳ om. P. [k] οἱ post καὶ om. P.D[a]. [l] καὶ om. D[a]. [m] οἱ om. A[a].C[a]. [n] πάνθηρ D[a]. [o] τυφλὰ] ταυτὰ P. [p] τέσσαρα A[a].D[a]. [q] τὸν ἀριθμόν om. A[a].C[a]. [r] κυΐσκονται ὁμοίως D[a]. [s] οὐρὰν] σειρὰν P. [t] βραχύτερος] μακρότερος P.D[a]. [v] καὶ περὶ σκελῶν pr. A[a]. [w] διὰ] ἀλλὰ διὰ P.D[a]. [x] ὅμοιον D[a]. [y] ὄνοι om. P.

Digitized by Google

τινος ὁμοιότητος λεχθέντες. [z]Εἰσὶ δ' ὥσπερ οἱ ὄνοι οἱ [2]ἄγριοι καὶ αἱ ἡμίονοι, τὴν ταχυτῆτα διαφέροντες. Αὗται [a]αἱ ἡμίονοι γεννῶσιν ἐξ ἀλλήλων. Σημεῖον δέ· ἦλθον γάρ τινες εἰς Φρυγίαν ἐπὶ Φαρνάκου τοῦ Φαρναβάζου πατρός, καὶ διαμένουσιν ἔτι. Εἰσὶ δὲ νῦν μὲν τρεῖς, τὸ παλαιὸν δ' ἐννέα [b]ἦσαν, ὡς φασίν.

37 [1]Ἡ δὲ τῶν μυῶν γένεσις θαυμασιωτάτη παρὰ τἆλλα ζῷά ἐστι τῷ πλήθει καὶ τῷ τάχει. [2]Ἤδη γάρ ποτε [c]ἐναπολη-φθείσης τῆς θηλείας κυούσης ἐν ἀγγείῳ [d]κέγχρου, μετ' [e]ὀλί-γον ἀνοιχθέντος τοῦ ἀγγείου ἐφάνησαν ἑκατὸν καὶ εἴκοσι [2]μύες τὸν ἀριθμόν. [3]Ἀπορεῖται δὲ καὶ ἡ τῶν ἐπιπολαζόντων [f]γένεσις μυῶν ἐν ταῖς χώραις καὶ ἡ [g]φθορά· πολλαχοῦ γὰρ [h]εἴωθε [i]πλῆθος γίνεσθαι [k]ἀμύθητον τῶν ἀρουραίων, ὥστ' ὀλίγον [l]λείπεσθαι τοῦ σίτου παντός. Γίνεται δ' οὕτω ταχεῖα ἡ [g]φθορά, ὥστ' ἔνιοι τῶν μὴ μεγάλας γεωργίας ἐργαζομένων, τῇ [m]προτεραίᾳ ἰδόντες ὅτι θερίζειν ὥρα, τῇ [n]ὑστεραίᾳ ἕωθεν [o]ἄγοντες τοὺς θεριστὰς καταβεβρωμένα [3]ἅπαντα [p]καταλαμβάνουσιν. [4]Ὁ δ' ἀφανισμὸς οὐ κατὰ λό-γον ἀποβαίνει· ἐν ὀλίγαις γὰρ ἡμέραις ἀφανεῖς πάμπαν γίγνονται· καίτοι ἐν τοῖς ἔμπροσθεν χρόνοις οὐ κρατοῦσιν [q]οἱ ἄνθρωποι [r]ἀποθυμιῶντες [s]καὶ ἀνορύττοντες, [t]ἔτι δὲ θηρεύοντες καὶ τὰς ὗς ἐμβάλλοντες· αὗται γὰρ ἀνορύττουσι [4][v]τὰς μυωπίας. Θηρεύουσι δὲ καὶ [w]αἱ ἀλώπεκες αὐτούς, καὶ αἱ [x]γαλαῖ [y]αἱ ἄγριαι μάλιστα ἀναιροῦσιν, ὅταν [z]ἐπιγέ-νωνται· ἀλλ' οὐ κρατοῦσι τῆς πολυγονίας καὶ [a]τῆς [b]ταχυ-γονίας, οὐδ' ἄλλ' οὐθὲν [c]πλὴν οἱ ὄμβροι, ὅταν ἐπιγένωνται·

[z] εἰσὶν ὥσπερ οἱ ὄνοι ἄγριοι καὶ ἡμίονοι P.D[a]. [a] αἱ] δὲ A[a].C[a]. [b] ὡς φασὶν ἦσαν A[a].C[a]. [c] ἐναπολειφθείσης A[a].D[a]. [d] κέγχρων A[a], κέχρων C[a]. [e] ὀλίγον χρόνον ἀνοιχθέντος P.D[a]. [f] γένεσις μυιῶν A[a], μυῶν γένεσις P.D[a]. [g] φορά utrobique D[a]. [h] εἰώθει A[a]. [i] γίνεσθαι πλῆθος P.C[a].D[a]. [k] ἀμύητον τῶν οὐραίων ὥστε ὅλον P. [l] φαίνεσθαι A[a], ἔπεσθαι C[a]. [m] προτέρᾳ P.D[a]. [n] ὑστέρᾳ D[a]. [o] ἄγοντας A[a]. [p] καταλαμβάνειν A[a].C[a]. [q] οἱ ἄνθρωποι om. C[a]. [r] ἀναθυμιῶντες P.D[a]. [s] καὶ—θηρεύοντες om. A[a].C[a], ἔτι δὲ θηρεύοντες om. D[a]. [t] ἔτι] τί P. [v] τοὺς μύωπας A[a]. [w] οἱ A[a].C[a], om. P. [x] γαλίαι A[a]. [y] αἱ om. P. [z] ἔτι γεννῶνται P. [a] τῆς post καὶ om. A[a].C[a]. [b] ταχυτῆτος P.D[a]. [c] πλὴν οἷον νεύροις ὅταν ἐπιγεννῶνται P.

Digitized by Google

τότε [d] δ' ἀφανίζονται [e] ταχέως. Τῆς δὲ Περσικῆς ἔν τινι τόπῳ [f] ἀνασχιζομένης τῆς θηλείας τῶν ἐμβρύων τὰ θήλεα [g] κύοντα [h] φαίνεται. Φασὶ δέ τινες καὶ [i] ἰσχυρίζονται [k] ὅτι ἂν [l] ἅλα λείχωσιν, ἄνευ ὀχείας γίνεσθαι ἐγκύους. Οἱ δ' ἐν Αἰγύπτῳ [m] μύες σκληρὰν ἔχουσι τὴν [n] τρίχα ὥσπερ οἱ χερσαῖοι ἐχῖνοι. [o] Εἰσὶ δὲ καὶ ἕτεροι οἳ βαδίζουσιν [p] ἐπὶ τοῖς δυσὶ ποσίν· τὰ γὰρ [q] πρόσθια μικρὰ ἔχουσι, τὰ δ' [q] ὀπίσθια μεγάλα· [r] γίνονται δὲ πλήθει πολλοί. [1] Ἔστι δὲ καὶ ἄλλα γένη [s] μυῶν πολλά.

H.

Περὶ δ' [t] ἀνθρώπου γενέσεως τῆς τε πρώτης [v] τῆς ἐν τῷ θήλει καὶ τῆς ὕστερον μέχρι γήρως, ὅσα συμβαίνει διὰ τὴν φύσιν τὴν [w] οἰκείαν, τόνδ' ἔχει τὸν [x] τρόπον. [2] Ἡ μὲν διαφορὰ τοῦ ἄρρενος πρὸς [y] τὸ θῆλυ καὶ τὰ μόρια πρότερον εἴρηται, [z] φέρειν δὲ σπέρμα [a] πρῶτον ἄρχεται τὸ ἄρρεν ὡς ἐπὶ [b] τὸ πολὺ ἐν τοῖς ἔτεσι τοῖς δὶς ἑπτὰ τετελεσμένοις· ἅμα δὲ [c] καὶ τρίχωσις τῆς ἥβης ἄρχεται, καθάπερ καὶ [d] τὰ φυτὰ μέλλοντα [e] σπέρμα φέρειν [f] ἀνθεῖν πρῶτον [1] Ἀλκμαίων [g] φησὶν ὁ Κροτωνιάτης. Περὶ δὲ τὸν αὐτὸν χρόνον [h] τοῦτον [3] ἥ τε φωνὴ μεταβάλλειν ἄρχεται ἐπὶ τὸ [i] τραχύτερον καὶ ἀνωμαλέστερον, οὔτ' ἔτι ὀξεῖα οὖσα οὔτε πω βαρεῖα, οὔτε πᾶσα [k] ὁμαλή, ἀλλ' ὁμοία [l] φαινομένη ταῖς παρανενευρισμέναις καὶ τραχείαις χορδαῖς· ὃ καλοῦσι τραγίζειν. Γίνεται [4]

[d] δ' om. Ca. [e] ταχέως om. P. [f] ἀνασχιζομένων, omissis τῆς θηλείας, P.Da. [g] ἀκούοντα P. [h] φαίνονται Ca, φαίνεσθαι P. [i] διισχυρίζονται P.Da. [k] ὅτι ἂν] καὶ ἐὰν Aa.Ca. [l] ἅλλας λείχουσιν Ca, ἀναλείχωσιν Da, ἀναλίχωσιν P. [m] μύες καὶ σκ. Aa.Ca. [n] τρίχαν Aa, τρίχα σχεδὸν P. [o] εἰσὶ—βαδίζουσιν] βαδίζουσι δὲ Aa.Ca. [p] ἐπὶ] καὶ ἐν Aa. [q] ἔμπροσθεν et mox ὀπίσω Aa.Ca. [r] γίνονται δὲ πλ. πολλοί om. P. [s] πολλὰ μυῶν Aa, addito libri octavi principio τὰ μὲν οὖν περὶ τὴν ἄλλην φύσιν τῶν ζώων καὶ τὴν γένεσιν τοῦτον ἔχει τὸν τρόπον. octavum enim et Aa. subjungit et P.Q.Ca.Da.Ea.Fa.Ga.m.n, septimo in noni locum depresso. [t] ἀνθρώπων Da. [v] τῆς ante ἐν om. P.Da. [w] οἰκίαν Aa. [x] τρόπον ἡμῖν. διάφορα Ca. [y] τῷ θήλει Aa. [z] φέρειν] φανερὸν P. [a] πρότερον Da. [b] τὸ post ἐπὶ om. P.Da. [c] καὶ] καὶ ἡ Da. [d] τὰ φυτὰ τὰ μ. Da. [e] φέρειν τὸ σπέρμα P.Ca.Da. [f] ἀνθεῖ Da. [g] φησὶν ante πρῶτον Da, utrobique Aa. [h] τούτων Aa.Ca. [i] βαρύτερον Da. [k] ὁμαλὴς P, ὁμαλὶς Aa. [l] φαινομένη om. Da.

Digitized by Google

δὲ τοῦτο μᾶλλον τοῖς πειρωμένοις ἀφροδισιάζειν· τοῖς γὰρ περὶ ταῦτα προθυμουμένοις καὶ μεταβάλλουσιν αἱ φωναὶ εἰς τὴν τῶν ἀνδρῶν φωνήν, [m] ἀπεχομένοις δὲ τοὐναντίον· [n] ἐὰν δὲ [o] καὶ συναποβιάζωνται ταῖς ἐπιμελείαις, ὅπερ ποιοῦσιν ἔνιοι τῶν περὶ τὰς χορείας σπουδαζόντων, καὶ μέχρι πόρρω [p] διαμένει καὶ τὸ πάμπαν μικρὰν λαμβάνει μεταβολήν. Καὶ [q] μαστῶν ἔπαρσις γίνεται καὶ αἰδοίων, οὐ μεγέθει μόνον ἀλλὰ καὶ εἴδει. Συμβαίνει δὲ περὶ τοῦτον τὸν χρόνον τοῖς τε πειρωμένοις τρίβεσθαι περὶ τὴν τοῦ σπέρματος πρόεσιν οὐ μόνον ἡδονὴν γίνεσθαι τοῦ σπέρματος ἐξιόντος, ἀλλὰ καὶ λύπην. Περὶ τὸν αὐτὸν δὲ χρόνον καὶ τοῖς θήλεσιν ἥ τ' ἔπαρσις [r] γίνεται τῶν [s] μαστῶν καὶ τὰ καταμήνια καλούμενα καταρρήγνυται· τοῦτο δ' ἐστὶν αἷμα οἷον νεόσφακτον. Τὰ δὲ λευκὰ καὶ παιδίοις [t] γίνεται νέοις οὖσι πάμπαν, [v] μᾶλλον δ' ἂν ὑγρᾷ χρῶνται τροφῇ· καὶ κωλύει τὴν [w] αὔξην, καὶ τὰ σώματα [x] ἰσχναίνει τῶν παιδίων. Τὰ δὲ καταμήνια γίνεται ταῖς πλείσταις ἤδη τῶν [y] μαστῶν ἐπὶ δύο δακτύλους ἠρμένων. Καὶ ἡ φωνὴ δὲ καὶ [z] ταῖς παισὶ μεταβάλλει [a] περὶ τὸν χρόνον τοῦτον ἐπὶ τὸ βαρύτερον. [v] Ὅλως μὲν γὰρ γυνὴ ἀνδρὸς [b] ὀξυφωνότερον, αἱ δὲ νέαι τῶν πρεσβυτέρων, ὥσπερ καὶ [c] οἱ παῖδες τῶν ἀνδρῶν· ἀλλ' ἔστιν [d] ἡ φωνὴ ὀξυτέρα [e] ἡ τῶν θηλειῶν παίδων ἢ τῶν ἀρρένων, καὶ ὁ παρθένιος αὐλὸς τοῦ παιδικοῦ ὀξύτερος. Μάλιστα δὲ καὶ φυλακῆς δέονται περὶ τὸν χρόνον τοῦτον· μάλιστα γὰρ ὁρμῶσι πρὸς [f] τὴν τῶν ἀφροδισίων χρῆσιν ἀρχομένων αὐτῶν, ὥστε ἂν [g] μὴ διευλαβηθῶσι μηθὲν ἐπὶ [h] πλεῖον [i] κινῆσαι [k] οὗ αὐτὰ τὰ σώματα [l] μεταβάλλει μηθὲν χρωμένων ἀφροδισίοις, ἀκολουθεῖν

[m] τοῖς δ' ἀπεχομένοις Da. [n] ἂν Aa. [o] καὶ om. Da. [p] διαμένειν Aa. [q] μασθῶν P.Da. [r] γίνεσθαι Aa. [s] μασθῶν P. [t] οὖσι γίνεται νέοις Aa.Da. [v] μᾶλλον] πάνυ P. [w] αὔξιν Ca, αὔξησιν Aa.Da. [x] ἰσχαίνει Aa. [y] μασθῶν P. [z] ταῖς] τοῖς Da. [a] περὶ om. Aa. [b] ὀξυφωνέστερον Ca. [c] οἱ om. P.Aa.Ca. [d] ὀξυτέρα ἡ φωνὴ Da. [e] ἡ om. P.Da. [f] τὴν—αὐτῶν] τὸν ἀφροδισιασμόν P. [g] μὴ διευλ.] ἤδη εὐλ. P.Aa.Ca. [h] πλέον Aa. [i] κινεῖσθαι Aa, κινεῖν P.Da. [k] οὗ] ἕως οὗ Aa, ἢ ὅσον P.Da. [l] μεταβάλῃ Aa.

Digitized by Google

εἴωθεν εἰς τὰς ὕστερον ἡλικίας. Αἵ τε γὰρ νέαι πάμπαν 9
ἀφροδισιαζόμεναι ἀκολαστότεραι γίνονται καὶ οἱ ἄρρενες,
ἐάν τ' ἐπὶ θάτερα ἐάν τ' ἐπ' ἀμφότερα ἀφυλακτήσωσιν· οἵ
τε γὰρ [m]πόροι ἀναστομοῦνται, καὶ ποιοῦσιν εὔρουν τὸ σῶμα
ταύτῃ· καὶ ἅμα ἡ τότε μνήμη τῆς συμβαινούσης ἡδονῆς ἐπι-
θυμίαν ποιεῖ τῆς τότε γινομένης ὁμιλίας. Γίνονται δέ τινες 10
ἄνηβοι ἐκ γενετῆς καὶ ἄγονοι διὰ τὸ πηρωθῆναι περὶ [n]τὸν
τόπον τὸν γόνιμον· ὁμοίως δὲ καὶ γυναῖκες γίνονται ἄνηβοι
ἐκ γενετῆς. Μεταβάλλουσι δὲ καὶ τὰς ἕξεις καὶ τὰ ἄρρενα 11
καὶ τὰ θήλεα περί [o]τε τὸ ὑγιεινότερα εἶναι [p]καὶ νοσερώτερα,
καὶ περὶ τὴν τοῦ σώματος ἰσχνότητα καὶ παχύτητα καὶ
[q]εὐτροφίαν· μετὰ γὰρ τὴν ἥβην οἱ μὲν ἐξ ἰσχνῶν παχύνον-
ται καὶ ὑγιεινότεροι γίνονται, οἱ δὲ τοὐναντίον· ὁμοίως δὲ
τοῦτο συμβαίνει καὶ ἐπὶ τῶν παρθένων. [v]Ὅσοι μὲν γὰρ 12
παῖδες ἢ ὅσαι παρθένοι [r]περιττωματικὰ τὰ σώματα εἶχον,
συναποκρινομένων τῶν τοιούτων τοῖς μὲν ἐν τῷ σπέρματι
[s]ταῖς δ' ἐν τοῖς καταμηνίοις ὑγιεινότερα τὰ σώματα γίνεται
καὶ εὐτραφέστερα, ἐξιόντων τῶν ἐμποδιζόντων τὴν ὑγίειαν
καὶ τὴν τροφήν· [t]ὅσοι δὲ τοὐναντίον, ἰσχνότερα καὶ [v]νοσε-
ρώτερα τὰ σώματα γίνεται· ἀπὸ γὰρ τῆς φύσεως καὶ τῶν
καλῶς ἐχόντων ἡ ἀπόκρισις γίνεται τοῖς μὲν ἐν τῷ σπέρματι
ταῖς δ' ἐν τοῖς καταμηνίοις. [u]Ἔτι δὲ ταῖς [w]γε παρθένοις 13
καὶ τὰ περὶ [x]τοὺς μαστοὺς γίνεται διαφερόντως [y]ἑτέραις
πρὸς ἑτέρας· αἱ μὲν γὰρ πάμπαν [z]μεγάλους ἴσχουσιν, αἱ
δὲ μικρούς. [a]Ὡς ἐπὶ τὸ πολὺ δὲ συμβαίνει τοῦτο, ὅσαι ἂν 14
παῖδες [a]οὖσαι περιττωματικαὶ ὦσιν· μελλόντων γὰρ καὶ
οὔπω γινομένων τῶν γυναικείων, ὅσῳ ἂν πλείων [b]ἡ ὑγρότης
[c]ᾖ, τοσούτῳ μᾶλλον ἀναγκάζει αἵρεσθαι ἄνω, ἕως ἂν καταρ-

[m] σπόροι A[a]. [n] τὸν τρόπον τὸν γόνιμον A[a], τὸν γόνιμον τόπον P. [o] τε om. D[a]. [p] καὶ περὶ τὸ νοσερώτερα P.C[a], καὶ περὶ τὸ νοσώτερον A[a]. [q] εὐτραφίαν A[a]. [r] περιττωματικὰ intp: codices περιττώματα κατὰ. [s] τοῖς P.C[a]. [t] ὅσοις A[a].C[a].D[a]. [v] νοσακερώτερα C[a]. [w] γε] τε A[a], om. D[a]. [x] τοὺς μασθοὺς P, τοῦ μασθοῦ pr. A[a], τοῦ μασθοῦ C[a]. [y] ἑτέραις] ἕτερα P. [z] μεγάλως ἔχουσιν A[a]. [a] οὖσαι] ὦσι P.C[a]. οὖσαι περιττωματικαὶ om. pr. A[a]. [b] ἡ om. D[a]. [c] ᾖ om. P.A[a].C[a].

Digitized by Google

ραγῇ· ὥστε [d]τότε λαβόντες ὄγκον οἱ [e]μαστοὶ διαμένουσι
15 καὶ εἰς τὸ ὕστερον. Καὶ τῶν ἀρρένων δὲ ἐπιδηλότεροι γί-
νονται καὶ γυναικικώτεροι [f]οἱ μαστοί, καὶ νεωτέροις καὶ
πρεσβυτέροις οὖσι, τοῖς ὑγροῖς καὶ λείοις καὶ μὴ φλεβώδεσι,
16 καὶ τούτων μᾶλλον τοῖς μέλασιν [g]ἢ λευκοῖς. Μέχρι μὲν οὖν
τῶν [h]τρὶς ἑπτὰ ἐτῶν [i]τὸ μὲν πρῶτον ἄγονα τὰ σπέρματά
ἐστιν· ἔπειτα [k]γόνιμα μὲν μικρὰ δὲ καὶ ἀτελῆ γεννῶσι καὶ
οἱ νέοι καὶ αἱ νέαι, ὥσπερ καὶ ἐπὶ τῶν ἄλλων ζῴων τῶν
πλείστων. Συλλαμβάνουσι μὲν [l]οὖν αἱ νέαι θᾶττον· ἐὰν
17 δὲ συλλάβωσιν, ἐν τοῖς τόκοις [m]πονοῦσι μᾶλλον. Καὶ τὰ
σώματα δ' αὐτῶν ἀτελέστερα γίνεται ὡς ἐπὶ τὸ πολὺ καὶ
γηράσκει θᾶττον, τῶν τ' ἀφροδισιαστικῶν ἀρρένων καὶ τῶν
γυναικῶν τῶν τοῖς τόκοις χρωμένων πλείοσιν· δοκεῖ γὰρ οὐδ'
18 ἡ αὔξησις ἔτι γίνεσθαι μετὰ τοὺς τρεῖς τόκους. Καθίστανται
δὲ καὶ σωφρονίζονται μᾶλλον ὅσαι τῶν γυναικῶν ἀκόλαστοι
πρὸς τὴν ὁμιλίαν εἰσὶ τὴν τῶν ἀφροδισίων, ὅταν
[n]τοῖς τόκοις χρήσωνται πολλοῖς. Μετὰ δὲ τὰ τρὶς ἑπτὰ
ἔτη αἱ μὲν γυναῖκες πρὸς τὰς τεκνογονίας ἤδη εὐκαίρως ἔχου-
19 σιν, οἱ δ' ἄνδρες ἔτι ἔχουσιν ἐπίδοσιν. [q]Ἔστι δὲ τὰ μὲν
λεπτὰ τῶν σπερμάτων ἄγονα, τὰ δὲ χαλαζώδη γόνιμα καὶ
[o]ἀρρενογόνα μᾶλλον· τὰ δὲ λεπτὰ καὶ μὴ θρομβώδη [o]θηλυ-
γόνα. Καὶ [p]τοῦ γενείου δὲ τρίχωσις συμβαίνει [q]τοῖς ἄρρεσι
περὶ τὴν ἡλικίαν ταύτην.

2 [r]Ἡ δὲ τῶν γυναικείων ὁρμὴ γίνεται περὶ φθίνοντας τοὺς
μῆνας· διὸ φασί τινες τῶν σοφιζομένων καὶ τὴν σελήνην
εἶναι θῆλυ, ὅτι ἅμα συμβαίνει ταῖς μὲν ἡ κάθαρσις τῇ δ' ἡ
φθίσις καὶ μετὰ τὴν κάθαρσιν καὶ τὴν φθίσιν ἡ πλήρωσις
ἀμφοῖν. Καὶ ταῖς μὲν συνεχῶς καθ' ἕκαστον ὀλιγάκις τὰ
καταμήνια φοιτᾷ, παρὰ [r]δὲ μῆνα τρίτον ταῖς πλείσταις.
2 [v]Ὅσαις μὲν οὖν ὀλίγον χρόνον γίνεται, δύο ἢ τρεῖς ἡμέρας,

[d] λαβόντες ὄγκον τότε Da. [e] μασθοὶ P.Aa. [f] οἱ μασθοὶ P, om. Da. [g] ἢ om. Aa.Ca. [h] δὶς Da. [i] τὰ μὲν πρῶτα P. [k] γόνιμα] ἔγγονα P. [l] οὖν om. Aa. [m] πονοῦσι—sect. 17. τόκοις om. pr. Aa. [n] τοῖς om. Da. [o] ἀρρενόγονα et θηλύγονα P.Ca. [p] τοῦ om. Aa.Da. [q] τοῖς ἄρρεσι om. Ca.Da. [r] μῆνα δὲ P.Ca.Da.

Digitized by Google

[s]ἀπαλλάττουσι [t]ῥᾷον, ὅσαις δὲ [v]πολλάς, χαλεπώτερον. Πονοῦσι γὰρ τὰς ἡμέρας ταύτας· ταῖς μὲν γὰρ [w]ἀθρόα [x]ἡ κάθαρσις γίνεται ταῖς δὲ κατ' ὀλίγον, τὸ δὲ σῶμα βαρύνεται πάσαις, ἕως ἂν ἐξέλθῃ. Πολλαῖς δὲ καὶ ὅταν ὁρμᾷ τὰ 3 καταμήνια καὶ μέλλῃ [y]ῥήγνυσθαι, πνιγμοὶ γίνονται καὶ ψόφος ἐν ταῖς ὑστέραις, ἕως ἂν ῥαγῇ. Φύσει μὲν οὖν ἡ σύλληψις γίνεται μετὰ τὴν τούτων ἀπαλλαγὴν ταῖς γυναιξίν· καὶ ὅσαις μὴ γίνεται ταῦτα, ὡς ἐπὶ τὸ πολὺ ἄτεκνοι διατελοῦσιν. Οὐ μὴν ἀλλὰ καὶ μὴ γινομένων τούτων ἔνιαι συλ- 4 λαμβάνουσιν, [z]ὅσαις συναθροίζεται ἱκμὰς τοσαύτη ὅση ταῖς [a]γειναμέναις ὑπολείπεται μετὰ τὴν κάθαρσιν, ἀλλὰ μὴ ὥστε καὶ θύραζε [b]ἐξιέναι. Καὶ γινομένων ἔτι ἔνιαι συλλαμβάνουσιν· ὕστερον δ' οὐ συλλαμβάνουσιν, ὅσαις [c]εὐθὺς μετὰ τὴν κάθαρσιν αἱ ὑστέραι συμμύουσιν. Γίνεται δ' ἐνίαις καὶ 5 κυούσαις διὰ τέλους τὰ γυναικεῖα· συμβαίνει μέντοι [d]ταύταις φαῦλα τίκτειν, καὶ ἢ μὴ σώζεσθαι εἰς αὔξην ἢ ἀσθενῆ τὰ [e]ἔκγονα γίγνεσθαι. Πολλαῖς δὲ καὶ διὰ τὸ δεῖσθαι τῆς 6 συνουσίας ἢ διὰ τὴν νεότητα καὶ τὴν ἡλικίαν, ἢ διὰ τὸ χρόνον ἀπέχεσθαι πολύν, καταβαίνουσιν αἱ ὑστέραι κάτω, καὶ τὰ γυναικεῖα γίνεται πολλάκις τρὶς τοῦ μηνός, ἕως ἂν συλλάβωσιν· [f]τότε δ' [g]ἀπέρχονται πάλιν εἰς τὸν ἄνω τόπον τὸν οἰκεῖον. [1]Ἐνίοτε δὲ [h]κἂν συμβῇ ἔχουσα, τύχῃ δ' ὑγρὰ οὖσα, 7 ἀποφυσᾷ τοῦ σπέρματος τὸ ὑγρότερον. Πάντων δὲ τῶν ζῴων, ὥσπερ εἴρηται καὶ πρότερον, ταῖς γυναιξὶ μᾶλλον τῶν ἄλλων θηλειῶν ἡ κάθαρσις γίνεται πλείστη. Τοῖς μὲν 8 [i]γὰρ [k]μὴ ζῳοτοκοῦσιν οὐθὲν τοιοῦτον [l]ἐπισημαίνει διὰ τὸ τὴν περίττωσιν ταύτην τρέπεσθαι εἰς τὸ σῶμα (μεῖζω τε γὰρ ἔνια τῶν ἀρρένων ἐστί, καὶ ἔτι τοῖς μὲν εἰς φολίδας τοῖς δ' εἰς [m]λεπίδας τοῖς δ' εἰς τὸ τῶν πτερῶν [n]ἀναλίσκεται

[s] ἀπαλλάττουσι—ἡμέρας om. P. [t] ῥάδιον A[a]. [v] πολλαῖς A[a].C[a]. [w] ἀθρόως A[a].C[a]. [x] γίνεται ἡ κάθαρσις D[a]. [y] ῥήγνυσθαι] γίγνεσθαι D[a]. [z] ὅσαις—ἔνιαι συλλαμβάνουσιν om. A[a]. [a] γιγνομέναις C[a]. [b] ἐξιόντων καὶ γεινομένων D[a]. [c] εὐθὺ P.A[a].C[a]. [d] αὐταῖς P.D[a]. [e] ἔγγονα P. [f] τότε] ὅταν A[a] C[a]. [g] ἀπέρχωνται A[a]. [h] καὶ P, κἂν μὴ D[a]. [i] γὰρ om. A[a].C[a]. [k] μὴ om. P.A[a].C[a]. [l] ἐπισυμβαίνει C[a].D[a]. [m] λοπίδας P. [n] ἁλίσκεται A[a].C[a].

Digitized by Google

πλῆθος), τοῖς δὲ πεζοῖς καὶ ζφοτόκοις εἴς τε τὰς τρίχας καὶ τὸ σῶμα (λεῖον γὰρ ἄνθρωπός ἐστι [o] μόνον) καὶ εἰς τὰ οὖρα (παχεῖαν γὰρ τὰ πλεῖστα καὶ πολλὴν τὰ τοιαῦτα ποιεῖται τὴν ἔκκρισιν)· ταῖς δὲ γυναιξὶν ἀντὶ τούτων τρέπεται
9 τὸ περίττωμα εἰς τὴν κάθαρσιν. Ὁμοίως δ' ἔχει [p] τοῦτο καὶ ἐπὶ τῶν ἀρρένων· πλεῖστον γὰρ ὡς κατὰ τὸ μέγεθος ἀφίησι σπέρμα τῶν ἄλλων ζῴων ἄνθρωπος (διὸ καὶ [q] λειότατον τῶν ζῴων [r] ἐστὶν ἄνθρωπος), καὶ αὐτῶν δ' οἱ ὑγρότεροι τὰς φύσεις καὶ μὴ [s] πολύσαρκοι λίαν, καὶ οἱ λευκότεροι
10 δὲ τῶν μελάνων. Καὶ ἐπὶ γυναικῶν δὲ τὸν αὐτὸν τρόπον· ταῖς γὰρ εὐσάρκοις πορεύεται εἰς τὴν τροφὴν τοῦ σώματος τὸ πολὺ τῆς ἐκκρίσεως. Καὶ ἐν ταῖς ὁμιλίαις δὲ τῶν ἀφροδισίων αἱ λευκότεραι τὴν φύσιν ἐξικμάζουσι μᾶλλον τῶν [t] μελαινῶν. [v] Ποιεῖ δὲ τῆς τροφῆς τὰ ὑγρὰ καὶ δριμέα τοιαύτην τὴν ὁμιλίαν μᾶλλον.

3 Γίνεται δὲ σημεῖον τοῦ συνειληφέναι ταῖς γυναιξίν, ὅταν εὐθὺς γένηται μετὰ τὴν ὁμιλίαν ὁ τόπος ξηρός. [n] Ἂν μὲν οὖν [w] λεῖα τὰ χείλη ᾖ τοῦ στόματος, οὐ θέλει [x] συλλαμβάνειν (ἀπολισθαίνει γάρ), οὐδ' ἂν παχέα· ἂν δ' ἀπτομένῳ τῷ δακτύλῳ τραχύτερα ᾖ καὶ ἀντέχηται, καὶ [y] ἂν λεπτὰ τὰ
2 χείλη, τότε εὐκαίρως ἔχει πρὸς τὴν σύλληψιν. Πρὸς μὲν οὖν τὸ συλλαμβάνειν τοιαύτας δεῖ κατασκευάζειν τὰς ὑστέρας, πρὸς δὲ τὸ μὴ συλλαμβάνειν τοὐναντίον· [z] ἂν γὰρ ᾖ λεῖα τὰ χείλη, οὐ συλλαμβάνει· διὸ [a] ἔνιαι [b] τῆς μήτρας πρὸς ὃ πίπτει τὸ σπέρμα, ἀλείφουσιν ἐλαίῳ κεδρίνῳ ἢ [c] ψι-
3 μυθίῳ ἢ [d] λιβανωτῷ, διέντες ἐλαίῳ. [1] Ἐὰν δὲ ἑπτὰ ἐμμείνῃ ἡμέρας, φανερὸν ὅτι εἴληπται· αἱ γὰρ καλούμεναι [e] ἐκρύσεις ἐν ταύταις γίνονται ταῖς ἡμέραις. Αἱ δὲ καθάρσεις φοιτῶσι ταῖς πλείσταις ἐπί τινα χρόνον συνειληφυίαις, ἐπὶ μὲν τῶν

[o] μᾶλλον A^a. [p] τούτοις D^a. [q] τελειότατον P.A^a.C^a. [r] ἐστὶν ὁ ἄνθρωπος P. [s] π. λεῖοι καὶ λευκότεροι τῶν D^a. [t] μελάνων A^a.C^a. [v] ποιεῖται A^a. [w] λεῖα om. pr. A^a. [x] post συλλαμβάνειν C^a. λεπτὰ δὲ οὐκ εὔχρηστα, A^a. λευκὰ οὐκ εὔχρηστα. [y] ἐὰν C^a. [z] ἐὰν C^a. [a] ἔνιοι A^a.C^a.D^a. [b] τῆς—πίπτει] διὰ τὸ τῆς μήτρας πρόσω προσπίπτειν P.A^a.C^a. [c] ψιμμυθίῳ P. [d] λιβωτῷ A^a. [e] ἐκρίσεις P.

Digitized by Google

θηλειῶν τριάκονθ' [f] ἡμέρας μάλιστα, περὶ [g] δὲ τετταράκοντα ἐπὶ τῶν ἀρρένων. Καὶ μετὰ τοὺς τόκους δ' [h] αἱ καθάρσεις 4 βούλονται τὸν αὐτὸν ἀριθμὸν ἀποδιδόναι [i] τοῦτον, οὐ μὴν ἐξακριβοῦσί γε πάσαις ὁμοίως. Μετὰ δὲ τὴν σύλληψιν [k] καὶ τὰς ἡμέρας τὰς εἰρημένας οὐκέτι κατὰ φύσιν, ἀλλ' εἰς τοὺς [l] μαστοὺς τρέπεται καὶ γίνεται γάλα. [t]Επισημαίνει δὲ τὸ πρῶτον μικρόν [m] τε καὶ ἀραχνιῶδες τὸ γάλα ἐν τοῖς [l] μαστοῖς. [v]Οταν δὲ συλλάβωσιν, αἴσθησις μάλιστα [n] ἐγγί- 5 νεται ἔν τε ταῖς λαγόσιν· ἐνίαις γὰρ γίνονται πληρέστεραι εὐθύς· μᾶλλον δ' ἐπιδήλως τοῦτο συμβαίνει ταῖς ἰσχναῖς. Καὶ [o] ἐν τοῖς βουβῶσιν ἐπὶ [p] μὲν τῶν ἀρρένων ὡς ἐπὶ τὸ πολὺ ἐν τῷ δεξιῷ μᾶλλον περὶ τὰς τετταράκοντα γίνεται ἡ κίνησις, τῶν δὲ θηλειῶν ἐν τῷ ἀριστερῷ περὶ [q] ἐνενήκονθ' ἡμέρας. Οὐ μὴν ἀλλ' ἀκρίβειάν γε τούτων οὐδεμίαν ὑπο- 6 ληπτέον· πολλαῖς γὰρ θηλυτοκούσαις ἡ κίνησις ἐν τῷ δεξιῷ γίνεται, καὶ ταῖς ἐν τῷ ἀριστερῷ ἄρρεν· ἀλλὰ [r] καὶ ταῦτα καὶ τὰ τοιαῦτα πάντα διαφέρει ὡς ἐπὶ τὸ πολὺ [s] τῷ μᾶλλον [t] καὶ ἧττον. Περὶ δὲ τοῦτον τὸν χρόνον [v] καὶ σχίζεται τὸ κύημα· [w] τὸν δ' ἔμπροσθεν ἄναρθρον συνέστηκε κρεῶδες. Καλοῦνται δ' [x] ἐκρύσεις μὲν αἱ μέχρι τῶν ἑπτὰ ἡμερῶν δια- 7 φθοραί, ἐκτρωσμοὶ δ' αἱ μέχρι τῶν τετταράκοντα· καὶ πλεῖστα διαφθείρεται τῶν κυημάτων ἐν ταύταις ταῖς ἡμέραις. Τὸ μὲν οὖν ἄρρεν ὅταν ἐξέλθῃ [y] τετταρακοσταῖον, ἐὰν μὲν 8 εἰς ἄλλο τι ἀφῇ τις, διαχεῖταί τε καὶ ἀφανίζεται, ἐὰν δ' εἰς ψυχρὸν ὕδωρ, συνίσταται οἷον ἐν ὑμένι· τούτου δὲ [z] διακνι- σθέντος φαίνεται τὸ ἔμβρυον τὸ μέγεθος ἡλίκον μύρμηξ τῶν μεγάλων, τά τε [a] μέλη δῆλα, τά τε ἄλλα πάντα καὶ

[f] ἡμέραις Aª. [g] τετταράκοντα δὲ P.Cª.Dª. [h] αἱ om. P.Cª. [i] τοῦτον Schneiderus: codices τούτων. [k] καὶ τὰς εἰρημένας ἡμέρας P. [l] μασθοὺς et mox μασθοῖς P.Aª. [m] τε] τι Aª. [n] γίνεται ἐν ταῖς Dª. [o] ἐν] ἐπὶ P.Dª. [p] μὲν οὖν τῶν Dª. [q] ἐννενήκονθ' Cª. [r] καὶ ante ταῦτα om. Dª. [s] τῷ] κατὰ τὸ Dª, καὶ τὸ P, καὶ τῷ Aª. [t] καὶ τὸ ἧττον Dª. [v] καὶ σχίζεται] οὐχίζεται Aª. [w] τὸν] τὸ Aª.Cª. [x] ἐκκρίσεις P. [y] τετ- ταρακοστιαῖον Aª, τεσσαρακοσταῖον Cª. [z] διακνηθέντος Cª, διαχυθέντος P, διασχισθέντος Aª. [a] μέρη Cª.Dª.

Digitized by Google

τὸ αἰδοῖον, καὶ οἱ ὀφθαλμοὶ καθάπερ ἐπὶ τῶν ἄλλων ζῴων
9 μέγιστοι. Τὸ δὲ θῆλυ, ὅ τι μὲν ἂν διαφθαρῇ ἐντὸς τῶν
[b] τριῶν μηνῶν, ἀδιάρθρωτον ὡς ἐπὶ τὸ πολὺ φαίνεται· ὅ τι
δ' ἂν ἐπιλάβῃ τοῦ τετάρτου μηνός, γίνεται ἐσχισμένον καὶ
10 διὰ ταχέων λαμβάνει τὴν ἄλλην διάρθρωσιν. [c] Τέως μὲν
οὖν πᾶσαν τὴν τελείωσιν τῶν μορίων βραδύτερον [d] ἀπολαμ-
βάνει τὸ θῆλυ τοῦ ἄρρενος, καὶ δεκάμηνα γίνεται μᾶλλον
τῶν ἀρρένων· [e] ὅταν δὲ γένηται, θᾶττον τὰ θήλεα τῶν ἀρρέ-
νων καὶ νεότητα καὶ ἀκμὴν λαμβάνει καὶ γῆρας, καὶ μᾶλλον
αἱ [f] πλείοσι χρώμεναι τόκοις, ὥσπερ εἴρηται πρότερον.

4 [v] Ὅταν δὲ συλλάβῃ ἡ ὑστέρα τὸ σπέρμα, εὐθὺς συμμύει
ταῖς πολλαῖς, μέχρι γένωνται ἑπτὰ μῆνες· τῷ δ' ὀγδόῳ
χάσκουσιν· καὶ τὸ ἔμβρυον, ἐὰν ᾖ γόνιμον, προκαταβαίνει
2 τῷ ὀγδόῳ μηνί. Τὰ δὲ μὴ γόνιμα ἀλλ' [g] ἀποπεπνιγμένα
ὀκτάμηνα ἐν τοῖς τόκοις [h] οὐκ ἐκφέρουσιν ὀκτάμηνοι αἱ γυ-
ναῖκες, οὔτε προκαταβαίνει κάτω τὰ ἔμβρυα τῷ ὀγδόῳ μηνί,
οὔτε αἱ ὕστεραι ἐν τῷ χρόνῳ τούτῳ χάσκουσιν· ἀλλὰ σημεῖον
ὅτι οὐ γόνιμον, ἐὰν γένηται μὴ [i] συμπεσόντων τῶν
3 εἰρημένων. Μετὰ δὲ τὰς συλλήψεις αἱ γυναῖκες βαρύνονται
τὸ σῶμα πᾶν, καὶ [k] σκότοι πρὸ τῶν ὀμμάτων καὶ ἐν τῇ κε-
φαλῇ γίνονται πόνοι. Ταῦτα δὲ ταῖς μὲν θᾶττον καὶ σχε-
δὸν [l] δεκαταίαις γίνεται, ταῖς δὲ [m] βραδύτερον, ὅπως ἂν τύ-
χωσιν οὖσαι τῷ περιττωματικαὶ εἶναι μᾶλλον καὶ ἧττον.
4 [n] Ἔτι δὲ ναυτίαι καὶ [n] ἔμετοι λαμβάνουσι τὰς πλείστας, καὶ
μάλιστα τὰς τοιαύτας, ὅταν αἵ τε καθάρσεις στῶσι καὶ
μήπω εἰς τοὺς [o] μαστοὺς τετραμμέναι ὦσιν. [v] Ἔνιαι μὲν οὖν
ἀρχόμεναι μᾶλλον πονοῦσι τῶν γυναικῶν, ἔνιαι δ' ὕστερον,
ἤδη τοῦ κυήματος ἔχοντος αὔξησιν μᾶλλον· πολλαῖς δὲ καὶ
5 πολλάκις [p] καὶ στραγγουρίαι γίνονται τὸ τελευταῖον. [b] Ὡς
μὲν οὖν ἐπὶ τὸ πολὺ ῥᾳον ἀπαλλάττουσιν αἱ τὰ ἄρρενα κύ-

[b] τριῶν om. D[a]. [c] τέως Camotiana, ἕως P.A[a].C[a], ἐν ᾧ D[a]. [d] ἀπολαμβάνῃ C[a]. [e] ὅταν—ἀρρένων om. C[a]. [f] χρώμεναι πλείοσι P.D[a]. [g] ἀποπνιγμένα P, ἀποπνιγόμενα D[a]. [h] οὐκ] μὴ A.P, ἃ μὴ C[a]. [i] πεσόντων A[a]. [k] σκότος C[a]. [l] δακετίαις A[a]. [m] βαρύτερον P.A[a]. [n] ἐμετοὶ A[a].C[a]. [o] μασθοὺς P.A[a]. [p] καὶ alterum om. D[a].

Digitized by Google

ουσαι καὶ μᾶλλον [q] μετ' εὐχροίας διατελοῦσιν, ἐπὶ δὲ τῶν θηλειῶν τοὐναντίον· ἀχρούστεραί [r] τε γὰρ ὡς ἐπὶ τὸ πολύ, καὶ βαρύτερον διάγουσι, καὶ πολλαῖς περὶ τὰ σκέλη οἰδήματα καὶ ἐπάρσεις γίνονται τῆς σαρκός· οὐ μὴν [s] ἀλλ' ἐνίαις γίνεται καὶ τἀναντία τούτων. Εἰώθασι δὲ ταῖς κυούσαις 6 [t] αἱ ἐπιθυμίαι γίνεσθαι παντοδαπαὶ καὶ μεταβάλλειν ὀξέως, ὃ καλοῦσί τινες κισσᾶν· καὶ ἐπὶ τῶν θηλειῶν ὀξύτεραι μὲν αἱ ἐπιθυμίαι, [v] παραγινομένων δὲ ἧττον δύνανται ἀπολαύειν. [w] Ὀλίγαις δέ τισι συμβαίνει [x] βέλτιον ἔχειν τὸ σῶμα κυούσαις. Μάλιστα δὲ ἀσῶνται, ὅταν ἄρχωνται τὰ παιδία τρίχας [x] ποιεῖν. Αἱ δὲ τρίχες ταῖς μὲν κυούσαις αἱ μὲν συγγε- 7 νεῖς γίνονται ἐλάττους καὶ [y] ῥέουσιν, ἐν οἷς δὲ [z] μὴ εἰώθασιν ἔχειν τρίχας, ταῦτα δασύνεται μᾶλλον. Καὶ κίνησιν δὲ παρέχεται ἐν τῷ σώματι μᾶλλον ὡς ἐπὶ τὸ πολὺ τὸ ἄρρεν τοῦ θήλεος, καὶ τίκτεται θᾶττον, τὰ δὲ θήλεα βραδύτερον. Καὶ ὁ πόνος ἐπὶ μὲν τοῖς θήλεσι συνεχὴς καὶ νωθρότερος, 8 ἐπὶ δὲ τοῖς ἄρρεσιν ὀξὺς μέν, πολλῷ δὲ χαλεπώτερος. Αἱ δὲ πλησιάζουσαι πρὸ τῶν τόκων τοῖς [a] ἀνδράσι θᾶττον τίκτουσιν. Δοκοῦσι δ' ὠδίνειν αἱ γυναῖκες ἐνίοτε οὐ γινομένης ὠδῖνος, ἀλλὰ διὰ τὸ τὴν κεφαλὴν στρέφειν τὸ ἔμβρυον φαίνεται ὠδῖνος ἀρχὴ τοῦτο γίνεσθαι. Τὰ μὲν οὖν ἄλλα 9 ζῷα μοναχῶς ποιεῖται τὴν τοῦ τόκου τελείωσιν· εἰς γὰρ ὥρισται τοῦ τόκου χρόνος πᾶσιν· ἀνθρώπῳ δὲ πολλοὶ μόνῳ τῶν ζώων· καὶ γὰρ ἑπτάμηνα καὶ ὀκτάμηνα καὶ ἐννεάμηνα γίνεται, καὶ δεκάμηνα τὸ [b] πλεῖστον· ἔνιαι δ' ἐπιλαμβάνουσι καὶ τοῦ ἑνδεκάτου μηνός. [v] Ὅσα μὲν οὖν [c] γίνεται πρότερα 10 τῶν ἑπτὰ μηνῶν, [d] οὐδὲν οὐδαμῇ δύναται ζῆν· τὰ δ' ἑπτάμηνα γόνιμα γίνεται πρῶτον, ἀσθενῆ δὲ τὰ πολλά (διὸ καὶ σπαργανοῦσιν ἐρίοις αὐτά), πολλὰ δὲ καὶ τῶν πόρων [e] ἐνίους ἔχοντα ἀσχίστους, οἷον ὤτων καὶ μυκτήρων· ἀλλ' ἐπαυξανο-

q διατελοῦσι μετ' εὐχροίας A[a]. r τε] τὸ P.A[a].C[a], om. D[a]. s ἀλλὰ καὶ ἐνίαις τε γίνεται P.A[a].C[a]. t αἱ om. D[a]. v περιγιγνομένων A[a]. w βελτίω P.A[a].C[a]. x ποιεῖν] φύειν D[a]. y ἐκρέουσιν D[a]. z μὴ om. C[a]. a ἄρρεσι C[a]. b πλεῖον P. c γίνεται πρότερον P, πρότερον γίνεται D[a]. d οὐδὲ A[a]. e ἐνίοις A[a].

Digitized by Google

μένοις διαρθροῦται, καὶ βιοῦσι πολλὰ καὶ τῶν τοιούτων.
11 Τὰ δ' ὀκτάμηνα περὶ μὲν Αἴγυπτον καὶ ἐν ἐνίοις τόποις, ὅπου εὐέκφοροι αἱ γυναῖκες καὶ φέρουσί τε πολλὰ ῥᾳδίως καὶ τίκτουσι, καὶ [f] γενόμενα δύναται ζῆν, κἂν τερατώδη γένηται, ἐνταῦθα μὲν ζῇ τὰ ὀκτάμηνα καὶ ἐκτρέφεται, ἐν δὲ τοῖς περὶ τὴν [t] Ἑλλάδα τόποις ὀλίγα πάμπαν σώζεται, τὰ δὲ πολλὰ ἀπόλλυται· καὶ διὰ τὴν ὑπόληψιν, κἂν σωθῇ τι, νομίζουσιν οὐκ ὀκτάμηνον εἶναι τὸ [g] γεγενημένον, ἀλλὰ λα-
12 θεῖν ἑαυτὰς αἱ γυναῖκες [h] συλλαβοῦσαι πρότερον. Πονοῦσι δ' αἱ γυναῖκες μάλιστα τὸν μῆνα τὸν τέταρτον καὶ τὸν ὄγδοον, καὶ ἐὰν διαφθείρωσι τετάρτῳ ἢ ὀγδόῳ μηνί, διαφθείρονται καὶ [i] αὐταὶ ὡς ἐπὶ τὸ πολύ, ὥστ' οὐ μόνον τὰ ὀκτάμηνα [k] οὐ ζῇ, ἀλλὰ καὶ διαφθειρομένων αἱ τίκτουσαι
13 κινδυνεύουσιν. Τὸν αὐτὸν [l] δὲ τρόπον δοκεῖ λανθάνειν καὶ ὅσα φαίνεται τίκτεσθαι πολυχρονιώτερα τῶν [m] ἕνδεκα μηνῶν· καὶ γὰρ τούτων ἡ τῆς συλλήψεως ἀρχὴ λανθάνει τὰς γυναῖκας· πολλάκις γὰρ πνευματικῶν [n] γενομένων ἔμπροσθεν τῶν ὑστερῶν, μετὰ ταῦτα πλησιάσασαι καὶ συλλαβοῦσαι ἐκείνην οἴονται τὴν ἀρχὴν εἶναι τῆς συλλήψεως, δι' ἣν ἐχρήσαντο τοῖς σημείοις [o] ὁμοίοις.

14 Τὸ δὲ δὴ πλῆθος τῶν τόκων τῆς τελειώσεως [p] παρὰ τἆλλα ζῷα τοῖς ἀνθρώποις ταύτην ἔχει τὴν διαφοράν· καὶ τῶν μὲν μονοτόκων ὄντων τῶν δὲ πολυτόκων, ἐπαμφοτερίζει τὸ γένος [q] τὸ τῶν ἀνθρώπων. Τὸ μὲν γὰρ πλεῖστον καὶ παρὰ τοῖς πλείστοις [r] ἓν τίκτουσιν αἱ γυναῖκες, πολλάκις δὲ καὶ πολλα-
15 χοῦ δίδυμα, οἷον καὶ περὶ Αἴγυπτον. Τίκτουσι δὲ καὶ τρία καὶ τέτταρα, περὶ ἐνίους μὲν καὶ σφόδρα τόπους, ὥσπερ [r] εἴρηται πρότερον. Πλεῖστα δὲ τίκτεται πέντε τὸν ἀριθμόν· ἤδη γὰρ ὤπται [s] τοῦτο καὶ ἐπὶ πλειόνων συμβεβηκός.

[f] γεννώμενα P.C[a].D[a]. [g] γεγεννημένον A[a]. [h] ξυμβάλλουσαι D[a]. συλλαβοῦσαι—γυναῖκες om. A[a].C[a], συλλαβοῦσαι—μάλιστα om. P. [i] αὗται plerique. [k] οὐ ante ζῇ om. C[a]. [l] δὲ om. C[a]. [m] ἐνδεκαμήνων P, δεκαμήνων D[a]. [n] γινομένων P.D[a]. [o] ὁμοίοις om. D[a]. [p] περὶ A[a]. [q] τὸ ante τῶν om. A[a]. [r] εἴρηται καὶ πρ. D[a]. [s] καὶ ἐπὶ πλ. τοῦτο D[a].

Digitized by Google

Μία δέ τις ἐν τέτταρσι τόκοις [t]ἔτεκεν εἴκοσιν· ἀνὰ πέντε γὰρ ἔτεκε, καὶ τὰ πολλὰ αὐτῶν ἐξετράφη. Ἐν μὲν οὖν 16
τοῖς ἄλλοις ζῴοις, κἂν ᾖ τὰ δίδυμα ἄρρεν καὶ θῆλυ, οὐθὲν
ἧττον ἐκτρέφεται [v]γενόμενα καὶ σώζεται τῶν ἀρρένων ἢ
θηλειῶν· ἐν δὲ τοῖς ἀνθρώποις ὀλίγα σώζεται τῶν διδύμων,
ἐὰν ᾖ τὸ μὲν θῆλυ τὸ δ' ἄρρεν. Δέχεται δ' οἰκείαν κύοντα 17
μάλιστα τῶν ζῴων [w]γυνὴ καὶ ἵππος· τὰ δ' ἄλλα ὅταν πλη-
ρωθῇ, φεύγει τοὺς ἄρρενας, ὅσα μὴ πέφυκεν ἐπικυΐσκεσθαι,
καθάπερ δασύπους. Ἀλλ' ἵππος μὲν ἂν συλλάβῃ τὸ πρῶ-
τον, οὐκ ἐπικυΐσκεται πάλιν, ἀλλ' ἓν τίκτει μόνον ὡς ἐπὶ τὸ
πολύ· ἐπ' ἀνθρώπῳ δ' ὀλίγα μέν, γέγονε δέ ποτε. Τὰ μὲν 18
οὖν ὕστερον πολλῷ χρόνῳ συλληφθέντα [x]οὐδὲν λαμβάνει
τέλος, ἀλλὰ πόνον παρασχόντα συνδιαφθείρει τὸ προϋπάρ-
χον (ἤδη γὰρ συνέβη γενομένης διαφθορᾶς καὶ δώδεκα [y]ἐκ-
πεσεῖν τὰ ἐπικυηθέντα)· ἐὰν δ' ἐγγὺς ἡ σύλληψις ἐγένετο,
[z]τὸ ἐπικυηθὲν ἐξήνεγκαν, καὶ τίκτουσιν ὥσπερ [a]δίδυμα γόνῳ,
καθάπερ καὶ τὸν [b]Ἰφικλέα καὶ τὸν [b]Ἡρακλέα [c]μυθολογοῦ-
σιν. Γέγονε [d]γὰρ καὶ τοῦτο φανερόν· μοιχευομένη γάρ 19
τις τὸ [e]μὲν τῶν τέκνων τῷ ἀνδρὶ ἐοικὸς ἔτεκε, τὸ δὲ τῷ
μοιχῷ. Ἤδη δὲ καὶ δίδυμα κύουσά τις ἐπεκύησε τρίτον,
γενομένου δὲ τοῦ χρόνου τοῦ καθήκοντος τὰ μὲν [f]τελεόγονα
[g]τῷ [h]χρόνῳ ἔτεκε, [i]τὸ δὲ πεντάμηνον· καὶ τοῦτ' ἀπέθανεν
εὐθύς. Καὶ ἑτέρᾳ δέ τινι συνέβη τεκούσῃ πρῶτον μὲν ἑπτά- 20
μηνον, ὕστερον δὲ δύο [k]τελεόμενα τεκεῖν· καὶ τούτων τὸ μὲν
ἐτελεύτησε, [l]τὰ δὲ ἐβίωσεν. Καὶ ἑκτιτρώσκουσαι δέ τινες
συνέλαβον ἅμα, καὶ τὸ μὲν [m]ἐξέβαλον τὸ δ' ἔτεκον. Ταῖς 21
δὲ πλείσταις, ἐὰν [n]συγγένωνται κυούσαις μετὰ τὸν ὄγδοον
μῆνα, [o]περίπλεων μυξώδους τὸ παιδίον [p]ἐξέρχεται γλισχρό-
τητος. Καὶ τῶν ἐδεσμάτων δὲ τῶν προσφερομένων περί-

[t] ἔτεκεν] τέτοκεν A[a]. [v] γινόμενα P.D[a]. [w] ἡ γυνὴ P.A[a].C[a]. [x] οὐδὲ λαμβάνει τὸ τέλος A[a]. [y] ἐμπεσεῖν P.A[a]. [z] τὸ om. P.C[a].D[a]. et pr. A[a]. [a] δίδυμοι A[a]. [b] ἐφικλέα P. [c] καθομολογοῦσι A[a]. [d] γὰρ] δὲ C[a]. [e] μὲν ἓν τῶν D[a]. [f] τελεόγονα] γέγονὼ C[a], om. A[a]. [g] τῷ om. P.A[a].C[a]. [h] γόνῳ P.A[a]. [i] τὰ A[a].C[a]. [k] τελειόμενα C[a]. [l] τὸ A[a]. [m] ἐξέβαλλον P. [n] συγγίγνωνται P.A[a].C[a]. [o] περίπλεον P. [p] ἐξέρχεσθαι D[a].

Digitized by Google

πλεων [q] φαίνεται πολλάκις. Καὶ τῷ ἀλὶ δαψιλεστέρῳ χρησαμένων οὐκ ἔχοντα γίνεται τὰ παιδία ὄνυχας.

5 Τὸ δὲ γάλα τὸ γινόμενον πρότερον τῶν ἑπτὰ μηνῶν ἄχρηστόν ἐστιν· ἀλλ' ἅμα τά τε παιδία γόνιμα καὶ τὸ γάλα χρήσιμον. Τὸ δὲ πρῶτον καὶ ἁλμυρόν, ὥσπερ τοῖς προβάτοις. Μάλιστα δ' ἐν [r] ταῖς κυήσεσι τοῦ οἴνου αἰσθάνονται αἱ πλεῖσται· διαλύονταί τε γάρ, ἐὰν [s] πίωσι, καὶ ἀδυ-
2 νατοῦσιν. [t] Ἀρχὴ δὲ ταῖς γυναιξὶ [t] τοῦ τεκνοῦσθαι καὶ τοῖς ἄρρεσι [t] τοῦ τεκνοῦν, καὶ παῦλα ἀμφοτέροις, τοῖς μὲν ἡ τοῦ σπέρματος πρόεσις ταῖς δ' ἡ τῶν καταμηνίων, πλὴν οὔτ' ἀρχομένων γόνιμα εὐθὺς οὔτ' ἔτι ὀλίγων γιγνομένων καὶ ἀσθε-
3 νῶν. [u] Ἡλικία δὲ τῆς μὲν ἀρχῆς εἴρηται· παύεται δὲ ταῖς γυναιξὶ ταῖς μὲν πλείσταις τὰ καταμήνια περὶ τετταράκοντα ἔτη, αἷς δ' ἂν [v] ὑπερβάλῃ τὸν χρόνον τοῦτον, διαμένει μέχρι [w] τῶν πεντήκοντα ἐτῶν, καὶ ἤδη [x] τινὲς ἔτεκον· πλείω δὲ
6 χρόνον οὐδεμία. Οἱ [y] δ' ἄνδρες οἱ [z] μὲν πλεῖστοι γεννῶσι [a] μέχρι ἑξήκοντα ἐτῶν, ὅταν δ' [b] ὑπερβάλῃ ταῦτα, [c] μέχρι ἑβδομήκοντα· καὶ ἤδη [d] τινὲς γεγεννήκασιν ἑβδομήκοντα ἐτῶν ὄντες. Συμβαίνει δὲ πολλοῖς καὶ πολλαῖς γυναιξὶ καὶ ἀνδράσι μετ' ἀλλήλων μὲν συνεζευγμένοις μὴ δύνασθαι τεκνο-
2 ποιεῖσθαι, διαζευχθεῖσι δέ. Τὸ δ' αὐτὸ συμβαίνει καὶ περὶ ἀρρενογονίας καὶ θηλυγονίας· ἐνίοτε [e] γὰρ καὶ γυναῖκες καὶ ἄνδρες μετ' ἀλλήλων [f] μὲν ὄντες θηλυγόνοι εἰσὶν ἢ ἀρρενογόνοι, διεζευγμένοι δὲ γίνονται τοὐναντίον. Καὶ κατὰ τὴν ἡλικίαν δὲ μεταβάλλουσιν· νέοι μὲν ὄντες μετ' ἀλλήλων θήλεα γεννῶσι, πρεσβύτεροι δ' ἄρρενα· τοῖς δὲ καὶ ἐπὶ τού-
3 των συμβαίνει τοὐναντίον. Καὶ ἐπὶ τοῦ γεννᾶν δ' ὅλως τὸ αὐτό· νέοις μὲν οὖσιν οὐθὲν γίνεται, πρεσβυτέροις δέ· οἱ δὲ τὸ πρῶτον, ὕστερον [g] δὲ γεννῶσιν οὐδέν. Εἰσὶ δὲ καὶ τῶν

[q] φαίνεται om. pr. A^a. [r] τοῖς κύνδεσι A^a. [s] πίνωσι D^a. [t] τὸ—τὸ A^a. [v] ὑπερβάλλῃ P.D^a. [w] τῶν om. D^a. [x] τινὲς] δέ τινες P.C^a. [y] δ' om. P.A^a.C^a. [z] μὲν om. D^a. [a] μέχρις C^a. [b] ὑπερβάλλῃ P.D^a. [c] μέχρις C^a. [d] τινὲς] δέ τινες P.D^a. [e] γὰρ] δὲ C^a. [f] μὲν ὄντες] μένοντες P.A^a.C^a. [g] δὲ γεννῶσιν οὐδέν] οὐδὲ γεννῶσιν A^a, οὐδὲν γεννῶσιν C^a.

Digitized by Google

γυναικῶν τινὲς αἱ μόλις μὲν [h]συλλαμβάνουσιν, ἐὰν δὲ συλλάβωσιν, ἐκφέρουσιν· αἱ δὲ τοὐναντίον συλλαμβάνουσι μὲν ῥᾳδίως, οὐ δύνανται δ' ἐκφέρειν. Εἰσὶ δὲ καὶ ἄνδρες θηλυγόνοι 4
καὶ γυναῖκες ἀρρενογόνοι, οἷον καὶ κατὰ τοῦ [i]Ηρακλέους μυθολογεῖται, ὃς ἐν δύο καὶ ἑβδομήκοντα τέκνοις [i]θυγατέρα μίαν ἐγέννησεν. Αἱ δὲ μὴ δυνάμεναι συλλαμβάνειν ἐὰν ἢ διὰ θεραπείαν συλλάβωσιν ἢ δι' ἄλλην τινὰ σύμπτωσιν, ὡς ἐπὶ τὸ πολὺ θηλυτοκοῦσι μᾶλλον ἢ ἀρρενοτοκοῦσιν. Πολ- 5
λοῖς δὲ συμβαίνει καὶ τῶν [k]ἀνδρῶν δυναμένοις γεννᾶν ὕστερον [l]μὴ δύνασθαι, καὶ πάλιν καθίστασθαι εἰς αὐτό. Γίνονται δὲ καὶ ἐξ ἀναπήρων ἀνάπηροι, οἷον ἐκ χωλῶν χωλοὶ καὶ τυφλῶν τυφλοί, καὶ ὅλως τὰ παρὰ φύσιν ἐοικότες πολλάκις, καὶ σημεῖα ἔχοντες συγγενῆ, οἷον [m]φύματα καὶ οὐλάς. [n]Ἤδη 6
δ' ἀπέδωκε τῶν τοιούτων τι καὶ διὰ τριῶν, οἷον ἔχοντός τινος στίγμα ἐν τῷ βραχίονι ὁ μὲν υἱὸς οὐκ ἐγένετο ὁ δ' [n]υἱιδοῦς ἔχων ἐν τῷ αὐτῷ τόπῳ συγκεχυμένον μέλαν. [o]Ὀλίγα μὲν οὖν γίνεται τὰ τοιαῦτα, τὰ δὲ [o]πλεῖστα γίνεται ὁλόκληρα ἐκ κολοβῶν, καὶ οὐθὲν ἀποτέτακται [p]τούτων. Καὶ ἐοικότες δὲ τοῖς γεννήσασιν ἢ τοῖς ἄνωθεν γονεῦσιν, ὁτὲ δ' οὐδὲν οὐδενί. [q]Ἀποδίδωσι δὲ καὶ διὰ πλειόνων γενῶν, οἷον [q]ἐν Σικε- 7
λίᾳ [r]ἡ τῷ Αἰθίοπι μοιχευθεῖσα· ἡ μὲν γὰρ θυγάτηρ ἐγένετο οὐκ Αἰθίοψ, τὸ δ' ἐκ ταύτης. Καὶ ὡς μὲν ἐπὶ τὸ πολὺ [s]τὰ θήλεα ἔοικε τῇ μητρὶ μᾶλλον, τὰ δ' ἄρρενα τῷ πατρί· γίνεται δὲ [t]καὶ τοὐναντίον, τὰ μὲν θήλεα τῷ πατρί, τὰ δ' ἄρρενα τῇ μητρί. Καὶ κατὰ [v]μέρη δὲ γίνονται ἐοικότα [w]ἄλλα μέρη ἑκατέρων. Τὰ δὲ δίδυμα ἤδη μὲν ἐγένετο καὶ οὐκ ἐοι- 8
κότα ἀλλήλοις, τὰ [x]δὲ πλεῖστα καὶ ὡς ἐπὶ τὸ πολὺ ἐοικότα, ἐπεὶ καὶ μετὰ τὸν τόκον τις ἑβδομαία συγγενομένη καὶ [y]συλλαβοῦσα ἔτεκε τὸ ὕστερον τῷ [z]προτέρῳ ἐοικός, ὥσπερ δίδυ-

[h] συλλαμβάνουσαι A[a]. [i] μίαν θυγατέρα P, θυγατέρα μὲν A[a]. [k] ἀνδρῶν μὴ δυναμένοις C[a]. [l] μὴ] μὲν C[a]. [m] φῦμα A[a].C[a]. [n] ὑγιδοὺς P. [o] πλεῖστα οὐ γίνεται ἀλλ' ὀλ. D[a]. [p] τοῦτο P.A[a].C[a]. [q] ἐν Σικελίᾳ] ἔνια διὰ C[a]. [r] ἡ ante τῷ om. A[a].C[a]. [s] ἔοικε τὰ θήλεα A[a]. [t] καὶ om. C[a]. [v] μέρος δὲ γίνονται τὰ ἐοικότα A[a]. [w] ἀλλὰ C[a]. [x] δὲ] μὲν P.C[a], μέντοι D[a]. [y] συλλαμβάνουσα P.D[a]. [z] πρώτῳ A[a].

Digitized by Google

μον. Εἰσὶ δὲ καὶ γυναῖκες [a] ἐοικότα [b] αὐταῖς γεννῶσαι, αἱ δὲ τῷ ἀνδρί, [c] ὥσπερ ἡ ἐν Φαρσάλῳ ἵππος ἡ Δικαία καλουμένη.

7 [1] Ἐν δὲ τῇ τοῦ σπέρματος ἐξόδῳ πρῶτον μὲν [d] ἡγεῖται πνεῦμα (δηλοῖ δὲ [e] καὶ ἡ ἔξοδος ὅτι γίνεται ὑπὸ πνεύματος· οὐθὲν γὰρ ῥιπτεῖται πόρρω ἄνευ βίας πνευματικῆς)· ὅταν δὲ [f] λάβηται τὸ σπέρμα τῆς ὑστέρας καὶ ἐγχρονισθῇ, ὑμὴν πε-
2 ριίσταται. Φαίνεται γάρ, ὅταν πρὶν διαρθρωθῆναι ἐξέλθῃ, οἷον ᾠὸν ἐν ὑμένι περιεχόμενον ἀφαιρεθέντος τοῦ ὀστράκου· ὁ δ' ὑμὴν φλεβῶν μεστός. Πάντα δὲ [g] τὰ πλωτὰ καὶ [h] πτηνὰ καὶ πεζά, εἴτε ζῳοτοκεῖται [i] ἢ ᾠοτοκεῖται, ὁμοίως γίνεται· πλὴν [k] τὸν ὀμφαλὸν τὰ μὲν πρὸς τὴν ὑστέραν ἔχει [l] τὰ ζῳοτοκούμενα, τὰ δὲ πρὸς τῷ ᾠῷ, τὰ δ' ἀμφοτέρως, οἷον
3 ἐπὶ γένους τινὸς ἰχθύων. Καὶ τὰ μὲν περιέχουσιν [m] οἷον ὑμένες, τὰ δὲ [n] χόρια· καὶ πρῶτον μὲν τοῦ ἐσχάτου ἐντὸς γίνεται τὸ ζῷον, εἶθ' ὑμὴν περὶ τοῦτον ἄλλος, τὸ μὲν πλεῖστον [o] προσπεφυκὼς τῇ μήτρᾳ, τῇ δ' ἀφεστὼς καὶ ὕδωρ ἔχων. Μεταξὺ [p] δ' ὑγρότης [q] ὑδατώδης ἢ [r] αἱματώδης, ὁ καλούμενος ὑπὸ τῶν γυναικῶν πρόφορος.

8 Αὐξάνεται δὲ τὰ ζῷα πάντα, ὅσα ἔχει ὀμφαλόν, διὰ τοῦ ὀμφαλοῦ. [1] Ὁ δ' ὀμφαλός, ὅσα μὲν κοτυληδόνας ἔχει, πρὸς [s] τῇ κοτυληδόνι προσπέφυκεν, ὅσα δὲ λείαν ἔχει τὴν ὑστέραν,
2 πρὸς τῇ ὑστέρᾳ ἐπὶ φλεβός. Σχῆμα δ' ἔχει ἐν τῇ ὑστέρᾳ τὰ μὲν τετράποδα πάντα ἐκτεταμένα, καὶ τὰ ἄποδα [t] πλάγια, οἷον ἰχθύς, τὰ δὲ δίποδα συγκεκαμμένα, οἷον ὄρνις καὶ ἄνθρωπος [v] συγκεκαμμένος· [w] ῥῖνα μὲν μεταξὺ τῶν [x] γονά-
3 των, ὀφθαλμοὺς δ' ἐπὶ τοῖς γόνασιν, ὦτα δ' ἐκτός. [1] Ἔχει

[a] ἐοικότα] αἱ ἐοικότα C^a, αἱ ἐοικότες A^a. [b] ἑαυταῖς C^a. [c] ὥσπερ εἴρηται ἡ C^a. [d] ἡγοῦνται A^a. [e] καὶ om. P. [f] λάβῃ $A^a.C^a$. [g] τὰ] καὶ $P.A^a.C^a$. [h] πεζὰ καὶ πτηνὰ P. [i] ἢ ᾠοτοκεῖται om. P. [k] τῶν ὀμφαλῶν A^a. [l] τὰ post ἔχει om. C^a. [m] οἷον om. $P.D^a$. [n] χορίῳ περιέχονται· καὶ πρῶτον μὲν τοῦ ἐσχάτου χορίου ἐντὸς $P.D^a$. [o] προσπέφυκεν D^a. [p] δ'] δὲ ἡ $P.A^a$. [q] ὑδατώδης καὶ ἰχωρώδης ἢ $P.D^a$. [r] αἱματώδης καὶ ὠμματώδης ὁ P. [s] τῇ om. P. [t] πλάγιον A^a. [v] συγκεκαμμένως P. [w] ῥῖνα] καὶ ῥῖνα D^a. [x] γονάτων ἔχουσιν ὀφθαλμοὺς D^a.

Digitized by Google

δ' ὁμοίως πάντα τὰ ζῷα τὴν κεφαλὴν ἄνω τὸ πρῶτον· αὐξανόμενα δὲ καὶ πρὸς τὴν ἔξοδον ὁρμῶντα κάτω περιάγεται, καὶ ἡ [y]γένεσίς ἐστιν ἡ κατὰ φύσιν πᾶσιν ἐπὶ κεφαλήν· [y]συγκεκαμμένα δὲ καὶ ἐπὶ πόδας γίνεται παρὰ φύσιν. Τὰ δὲ 4
τῶν τετραπόδων ἔχει καὶ περιττώματα, ὅταν ἤδη [z]τέλεια ᾖ, καὶ ὑγρὸν καὶ [a]σφυράδας, [b]τὰς μὲν [c]ἐν τῷ ἐσχάτῳ τοῦ ἐντέρου, ἐν δὲ τῇ κύστει οὖρον. Τοῖς δ' ἔχουσι κοτυληδόνας ἐν τῇ μήτρᾳ τῶν ζῴων ἀεὶ ἐλάττους γίνονται αἱ κοτυληδόνες αὐξανομένου τοῦ ἐμβρύου, καὶ τέλος ἀφανίζονται. [t]Ὁ δ' 5
ὀμφαλός ἐστι κέλυφος περὶ φλέβας, ὧν ἡ ἀρχὴ ἐκ τῆς ὑστέρας ἐστί, τοῖς [d]μὲν ἔχουσι [e]τὰς κοτυληδόνας ἐκ τῶν κοτυληδόνων, τοῖς δὲ μὴ ἔχουσιν ἀπὸ φλεβός. Εἰσὶ δὲ τοῖς μὲν μείζοσιν, οἷον τοῖς τῶν βοῶν ἐμβρύοις, τέτταρες αἱ φλέβες, τοῖς δ' ἐλάττοσι δύο, τοῖς δὲ πάμπαν μικροῖς, οἷον ὄρνισι, μία φλέψ. Τείνουσι δ' εἰς τὰ ἔμβρυα αἱ μὲν δύο διὰ τοῦ 6
ἥπατος, ᾗ αἱ καλούμεναι [f]πύλαι εἰσί, πρὸς τὴν φλέβα τὴν μεγάλην, αἱ δὲ δύο πρὸς τὴν ἀορτήν, [g]ᾗ σχίζεται καὶ γίνεται ἡ ἀορτὴ δύο ἐκ μιᾶς. Εἰσὶ δὲ περὶ τὴν συζυγίαν [h]ἑκατέραν τῶν φλεβῶν ὑμένες, περὶ [i]δὲ τοὺς ὑμένας ὁ ὀμφαλὸς οἷον ἔλυτρον. Αὐξανομένων δ' ἀεὶ μᾶλλον συμπίπτουσιν 7
[k]αὗται αἱ φλέβες. Τὸ δ' ἔμβρυον ἀδρυνόμενον εἴς τε τὰ κοῖλα ἔρχεται, καὶ ἐνταῦθα δῆλόν ἐστι κινούμενον, καὶ ἐνίοτε κυλινδεῖται περὶ τὸ αἰδοῖον.

[v]Ὅταν δ' ὠδίνωσιν αἱ γυναῖκες, εἰς πολλὰ μὲν καὶ ἄλλα 9
ἀποστηρίζονται αὐτοῖς οἱ πόνοι, ταῖς δὲ πλείσταις εἰς ὁπότερον ἂν τύχῃ τῶν [l]μηρῶν. [v]Ὅσαις δ' ἂν περὶ τὴν κοιλίαν σφοδρότατοι [m]γένωνται πόνοι, αὗται τάχιστα τίκτουσιν· καὶ [n]ὅσαι μὲν τὴν ὀσφὺν [o]προαλγοῦσι, μόλις τίκτουσιν, [p]ὅσαι δὲ τὸ ἦτρον, ταχύ. [q]Ἂν μὲν οὖν ἀρρενοτοκῇ, [q]προέρχονται οἱ 2

[y] γέννησίς et συγκεκαμμένη A^a. [z] τέλειον P.A^a.C^a. [a] σφυράδας om. D^a. [b] τὰ A^a.C^a.D^a. [c] τῶν ἐσχάτων, omissa ἐν, P.A^a.C^a. [d] μὲν] μὲν οὖν P.C^a.D^a. [e] τὰς om. D^a. [f] πύλαι αἵ εἰσι P.A^a.C^a. [g] ᾗ σχίζεται] σχίζονται D^a. [h] ἑκατέρων C^a. [i] δὲ om. C^a. [k] αὗται] αὐτῶν P.A^a, om. C^a. [l] μερῶν A^a. [m] γίνονται D^a. [n] ὅσαις P.C^a. [o] περιαλγοῦσι C^a. [p] ὅσαις P.A^a.C^a. [q] προσέρχονται A^a.C^a.

Digitized by Google

ἰχῶρες ὑδαρεῖς ὕπωχροι, ἐὰν δὲ θηλυτοκῇ, αἱματώδεις, ὑγροὶ δὲ καὶ οὗτοι· ἐνίαις μέντοι συμβαίνει περὶ τὰς ὠδῖνας καὶ οὐ-
3 δέτερα τούτων. Τοῖς μὲν οὖν ἄλλοις ζῴοις οὐκ ἐπίπονοι γίνονται οἱ τόκοι, ἀλλὰ μετριωτέρως ἐπίδηλά ἐστιν ἐνοχλούμενα ὑπὸ τῆς ὠδῖνος· ταῖς δὲ γυναιξὶ συμβαίνουσιν οἱ [r] πόνοι ἰσχυρότεροι, καὶ μάλιστα ταῖς ἑδραίαις καὶ ὅσαι μὴ εὔπλευ-
4 ροι μηδὲ δύνανται τὸ πνεῦμα κατέχειν. Δυστοκοῦσι δὲ μᾶλλον καὶ ἐὰν μεταξὺ ἀποπνεύσωσιν ἀποβιαζόμεναι τῷ πνεύματι. Πρῶτον μὲν [s] οὖν ὕδρωψ ἐξέρχεται γινομένου τοῦ ἐμβρύου καὶ ῥηγνυμένων τῶν ὑμένων, ἔπειτα τὸ ἔμβρυον, στρεφομένων μὲν τῶν ὑστερῶν, καὶ τοῦ ὑστέρου τὰ ἔσω
10 ἐκτὸς ἴσχοντος. Καὶ τῆς μαίας ἡ ὀμφαλοτομία μέρος ἐστὶν οὐκ ἀστόχου διανοίας· οὐ γὰρ [t] μόνον περὶ τὰς δυστοκίας τῶν γυναικῶν τῇ εὐχερείᾳ δύνασθαι δεῖ βοηθεῖν, ἀλλὰ καὶ πρὸς τὰ συμβαίνοντα ἀγχίνουν εἶναι καὶ περὶ τὴν τοῦ ὀμ-
2 φαλοῦ ἀπόδεσιν τοῖς παιδίοις. [v] Ἐὰν μὲν γὰρ καὶ τὸ ὕστερον συνεκπέσῃ, [w] ἐρίῳ ἀποδεῖται ἀπὸ τοῦ ὑστέρου ὁ ὀμφαλός, καὶ ἀποτέμνεται ἄνωθεν· [x] ἢ δ' ἂν [y] ἀποδεθῇ, συμφύεται, τὸ δὲ συνεχὲς ἀποπίπτει. [z] Ἐὰν δὲ [z] λυθῇ τὸ ἄμμα, ἀποθνήσκει τοῦ αἵματος ἐκρυέντος τὸ ἔμβρυον. [z] Ἐὰν δὲ μὴ συνεξέλθῃ εὐθὺς τὸ ὕστερον, ἔσω ὄντος αὐτοῦ, τοῦ παιδίου [a] δ' ἔξω, ἀποτέμνεται ἀποδεθέντος τοῦ ὀμφαλοῦ.
3 Πολλάκις δ' ἔδοξε [b] τεθνεὸς τίκτεσθαι τὸ παιδίον, ὅταν ἀσθενικοῦ ὄντος, πρὶν ἀποδεθῆναι τὸν ὀμφαλόν, τὸ αἷμα ἔξω εἰς τὸν ὀμφαλὸν καὶ τὸ πέριξ τύχῃ ἐξερρυηκός· ἀλλὰ τεχνικαί τινες ἤδη τῶν μαιῶν γενόμεναι ἀπέθλιψαν εἴσω ἐκ τοῦ ὀμφαλοῦ, καὶ εὐθὺς τὸ παιδίον, [c] ὥσπερ ἔξαιμον γενό-
4 μενον πρότερον, πάλιν ἀνεβίωσεν. Γίνεται δέ, καθάπερ ἐλέχθη πρότερον, κατὰ φύσιν ἐπὶ κεφαλὴν καὶ τἆλλα ζῷα, τὰ δὲ παιδία καὶ τὰς χεῖρας [d] παρατεταμένας παρὰ τὰς

[r] πόροι A[a]. [s] οὖν] οὖν ὁ A[a]. [t] μόνον τὰ περὶ P.C[a]. [v] ἐὰν μὴ γὰρ P.A[a].C[a], ἵνα γὰρ μὴ D[a]. [w] ἐρεῖον C[a]. [x] ἢ δ' ἂν Camotiana: εἰ δὲ P.A[a].C[a].D[a]. [y] ἀποδοθῇ A[a]. [z] λυθῇ—συνεξέλθῃ om. C[a]. [a] δ' om. A[a]. [b] τίκτεσθαι τεθνεὸς D[a]. [c] ὥσπερ om. P. [d] παρατεταμένα Sylburgius.

Digitized by Google

πλευράς. [1]Ἐξελθόντα δ' εὐθὺς φθέγγεται, καὶ προσάγει πρὸς τὸ στόμα τὰς χεῖρας. [1]Ἀφίησι δὲ καὶ περιττώματα 5
τὰ μὲν εὐθὺς τὰ δὲ διὰ ταχέων, πάντα δ' ἐν ἡμέρᾳ· καὶ
[e]τοῦτο [f]τὸ [g]περίττωμα πλέον ἢ [g]τοῦ παιδὸς κατὰ μέγε-
θος· ὃ καλοῦσιν αἱ γυναῖκες μηκώνιον. Χρῶμα [h]δὲ [i]τούτου
αἱματῶδες καὶ σφόδρα μέλαν, καὶ [k]πιττῶδες, μετὰ [l]δὲ
τοῦτο ἤδη γαλακτῶδες· σπᾷ γὰρ εὐθὺς καὶ τὸν [m]μαστόν.
Πρὶν δ' ἐξελθεῖν οὐ φθέγγεται τὸ παιδίον, [n]κἂν [o]δυστο- 6
κούσης τὴν κεφαλὴν μὲν [p]ὑπερέχῃ, τὸ δ' ὅλον σῶμα [q]ἔχῃ
ἐντός. [u]Οσαις δ' ἂν ἐν ταῖς ἀποκαθάρσεσι [r]προεξορμήσωσιν
οἱ καθαρμοί, δυσαπαλλακτότεραι γίνονται τῶν ἐμβρύων.
[1]Εὰν [s]δὲ καθάρσεις μετὰ τὸν τόκον ἐλάττους [t]γένωνται, 7
καὶ ὅσων [v]μόνον αἱ πρῶται, καὶ μὴ διατελέσωσιν εἰς τὰς
[w]τετταράκοντα, ἰσχύουσί τε μᾶλλον αἱ γυναῖκες καὶ συλ-
λαμβάνουσι θᾶττον. Τὰ δὲ παιδία ὅταν γένωνται, [x]τῶν 8
τετταράκοντα ἡμερῶν ἐγρηγορότα μὲν οὔτε γελᾷ οὔτε δα-
κρύει, νύκτωρ δ' ἐνίοτε ἄμφω· οὐδὲ κνιζόμενα τὰ πολλὰ
αἰσθάνεται, τὸ δὲ πλεῖστον καθεύδει τοῦ χρόνου. Αὐξανό- 9
μενον δ' ἀεὶ εἰς τὸ ἐγρηγορέναι μεταβάλλει μᾶλλον· καὶ
ἐννυπνιαζόμενον δῆλον [y]μὲν γίνεται, μνημονεύει δ' ὀψὲ τὰς
φαντασίας. Τοῖς μὲν οὖν ἄλλοις ζῴοις οὐδεμία [z]διαφορὰ
τῶν ὀστῶν, ἀλλὰ πάντα τετελεσμένα γίνεται· τοῖς δὲ
παιδίοις τὸ βρέγμα [a]μαλακόν, καὶ ὀψὲ πήγνυται. Καὶ τὰ 10
μὲν ἔχοντα γίνεται ὀδόντας, τὰ δὲ παιδία ἑβδόμῳ μηνὶ
ἄρχονται ὀδοντοφυεῖν· φύει δὲ πρῶτον τοὺς προσθίους, καὶ
τὰ μὲν τοὺς ἄνωθεν πρότερον, τὰ δὲ τοὺς κάτωθεν. Πάντα
δὲ θᾶττον φύουσιν, [b]ὅσων αἱ τίτθαι θερμότερον ἔχουσι τὸ
γάλα.

[e] τοῦτο om. C[a]. [f] τὸ om. A[a]. [g] περίττωμα et τοῦ παιδὸς om. A[a].C[a]. [h] δὲ] ἐκ δὲ D[a]. [i] τοῦτο A[a]. [k] ἡττῶδες A[a].C[a]. [l] δὲ om. A[a]. [m] μασθόν P.A[a]. [n] κἂν] οὐκ ἂν A[a].C[a]. [o] δυστοκοῦσι A[a]. [p] ὑπερέχει A[a]. [q] ἔχει A[a].C[a]. [r] προσεξορμήσωσιν A[a]. [s] δὲ αἱ καθάρσεις D[a]. [t] γίνωνται C[a]. [v] μόνων D[a]. et pr. P. [w] τεσσαράκοντα D[a]. [x] τῶν] πρὸ P, μέχρι τῶν D[a]. [y] μὲν om. P.A[a].C[a]. [z] διαφθορὰ C[a].D[a]. [a] μαλακὸν Scaliger: P.A[a].C[a].D[a]. λευκόν. [b] ὅσον P.A[a].

Digitized by Google

11 Μετὰ δὲ τοὺς [c]τόκους καὶ τὰς καθάρσεις ταῖς γυναιξὶ τὸ γάλα πληθύνεται, καὶ ἐνίαις ῥεῖ οὐ μόνον κατὰ τὰς [d]θηλὰς ἀλλὰ πολλαχῇ τοῦ [e]μαστοῦ, ἐνίαις δὲ καὶ κατὰ τὰς μασχάλας· καὶ διαμένουσιν εἰς τὸν ὕστερον χρόνον στραγγαλίδες, ὅταν μὴ [f]ἐκπεφθῇ μηδὲ ἐξέλθῃ ὑγρότης, ἀλλὰ πληρωθῇ· ἅπας γὰρ ὁ [e]μαστὸς [g]σομφός ἐστιν οὕτως, ὥστε κἂν ἐν τῷ [h]πόματι λάβωσι τρίχα, πόνος [i]ἐγγίνεται ἐν τοῖς [e]μαστοῖς (ὃ καλοῦσι [k]τριχιᾶν), ἕως ἂν ἡ αὐτομάτη ἐξέλθῃ 2 θλιβομένη ἢ μετὰ τοῦ γάλακτος ἐκθηλασθῇ. Τὸ δὲ γάλα ἔχουσιν ἕως ἂν [l]πάλιν συλλάβωσιν· τότε δὲ παύεται καὶ σβέννυται ὁμοίως ἐπ' ἀνθρώπων καὶ τῶν ἄλλων ζῳοτόκων καὶ τετραπόδων. Τοῦ γάλακτος δ' ἐξιόντος οὐ γίνονται αἱ καθάρσεις ὡς ἐπὶ τὸ πολύ, [m]ἐπεὶ ἤδη τισὶ θηλαζομέναις 3 ἐγένετο κάθαρσις. [n]Ὅλως δ' ἅμα πολλαχῇ [n]οὐ [o]συμβαίνει [p]ἡ ὁρμὴ [q]τῆς ὑγρότητος, οἷον ταῖς ἐχούσαις [r]αἱμορροΐδας χείρους αἱ καθάρσεις ἐπιγίνονται. [t]Ἐνίαις δὲ καὶ διὰ τῶν [s]ἰσχίων, ὅταν ἀπὸ τῆς ὀσφύος ἐκκριθῇ, πρὶν ἐλθεῖν εἰς τὰς ὑστέρας. Καὶ ὅσαις δ' ἂν μὴ γινομένων τῶν [t]καθάρσεων αἷμα συμπέσῃ ἐμέσαι, οὐθὲν βλάπτονται.

12 Εἴωθε δὲ τὰ παιδία τὰ πλεῖστα σπασμὸς ἐπιλαμβάνειν, καὶ μᾶλλον τὰ εὐτραφέστερα καὶ γάλακτι χρώμενα [v]πλείονι ἢ παχυτέρῳ καὶ [w]τίτθαις εὐσάρκοις. Βλαβερὸν δὲ πρὸς τὸ πάθος καὶ ὁ οἶνος [x]ὁ μέλας [y]μᾶλλον τοῦ λευκοῦ, καὶ [z]ὁ μὴ ὑδαρής, καὶ τὰ πλεῖστα τῶν φυσωδῶν, καὶ ἐὰν ἡ κοιλία 2 στῇ. Τὰ πλεῖστα [z]δ' ἀναιρεῖται πρὸ τῆς ἑβδόμης· διὸ καὶ τὰ ὀνόματα τότε τίθενται, ὡς πιστεύοντες ἤδη μᾶλλον τῇ σωτηρίᾳ. Καὶ ἐν ταῖς πανσελήνοις [a]δὲ μᾶλλον πονοῦσιν.

[c] τοκετοὺς Da. [d] θηλείας Aa. [e] μασθοῦ, et mox μασθὸς et infra μασθοῖς P.Aa. [f] ἐκπεμφθῇ Aa.Ca. [g] σομφώδης Da. [h] πώματι Ca. [i] γίνεται P. [k] τριχίαν plerique. [l] πάλιν om. P.Aa.Ca. [m] ἐπειδὴ Aa. [n] ὅμως et οὐθὲν P.Aa.Ca. [o] ξυμβαίνει Da. [p] ἡ om. Aa. [q] τῆς ὑγρότητος οἷον om. Ca. [r] αἱμορραΐδας P.Ca.Da. [s] ἰξιῶν Scaliger. [t] καθάρσεων Schneiderus, αἷμα Coraes: codices καθαρσίων ἅμα. [v] πλείονι καὶ παχυτέρῳ ἢ τ. P.Ca.Da, πλ. καὶ π. καὶ ἢ Aa. [w] τιτθοῖς P.Aa. [x] ὁ post οἶνος om. Ca. [y] μᾶλλον om. P.Aa.Ca. [z] ὁ et mox δ' om. Ca. [a] δὲ om. Aa.

Digitized by Google

Ἐπικίνδυνον δὲ καὶ ὅσοις τῶν παιδίων οἱ σπασμοὶ ἐκ τοῦ νώτου [b] ἄρχονται.

Θ.

Τὰ μὲν οὖν περὶ τὴν ἄλλην φύσιν τῶν ζῴων καὶ τὴν γένεσιν τοῦτον ἔχει τὸν τρόπον· αἱ δὲ πράξεις καὶ οἱ βίοι κατὰ τὰ ἤθη [c] καὶ τὰς τροφὰς διαφέρουσιν. Ἔνεστι γὰρ ἐν 2
τοῖς πλείστοις καὶ τῶν ἄλλων ζῴων ἴχνη τῶν περὶ τὴν ψυχὴν τρόπων, ἅπερ ἐπὶ τῶν ἀνθρώπων ἔχει φανερωτέρας τὰ [d] διαφοράς· καὶ γὰρ ἡμερότης καὶ ἀγριότης, καὶ πραότης καὶ χαλεπότης, καὶ [e] ἀνδρία καὶ δειλία, καὶ φόβοι καὶ θάρρη, καὶ θυμοὶ καὶ πανουργίαι καὶ τῆς περὶ τὴν διάνοιαν συνέσεως ἔνεισιν ἐν πολλοῖς αὐτῶν ὁμοιότητες, καθάπερ ἐπὶ τῶν μερῶν ἐλέγομεν. Τὰ μὲν γὰρ τῷ μᾶλλον καὶ ἧττον διαφέρει 3
πρὸς τὸν ἄνθρωπον, καὶ ὁ ἄνθρωπος πρὸς πολλὰ τῶν ζῴων (ἔνια γὰρ τῶν τοιούτων ὑπάρχει μᾶλλον [f] ἐν [g] ἀνθρώπῳ, ἔνια δ' ἐν τοῖς ἄλλοις ζῴοις μᾶλλον), τὰ δὲ τῷ ἀνάλογον διαφέρει· ὡς [h] γὰρ ἐν ἀνθρώπῳ τέχνη καὶ σοφία καὶ σύνεσις, οὕτως ἐνίοις τῶν ζῴων ἐστί τις [i] ἑτέρα τοιαύτη φυσικὴ δύναμις. [k] Φανερώτατον δ' ἐστὶ τὸ τοιοῦτον ἐπὶ [l] τὴν τῶν παί- 4
δων ἡλικίαν βλέψασιν· ἐν τούτοις γὰρ τῶν μὲν ὕστερον ἕξεων ἐσομένων ἔστιν ἰδεῖν οἷον ἴχνη καὶ σπέρματα, διαφέρει δ' οὐθὲν [m] ὡς εἰπεῖν ἡ ψυχὴ τῆς τῶν θηρίων ψυχῆς κατὰ τὸν χρόνον τοῦτον, ὥστ' οὐδὲν ἄλογον εἰ τὰ μὲν ταὐτὰ τὰ δὲ παραπλήσια τὰ δ' ἀνάλογον ὑπάρχει [n] τοῖς ἄλλοις ζῴοις. Οὕτω δ' ἐκ τῶν ἀψύχων εἰς τὰ ζῷα μεταβαίνει κατὰ μικρὸν 5
ἡ φύσις, ὥστε τῇ συνεχείᾳ [o] λανθάνειν τὸ μεθόριον αὐτῶν καὶ τὸ μέσον [p] ποτέρων ἐστίν. Μετὰ γὰρ τὸ τῶν ἀψύχων γένος τὸ τῶν φυτῶν [q] πρῶτόν ἐστιν· καὶ τούτων ἕτερον

[b] ἄρχονται] addunt P.A[a].C[a]. προϊούσης δὴ τῆς ἡλικίας, quod est initium libri decimi.

Codices P.A[a].C[a].D[a]. et passim E[a].

[c] καὶ κατὰ τὰς A[a]. [d] διατριβάς P.E[a]. [e] ἀνδρεία A[a]. [f] ἐν om. P. [g] ἀνθρώποις A[a]. [h] γὰρ] περ A[a].C[a]. [i] τοιαύτη ἑτέρα A[a].C[a]. [k] φανερὸν δὲ περὶ ὧν λέγομεν ἐστὶν ἐπὶ A[a].C[a]. [l] τῇ et mox ἡλικίᾳ P. τὴν om. pr. A[a]. [m] ὡς εἰπεῖν om. A[a].C[a]. [n] τοῖς ἄλλοις] πολλοῖς A[a].C[a]. [o] λανθάνει A[a]. [p] προτέρων A[a]. [q] πρότερόν P.

Digitized by Google

πρὸς ἕτερον διαφέρει τῷ μᾶλλον δοκεῖν μετέχειν ζωῆς, ὅλον δὲ τὸ γένος πρὸς μὲν τἆλλα σώματα φαίνεται σχεδὸν 6 ὥσπερ ἔμψυχον, πρὸς δὲ τὸ [r] τῶν ζώων ἄψυχον. [s] Ἡ δὲ μετάβασις ἐξ αὐτῶν εἰς τὰ ζῷα συνεχής ἐστιν, ὥσπερ ἐλέχθη πρότερον. [t] Ἔνια γὰρ τῶν ἐν τῇ θαλάττῃ διαπορήσειεν ἄν τις πότερον ζῷόν [s] ἐστιν ἢ φυτόν· προσπέφυκε γάρ, καὶ χωριζόμενα πολλὰ διαφθείρεται τῶν τοιούτων, [t] οἷον αἱ μὲν πίνναι [v] προσπεφύκασιν, [w] οἱ δὲ σωλῆνες ἀνασπασθέντες οὐ 7 δύνανται ζῆν. [u] Ὅλως δὲ πᾶν τὸ γένος [x] τὸ τῶν ὀστρακοδέρμων φυτοῖς ἔοικε πρὸς τὰ πορευτικὰ [y] τῶν ζώων. Καὶ περὶ αἰσθήσεως, τὰ μὲν αὐτῶν [z] οὐδὲ ἓν σημαίνεται, τὰ δ' ἀμυδρῶς. [v] Ἡ δὲ τοῦ σώματος ἐνίων σαρκώδης ἐστὶ φύσις, οἷον τά τε καλούμενα [a] τήθυα καὶ τὸ τῶν [b] ἀκαληφῶν γένος· 8 ὁ δὲ σπόγγος παντελῶς ἔοικε τοῖς φυτοῖς. [w] Ἀεὶ δὲ κατὰ μικρὰν διαφορὰν ἕτερα [c] πρὸ ἑτέρων [d] ἤδη φαίνεται μᾶλλον ζωὴν ἔχοντα καὶ κίνησιν. Καὶ κατὰ τὰς τοῦ βίου [e] δὲ πράξεις τὸν αὐτὸν ἔχει τρόπον. Τῶν τε γὰρ φυτῶν [f] ἔργον οὐδὲν ἄλλο φαίνεται πλὴν οἷον αὐτὸ ποιῆσαι πάλιν ἕτερον, [g] ὅσα γίνεται διὰ σπέρματος· ὁμοίως δὲ καὶ τῶν ζώων [h] ἐνίων 9 παρὰ τὴν γένεσιν οὐδὲν ἔστιν [i] ἄλλο λαβεῖν ἔργον. Διόπερ αἱ μὲν τοιαῦται πράξεις κοιναὶ πάντων εἰσί· [k] προσούσης δ' αἰσθήσεως ἤδη, περί [l] τε τὴν οἰκείαν διὰ τὴν ἡδονὴν διαφέρουσιν αὐτῶν οἱ βίοι, καὶ περὶ τοὺς τόκους καὶ τὰς ἐκτροφὰς 10 τῶν τέκνων. Τὰ μὲν οὖν [m] ἁπλῶς, ὥσπερ φυτά, κατὰ [n] τὰς ὥρας ἀποτελεῖ τὴν οἰκείαν γένεσιν· τὰ δὲ καὶ περὶ τὰς τροφὰς [o] ἐκπονεῖται τῶν τέκνων, ὅταν δ' ἀποτελέσῃ, χωρίζονται καὶ κοινωνίαν οὐδεμίαν ἔτι ποιοῦνται· τὰ δὲ συνετώτερα καὶ

[r] τῶν ζώων] ζῶον P.D[a]. [s] ἢ φυτόν ἐστι P.D[a]. [t] οἷον αἱ μὲν] αἱ μὲν γὰρ P.D[a]. [v] προσπεφύκασιν Gaza, πεφύκασιν P.A[a].C[a].D[a]. [w] αἱ δὲ σωλῆνες ἀνασπασθεῖσαι P. [x] τὸ ante τῶν om. A[a].C[a]. [y] τῶν] καὶ τῶν P. [z] οὐδὲν P.D[a]. [a] τηθῦα A[a], τίθυα P. [b] ἀκαλήφων A[a], ἀκαλύφων P.D[a]. [c] πρὸς P. [d] εἴδη C[a]. [e] δὲ] τε A[a].C[a]. [f] οὐδὲν ἄλλο ἔργον A[a], ἔργον ἄλλο οὐδὲν P.D[a]. [g] ὅσον A[a].C[a]. [h] ἐνίων γὰρ παρὰ P, ἐνίοις γὰρ παρὰ D[a]. [i] ἄλλο λαλεῖν ἔργον A[a], λαβεῖν ἔργον ἕτερον P.D[a]. [k] προϊούσης pr. A[a]. [l] τε om. A[a].C[a]. [m] ἁπλῶς ὥσπερ φυτά] περὶ τὴν ἄλλην φύσιν A[a].C[a]. [n] τὰς] τῆς pr. A[a]. [o] ἐκπονεῖται A[a].

Digitized by Google

κοινωνοῦντα [p] μνήμης ἐπὶ [q] πλέον καὶ [r] πολιτικώτερον χρῶνται τοῖς [s] ἀπογόνοις. [h] Ἐν μὲν οὖν μέρος [t] τῆς ζωῆς αἱ περὶ 11
τὴν τεκνοποιίαν εἰσὶ πράξεις αὐτοῖς, [v] ἔτι δ' ἕτερον αἱ περὶ τὴν [w] τροφήν· περὶ γὰρ δύο τούτων αἵ τε σπουδαὶ τυγχάνουσιν οὖσαι [x] πᾶσαι καὶ ὁ βίος. [y] Αἱ δὲ τροφαὶ διαφέρουσι μάλιστα κατὰ τὴν ὕλην ἐξ οἵας συνεστήκασιν. [b] Ἡ γὰρ αὔξησις ἑκάστοις γίνεται κατὰ φύσιν ἐκ [z] ταύτης. Τὸ δὲ κατὰ φύσιν ἡδύ· διώκει δὲ πάντα τὴν κατὰ φύσιν ἡδονήν.

Διήρηνται δὲ κατὰ τοὺς τόπους· τὰ μὲν γὰρ πεζὰ τὰ 2
δ' ἔνυδρα τῶν ζῴων ἐστίν. Διχῶς [a] δὲ λεγομένης ταύτης τῆς διαφορᾶς, τὰ [b] μὲν τῷ δέχεσθαι τὸν ἀέρα, τὰ δὲ τῷ τὸ ὕδωρ, λέγεται τὰ μὲν πεζὰ τὰ δ' ἔνυδρα· τὰ δ' οὐ δεχόμενα μέν, [c] πεφυκότα [d] μέντοι [e] πρὸς τὴν κρᾶσιν τῆς ψύξεως τὴν ἐφ' ἑκατέρου [f] τούτων ἱκανῶς, τὰ [g] μὲν πεζὰ τὰ δ' ἔνυδρα καλεῖται, οὔτ' [h] ἀναπνέοντα οὔτε δεχόμενα τὸ ὕδωρ, [i] τῷ δὲ τὴν τροφὴν ποιεῖσθαι καὶ διαγωγὴν ἐν ἑκατέρῳ τούτων. Πολλὰ γὰρ δεχόμενα τὸν ἀέρα, καὶ τοὺς τόκους ἐν τῇ γῇ 3
ποιούμενα, τὴν τροφὴν [k] ἐκ τῶν [l] ἐνύδρων ποιεῖται τόπων καὶ διατρίβει τὸν πλεῖστον ἐν ὕδατι χρόνον· [m] ἅπερ ἔοικεν [n] ἐπαμφοτερίζειν μόνα τῶν ζῴων· καὶ γὰρ ὡς πεζὰ καὶ [o] ὡς ἔνυδρά τις ἂν θείη. Τῶν δὲ δεχομένων τὸ ὑγρὸν οὐθὲν [p] οὔτε πεζὸν [q] οὔτε πτηνόν, οὐδὲ τὴν τροφὴν ἐκ τῆς γῆς ποιεῖται, τῶν δὲ πεζῶν καὶ δεχομένων τὸν ἀέρα πολλά. Καὶ τὰ μὲν 3
οὕτως ὥστε μηδὲ ζῆν δύνασθαι χωριζόμενα τῆς τοῦ ὕδατος φύσεως, οἷον αἵ τε καλούμεναι θαλάττιαι χελῶναι καὶ [r] κροκόδειλοι καὶ ἵπποι ποτάμιοι καὶ φῶκαι καὶ τῶν ἐλαττόνων

p μνήμης] καὶ μνήμης A[a]. q πλεῖον P.D[a]. r πολιτικώτερον γρ. A[a], ποικιλώτερον A[a].C[a], πολιτικωτέροις P.D[a]. s ἀπογόνοις] ἀπὸ ἀγώνων A[a].C[a]. t τῆς om. D[a]. v ἔτι] ἐν P.D[a]. w τροπήν A[a]. x πᾶσι P.A[a].D[a]. y αἱ] πᾶσαι P.D[a]. z τῆς αὐτῆς P.D[a]. a δὲ] μὲν A[a]. b μὲν γὰρ τῷ A[a].C[a]. c παραπεφυκότα A[a]. d μέντοι] δέ τοι D[a]. e περὶ A[a]. f τούτων] τῶν P. g μὲν γὰρ π. C[a]. h ἀνάπνεα A[a].C[a]. i τῷ δὲ] τὰ δὲ τῷ C[a]. k ἐκ τῶν] αὐτῶν P. l ὑδαρῶν A[a]. m ἅπερ] ἅπερ ὡς D[a], ἅπερ ὥσπερ C[a]. n ἐπαμφοτερίζουσι P.D[a]. o ὡς om. A[a]. p οὔτε] αὐτῶν A[a].C[a]. q οὔτε πτηνόν om. A[a].C[a]. r κροκόδειλος A[a].

Digitized by Google

ζῴων οἷον αἵ [s]τ' ἐμύδες καὶ τὸ τῶν βατράχων γένος· ταῦτα γὰρ ἅπαντα μὴ διά τινος ἀναπνεύσαντα χρόνου ἀποπνίγε-
4 ται. Καὶ [t]τίκτει δὲ καὶ ἐκτρέφει ἐν τῷ ξηρῷ· [v]τὰ δὲ πρὸς τῷ ξηρῷ, διάγει δ' ἐν τῷ ὑγρῷ. [w]Περιττότατα δὲ πάντων [x]ὁ δελφὶς [y]ἔχει τῶν ζῴων, καὶ εἴ τι [z]ἄλλο τοιοῦτόν ἐστι καὶ τῶν ἐνύδρων καὶ τῶν [a]ἄλλων κητωδῶν ὅσα, [b]τοῦτον ἔχει τὸν τρόπον, οἷον [c]φάλαινα καὶ ὅσ' ἄλλ' αὐτῶν ἔχει αὐλόν.
5 Οὐ γὰρ [d]ῥᾴδιον οὔτ' ἔνυδρον [e]εἶναι μόνον τούτων ἕκαστον οὔτε πεζόν, εἰ πεζὰ μὲν τὰ δεχόμενα τὸν [f]ἀέρα θετέον, τὰ δὲ τὸ ὕδωρ ἔνυδρα [g]τὴν φύσιν. Ἀμφοτέρων γὰρ μετείληφεν· καὶ γὰρ τὴν θάλατταν δέχεται καὶ ἀφίησι κατὰ τὸν
6 αὐλόν, καὶ τὸν ἀέρα τῷ [h]πλεύμονι. Τοῦτο γὰρ ἔχουσι τὸ μόριον, καὶ ἀναπνέουσιν· διὸ καὶ λαμβανόμενος ὁ δελφὶς ἐν τοῖς δικτύοις ἀποπνίγεται ταχέως διὰ τὸ μὴ ἀναπνεῖν. Καὶ ἔξω δὲ ζῇ πολὺν χρόνον μύζων καὶ στένων, ὥσπερ καὶ [i]τἆλλα τῶν ἀναπνεόντων ζῴων· ἔτι δὲ καθεύδων ὑπερέχει τὸ ῥύγχος,
7 ὅπως ἀναπνέῃ. [k]Τὰ δ' αὐτὰ τάττειν εἰς ἀμφοτέρας τὰς διαιρέσεις ἄτοπον, [l]ὑπεναντίους οὔσας· ἀλλ' ἔοικεν εἶναι τὸ ἔνυδρον ἔτι προσδιοριστέον. Τὰ μὲν γὰρ δέχεται τὸ ὕδωρ καὶ ἀφίησι διὰ τὴν αὐτὴν αἰτίαν δι' ἣνπερ τὰ ἀναπνέοντα τὸν ἀέρα, καταψύξεως χάριν, τὰ δὲ διὰ [m]τὴν τροφήν· ἀνάγκη γὰρ ἐν ὑγρῷ [n]λαμβάνοντα ταύτην καὶ τὸ ὑγρὸν ἅμα δέχεσθαι, καὶ [o]δεχόμενα ὄργανον [p]ἔχειν [q]ᾧ ἐκπέμψει.
8 Τὰ μὲν οὖν ἀνάλογον τῇ ἀναπνοῇ χρώμενα τῷ [r]ὑγρῷ βράγχια ἔχει, τὰ δὲ διὰ τὴν τροφὴν αὐλὸν τῶν ἐναίμων ζῴων. [r]Ὁμοίως δὲ τά τε μαλάκια καὶ τὰ μαλακόστρακα· καὶ γὰρ
9 ταῦτα δέχεται τὸ ὑγρὸν διὰ τὴν τροφήν. [s]Ἔνυδρα δ' ἐστὶ

[s] τε μῦδες P.A[a].D[a]. [t] τίκτει δὲ] ἐκτίκτει A[a].C[a]. [v] τὰ δὲ πρὸς τῷ ξηρῷ om. P. [w] περιττότερα C[a]. [x] ἡ A[a]. [y] ὀχεῖ C[a]. [z] ἄλλο τῶν τοιούτων P.D[a]. [a] ἄλλων om. P. [b] ἔχει τοῦτον D[a]. [c] φάλλαιναι A[a].C[a]. [d] ῥᾴδιον] ἴδιον P.D[a]. [e] μόνον θεῖναι P. [f] ἀέρα] ἄρρενα P. [g] τὴν om. A[a].C[a]. [h] πνεύμονι A[a].C[a]. [i] ἄλλα A[a].C[a], τὰ ἄλλα D[a]. [k] τὸ δ' αὖ A[a]. [l] ὑπεναντίας D[a]. [m] τὴν om. A[a]. [n] λαμβάνειν P.D[a]. [o] δεχόμεναι C[a], δεχόμενον A[a], τὸ δεχόμενον P.D[a]. [p] ἔχει P.D[a]. [q] ἡ ἐκπέμπει P. [r] ὑγρῷ] θερμῷ A[a].C[a]. [s] ἔννυγρα P.D[a].

Digitized by Google

τὸν ἕτερον τρόπον, διὰ τὴν τοῦ σώματος κρᾶσιν καὶ τὸν βίον, ὅσα δέχεται μὲν τὸν ἀέρα ζῇ δ' ἐν τῷ ὑγρῷ, [t] ἢ ὅσα δέχεται μὲν τὸ ὑγρὸν καὶ ἔχει βράγχια, πορεύεται δ' εἰς τὸ ξηρὸν καὶ λαμβάνει τροφήν. [u]Ἓν δὲ μόνον νῦν ὤπται τοι- 10
οῦτον, ὁ καλούμενος [v] κορδύλος· οὗτος γὰρ [w] πλεύμονα μὲν οὐκ ἔχει ἀλλὰ [x] βράγχια, τετράπουν δ' ἐστὶν ὡς καὶ πεζεύειν πεφυκός. Τούτων δὲ πάντων [y] ἔοικεν ἡ φύσις [z] ὡσπερανεὶ [a] διεστράφθαι, καθάπερ τῶν [b] τε ἀρρένων ἔνια γίνεται θη-
λυκὰ καὶ τῶν [c] θηλέων ἀρρενωπά. [d]Ἐν μικροῖς γὰρ μορίοις 11
λαμβάνοντα τὰ ζῷα διαφορὰν μέγα διαφέρειν [d] φαίνονται κατὰ τὴν τοῦ ὅλου σώματος φύσιν. Δηλοῖ δ' ἐπὶ τῶν ἐκτεμνομένων· μικροῦ γὰρ μορίου πηρωθέντος εἰς τὸ θῆλυ μεταβάλλει τὸ ζῷον, ὥστε δῆλον ὅτι καὶ ἐν τῇ ἐξ ἀρχῆς συστάσει ἀκαριαίου τινὸς μεταβάλλοντος τῷ μεγέθει, ἐὰν ᾖ ἀρχοειδές, γίνεται τὸ μὲν θῆλυ τὸ δ' ἄρρεν, ὅλως δ' ἀναι-
ρεθέντος οὐδέτερον. [v]Ὥστε καὶ τὸ πεζὸν καὶ [e] τὸ ἔνυδρον 12
εἶναι κατ' ἀμφοτέρους τοὺς τρόπους, ἐν μικροῖς μορίοις [f] γινομένης τῆς μεταβολῆς [g] συμβαίνει γίνεσθαι τὰ μὲν πεζὰ τὰ δ' ἔνυδρα τῶν ζῴων. Καὶ τὰ μὲν οὐκ [h] ἐπαμφοτερίζει, [i] τὰ δ' ἐπαμφοτερίζει, διὰ τὸ μετέχειν [k] τι τῆς ὕλης ἐν τῇ συστάσει τῆς γενέσεως, ἐξ οἵας ποιεῖται τὴν τροφήν· προσ-
φιλὲς γὰρ ἑκάστῳ τῶν ζῴων τὸ κατὰ φύσιν, ὥσπερ εἴρηται καὶ πρότερον.

Διῃρημένων δὲ τῶν ζῴων εἰς [l] τὸ ἔνυδρον καὶ πεζὸν τρι- 13
χῶς, [m] τῷ δέχεσθαι [n] τὸν ἀέρα ἢ τὸ ὕδωρ, καὶ τῇ κράσει τῶν σωμάτων, τὸ δὲ τρίτον ταῖς τροφαῖς, ἀκολουθοῦσιν οἱ βίοι κατὰ ταύτας τὰς διαιρέσεις· τὰ μὲν γὰρ κατὰ τὴν κρᾶσιν

[t] ἢ—ὑγρὸν om. P. [u] κόρδυλος γρ. A[a], κροκόδειλος A[a].C[a].D[a]. [v] πνεύμονα P.A[a].C[a]. [x] βράγχια, πορεύεται δ' εἰς τὸ ξηρὸν καὶ λαμβάνει τροφήν, τετρ. A[a].C[a]. [y] ἔοικεν] πέφυκεν P. [z] ὡσπερεὶ D[a], ὥσπερ ἀεὶ C[a]. [a] διεψεῦσθαι A[a].C[a]. [b] τε om. P.D[a]. [c] θηλείων P, θηλυκῶν A[a].C[a]. [d] φαίνεται A[a].C[a]. [e] τὸ alterum om. P.D[a]. [f] γενομένης τῆς μ. P, τεινομένης τῆς μ. A[a], τῆς μ. γινομένης D[a]. [g] συμβ.] διὸ συμβαίνει A[a].C[a]. [h] ἐπαμφοτερίζει utrobique C[a]. [i] τὰ δ' ἐπαμφοτερίζει om. P. [k] τι om. A[a].C[a]. [l] τὸ om. A[a].C[a]. [m] τὸ P.D[a], τῷ τε A[a].C[a]. [n] τὸ ὕδωρ ἢ τὸν ἀέρα D[a].

Digitized by Google

[o]καὶ τὴν τροφὴν ἀκολουθοῦσι, καὶ κατὰ τὸ δέχεσθαι τὸ ὕδωρ
14 ἢ τὸν ἀέρα, τὰ δὲ τῇ κράσει καὶ τοῖς βίοις μόνον. Τῶν μὲν
οὖν ὀστρακοδέρμων ζῴων [p]τὰ μὲν [q]ἀκινητίζοντα τρέφεται
τῷ ποτίμῳ· διηθεῖται [r]γὰρ [s]διὰ τῶν πυκνῶν διὰ τὸ λεπτό-
τερον εἶναι τῆς [t]θαλάττης [v]συμπεττομένης, ὥσπερ καὶ τὴν
ἐξ ὑπαρχῆς λαμβάνει [w]γένεσιν. [u]Ὅτι δ' ἐν τῇ θαλάττῃ
πότιμον [x]ἔνεστι καὶ τοῦτο διηθεῖσθαι δύναται, φανερόν
ἐστιν· ἤδη γὰρ εἰληφέναι [y]τούτου [z]συμβέβηκε πεῖραν.
15 [1]Ἐὰν γάρ τις κήρινον πλάσας λεπτὸν ἀγγεῖον καὶ περιδή-
σας καθῇ εἰς τὴν [a]θάλατταν κενόν, ἐν νυκτὶ καὶ ἡμέρᾳ λαμ-
βάνει ὕδατος πλῆθος, καὶ τοῦτο φαίνεται πότιμον. Αἱ δ'
[b]ἀκαλῆφαι τρέφονται [c]ὅ τι ἂν προσπέσῃ ἰχθύδιον. [1]Ἔχει
δὲ τὸ στόμα ἐν μέσῳ· δῆλον δὲ τοῦτο μάλιστ' ἐστὶν ἐπὶ
τῶν μεγάλων. [1]Ἔχει [d]δ' ὥσπερ τὰ ὄστρεα, ᾗ ὑποχωρεῖ
16 [e]ἔξω ἡ τροφή, πόρον. [1]Ἔστι δ' [f]οὗτος ἄνω· ἔοικε γὰρ ἡ
[b]ἀκαλήφη ὥσπερ τὸ ἔσω εἶναι τῶν ὀστρέων τὸ σαρκῶδες,
τῇ δὲ πέτρᾳ χρῆσθαι ὡς [g]ὀστρέῳ. Καὶ αἱ λεπάδες δ'
[h]ἀπολυόμεναι μεταχωροῦσι καὶ τρέφονται. [v]Ὅσα δὲ [i]κινη-
τικά, τὰ μὲν ζωφαγοῦντα τρέφεται τοῖς μικροῖς ἰχθυδίοις,
οἷον ἡ πορφύρα· σαρκοφάγον γάρ ἐστι, διὸ καὶ δελεάζεται
[k]τοῖς τοιούτοις· τὰ δὲ καὶ τοῖς ἐν [l]τῇ θαλάττῃ φυομένοις.
17 Αἱ δὲ χελῶναι [m]αἱ θαλάττιαι τά τε κογχύλια νέμονται
(ἔχουσι γὰρ τὸ στόμα ἰσχυρότερον πάντων· ὅτου γὰρ ἂν ἐπι-
λάβηται, ἢ λίθου ἢ ἄλλου ὁτουοῦν, ἀπεσθίει καὶ κατάγνυσιν),
καὶ ἐξιοῦσα τὴν πόαν νέμεται. Πονοῦσι δὲ καὶ [n]ἀπόλλυν-
ται πολλάκις, ὅταν ἐπιπολάζουσαι [o]ξηρανθῶσιν ὑπὸ τοῦ

[o] καὶ τὴν τροφὴν ἀκολουθοῦσι om. P. [p] τὰ] ἔνια $A^a.C^a$. [q] κινητίζοντα C^a. [r] γὰρ] δὲ A^a. [s] διὰ] ἰδία P. [t] θαλάσσης A^a. [v] συμπεττομένων P. [w] κίνησιν P. [x] ἐστι καὶ ταύτῃ δ. P. [y] τούτῳ P, τοῦτο $A^a.C^a$. [z] συμβέβηκέ τισι π. $P.D^a$. [a] θάλασσαν $P.D^a$. [b] ἀκαλύφαι et mox ἀκαλύφη D^a. [c] ὅταν $A^a.C^a$. [d] δ'] δὲ καὶ $A^a.C^a$. [e] τροφὴ ἔξω, omisso ἡ, $A^a.C^a$. [f] οὕτως A^a, αὐτὸς $P.D^a$, οὗτος alivos C^a. [g] ὀστρέα P. [h] ἀποδυόμεναι $A^a.C^a$. [i] κινητικὰ μὲν ζωοφαγοῦντα δὲ τρέφεται $A^a.C^a$. [k] τοῖς om. $P.C^a$. [l] τῇ om. $A^a.C^a$. [m] αἱ om. P. [n] ἀπολλύονται $A^a.C^a$. [o] ὑπερξηρανθῶσιν $P.D^a$.

Digitized by Google

ἡλίου· καταφέρεσθαι γὰρ [p] πάλιν οὐ δύνανται ῥᾳδίως. Τὸν 18
αὐτὸν δὲ τρόπον καὶ τὰ μαλακόστρακα· καὶ γὰρ ταῦτα
[q] παμφάγα· καὶ γὰρ λίθους καὶ [r] ἰλὺν καὶ φυκία [s] νέμονται
καὶ [t] κόπρον, οἷον οἱ πετραῖοι τῶν καρκίνων, καὶ σαρκοφα-
γοῦσιν. [v] Οἱ δὲ κάραβοι κρατοῦσι μὲν [w] καὶ τῶν μεγάλων 19
ἰχθύων, καί τις συμβαίνει περιπέτεια τούτων ἐνίοις· τοὺς μὲν
γὰρ καράβους οἱ πολύποδες κρατοῦσιν, ὥστε κἂν [x] ὄντας
πλησίον ἐν ταὐτῷ δικτύῳ [y] αἴσθωνται, ἀποθνήσκουσιν οἱ
κάραβοι διὰ τὸν φόβον· οἱ δὲ κάραβοι τοὺς γόγγρους· διὰ
γὰρ τὴν [z] τραχύτητα οὐκ ἐξολισθαίνουσιν αὐτῶν· οἱ δὲ
γόγγροι τοὺς πολύποδας [a] κατεσθίουσιν· οὐδὲν γὰρ αὐτοῖς
διὰ τὴν λειότητα [b] δύνανται χρῆσθαι. Τὰ δὲ μαλάκια 20
πάντα σαρκοφάγα [c] ἐστίν. Νέμονται δ' οἱ κάραβοι τὰ
ἰχθύδια θηρεύοντες [d] παρὰ τὰς θαλάμας· καὶ γὰρ ἐν τοῖς
[e] πελάγεσιν ἐν τοῖς τοιούτοις γίνονται τόποις [f] οἳ ἂν ὦσι
τραχεῖς καὶ λιθώδεις· ἐν [g] τούτοις γὰρ ποιοῦνται [h] καὶ τὰς
θαλάμας· ὅ τι [i] δ' ἂν λάβῃ, προσάγεται πρὸς τὸ στόμα
τῇ [k] δικρόᾳ χηλῇ καθάπερ οἱ καρκίνοι. Βαδίζει δὲ κατὰ 21
φύσιν μὲν εἰς [l] τοὔμπροσθεν, ὅταν ἄφοβος ᾖ, [m] καταβαλὼν
τὰ κέρατα πλάγια· ὅταν δὲ φοβηθῇ, φεύγει ἀνάπαλιν καὶ
μακρὰν ἐξακοντίζει. Μάχονται δὲ πρὸς ἀλλήλους ὥσπερ
οἱ κριοὶ τοῖς κέρασιν, ἐξαίροντες καὶ τύπτοντες· ὀρῶνται δὲ
μετ' ἀλλήλων [n] καὶ ἀθρόοι πολλάκις ὥσπερ ἀγέλη.

Τὰ μὲν οὖν μαλακόστρακα [o] τοῦτον ζῇ τὸν τρόπον, τῶν δὲ 22
μαλακίων [p] αἱ τευθίδες καὶ αἱ σηπίαι κρατοῦσι καὶ τῶν με-
γάλων ἰχθύων. Οἱ δὲ πολύποδες [q] μάλιστα κογχύλια συλ-
λέγοντες, [r] ἐξαιροῦντες τὰ σαρκία τρέφονται τούτοις· διὸ

p οὐ δύνανται πάλιν P.D[a]. q πάμφαγα P. r ὕλην] ὕλην P.D[a]. s νέμεται P. t κόπριον A[a]. v αἱ A[a]. w καὶ] κατὰ P. x ὄντα P.A[a].C[a]. y αἰσθάνωνται A[a].C[a]. z τραχυτῆτα P. a κατεσθίουσιν] οὐκ ἐσθίουσιν A[a]. b δύναται P.A[a].C[a]. c εἰσί A[a]. d περὶ A[a]. e πελ. ἐν] πελ. μὲν A[a].C[a]. f οἷοι P.A[a].D[a]. g τούτοις] τοῖς τοιούτοις P.D[a]. h καὶ om. P.D[a]. i δὲ post ἂν A[a].C[a], om. P. k δίκρα P. l τὸ πρόσθεν P.D[a]. m καταβάλλων P.A[a].D[a]. n πολλάκις καὶ ἀθρόοι P.D[a]. o τοιοῦτον C[a]. p αἱ τευθίδες καὶ σηπίαι A[a], αἱ σηπίαι καὶ αἱ τευθίδες D[a]. q μάλιστα τὰ κογχ. A[a]. C[a]. r ἐξαίροντες P.D[a].

Digitized by Google

καὶ τοῖς ὀστράκοις οἱ θηρεύοντες γνωρίζουσι τὰς θαλάμας αὐτῶν. [s n]Ὁ δὲ λέγουσί τινες, ὡς αὐτὸς αὑτὸν ἐσθίει, [t]ψεῦδός ἐστιν· ἀλλ' [v]ἀπεδηδεμένας ἔχουσιν ἔνιοι τὰς πλεκτάνας ὑπὸ τῶν γόγγρων.

23 Οἱ δ' ἰχθύες τοῖς μὲν κυήμασι τρέφονται πάντες, ὅταν οἱ χρόνοι καθήκωσιν οὗτοι, τὴν δ' ἄλλην τροφὴν οὐ τὴν αὐτὴν
24 ποιοῦνται πάντες. Οἱ μὲν γὰρ αὐτῶν εἰσὶ σαρκοφάγοι [w]μόνον, οἷον τά τε σελάχη καὶ οἱ γόγγροι καὶ αἱ χάνναι καὶ οἱ θύννοι καὶ λάβρακες καὶ [x]σινόδοντες καὶ [y]ἄμιαι καὶ [z]ὀρφοὶ [a]καὶ μύραιναι· αἱ δὲ τρίγλαι [b]καὶ φυκίοις τρέφονται [c]καὶ ὀστρέοις καὶ βορβόρῳ καὶ σαρκοφαγοῦσιν· [d]κέφαλοι δὲ τῷ βορβόρῳ, ὁ δὲ [e]δάσκιλλος τῷ βορβόρῳ καὶ [f]κόπρῳ, σκάρος δὲ καὶ [g]μελάνουρος φυκίοις, ἡ δὲ σάλπη τῇ κόπρῳ καὶ φυκίοις· [h]βόσκεται δὲ καὶ τὸ [i]πράσιον, θηρεύεται δὲ
25 καὶ [k]κολοκύνθῃ μόνη τῶν ἰχθύων. [l]Ἀλληλοφαγοῦσι δὲ πάντες μὲν πλὴν κεστρέως, μάλιστα δ' οἱ γόγγροι. [m]Ὁ δὲ κέφαλος καὶ [l]ὁ κεστρεὺς ὅλως μόνοι οὐ σαρκοφαγοῦσιν· σημεῖον δέ, οὔτε γὰρ ἐν τῇ κοιλίᾳ [m]πώποτ' [n]ἔχοντες εἰλημμένοι εἰσὶ τοιοῦτον οὐδέν, οὔτε δελέατι χρῶνται [o]πρὸς αὐτοὺς ζῴων σαρξὶν ἀλλὰ μάζῃ. [p]Τρέφεται δὲ πᾶς κε-
26 στρεὺς [q]φυκίοις καὶ ἄμμῳ. [r]Ἔστι δ' ὁ μὲν κέφαλος, ὃν καλοῦσί τινες χελῶνα, [r]πρόσγειος, ὁ δὲ [s]περαίας οὔ· βόσκεται δ' ὁ [s]περαίας τὴν ἀφ' αὑτοῦ μύξαν, διὸ καὶ νῆστίς ἐστιν [t]ἀεί. Οἱ δὲ κέφαλοι νέμονται τὴν [v]ἰλύν, διὸ καὶ βαρεῖς καὶ [w]βλεννώδεις εἰσίν, [x]ἰχθὺν δ' ὅλως οὐκ ἐσθίουσιν·

[s] δ] ὅτι C^a. [t] ψευδές $A^a.C^a$. [v] περιεδηδεσμένας D^a, πέδη δεσμίας E^a, incerto P. [w] μόνον om. P. [x] συνόδοντος $A^a.C^a$. [y] ἀμίαι $C^a.D^a$, ἄμειαι P, ἄμυναι E^a. [z] ὀρφὸς P.E^a. [a] καὶ μύραιναι post θύννοι $A^a.C^a$. [b] καὶ ante φ. om. P.D^a. [c] καὶ ὀστρέῳ καὶ βορβόρῳ τρέφονται $A^a.C^a$. [d] κέφαλοι δὲ τῷ βορβόρῳ om. P.D^a. [e] δασκίλλος A^a. [f] καρπῷ $A^a.C^a$. [g] μελανοῦρος P.D^a. [h] βόσκεται δὲ—δὲ om. P. [i] βράσιον $A^a.C^a$. [k] κολοκύντῃ P.D^a. [l] ὁ post καὶ om. P. [m] πώ om. P.D^a. [n] ἔχουσιν $A^a.C^a$. [o] ζώων σαρξὶ πρὸς αὐτῶν P.D^a. [p] τρέφεται δὲ] τρέφεται δὲ καὶ $A^a.C^a$, ἀλλὰ τρέφεται P. [q] φυκίῳ C^a, φύκῃ P.D^a. [r] πρόσγηρος P, πρόσγηρως D^a. [s] παρέας utrobique $A^a.C^a$. [t] ἀεί om. P. [v] ὕλην P.D^a. [w] βλενώδεις et mox βλένος P.D^a. [x] ἰχθὺς C^a.

Digitized by Google

διά [y]τε τὸ ἐν [z]τῇ ἰλύϊ διατρίβειν ἐξανακολυμβῶσι πολλάκις, ἵνα [a]περιπλύνωνται τὸ [w]βλέννος. Τὸν δὲ γόνον αὐτῶν 27
οὐδὲν ἐσθίει τῶν θηρίων, διὸ γίγνονται πολλοί· ἀλλ' ὅταν αὐξηθῶσι, τότε κατεσθίονται ὑπό [b]τε τῶν ἄλλων ἰχθύων καὶ μάλιστα ὑπὸ τοῦ [c]ἀχάρνου. Λαίμαργος δὲ μάλιστα τῶν ἰχθύων [d]ὁ κεστρεύς ἐστι καὶ ἄπληστος, διὸ ἡ κοιλία περιτείνεται, καὶ ὅταν [e]ᾖ μὴ νῆστις, φαῦλος· ὅταν δὲ φοβηθῇ, κρύπτει τὴν κεφαλὴν ὡς ὅλον τὸ σῶμα κρύπτων. Σαρκοφαγεῖ δὲ καὶ ὁ [f]σινόδων, καὶ τὰ μαλάκια κατεσθίει. 28
Πολλάκις δὲ καὶ οὗτος καὶ ἡ [g]χάννα ἐκβάλλουσι τὰς κοιλίας διώκοντες τοὺς ἐλάττους [h]ἰχθῦς, διὰ τὸ πρὸς τῷ στόματι τὰς κοιλίας τῶν ἰχθύων εἶναι καὶ στόμαχον μὴ ἔχειν. Τὰ 29
μὲν οὖν, ὥσπερ εἴρηται, σαρκοφάγα μόνον ἐστίν, οἷον δελφὶς καὶ [f]σινόδων καὶ χρύσοφρυς καὶ [i]οἱ σελαχώδεις [k]τῶν ἰχθύων καὶ τὰ μαλάκια· τὰ δ' ὡς ἐπὶ τὸ πολὺ νέμονται μὲν τὸν πηλὸν καὶ τὸ φῦκος καὶ τὸ βρύον καὶ τὸ καλούμενον καυλίον καὶ τὴν φυομένην ὕλην, οἷον [l]φυκὶς καὶ κωβιὸς καὶ οἱ πετραῖοι· [m]ἡ δὲ φυκὶς ἄλλης μὲν σαρκὸς οὐχ [n]ἅπτεται, τῶν δὲ καρίδων. Πολλάκις [o]δὲ καὶ ἀλλήλων ἅπτονται, [p]καθά- 30
περ εἴρηται, καὶ τῶν ἐλαττόνων οἱ μείζους. Σημεῖον δ' ὅτι σαρκοφαγοῦσιν· ἁλίσκονται γὰρ τοιούτοις δελέασιν. Καὶ [q]ἄμια δὲ καὶ [r]θυννὶς καὶ λάβραξ τὰ μὲν πολλὰ [s]σαρκοφαγοῦσιν, ἅπτονται δὲ καὶ φυκίων. [t]Ὁ δὲ [t]σάργος [v]ἐπινέ- 31
μεται [w]τῇ τρίγλῃ, καὶ ὅταν ἡ [x]τρίγλη κινήσασα τὸν πηλὸν ἀπέλθῃ (δύναται γὰρ ὀρύττειν), ἐπικαταβὰς νέμεται καὶ τοὺς ἀσθενεστέρους ἑαυτοῦ κωλύει [y]συνεπιβαίνειν. Δοκεῖ δὲ τῶν

[y] τε] δὲ C^a, om. A^a. [z] ταῖς ἰλύσι D^a. [a] περιπλανῶνται P. [b] τε om. $A^a.C^a$. [c] ἀρχάνου P.D^a, ἀθαρίνου $A^a.C^a$. [d] ἐστιν ὁ κεστρεὺς P.D^a. [e] ᾖ μὴ] μὲν ᾖ D^a, ᾖ μὲν P. [f] συνόδων utrobique $A^a.C^a$. [g] χάννη P.D^a. [h] ἰχθύας P.D^a. [i] οἱ om. P. [k] τῶν] δὲ τῶν A^a. [l] φύκις A^a, φώκις C^a. [m] ἡ δὲ φύκις A^a, οἱ δὲ φύκες P.C^a. [n] ἅπτονται P. [o] δὲ post πολλ. om. P. [p] καθάπερ εἴρηται om. $A^a.C^a$. [q] ἀμία D^a, ἄμμεια P, ἄμυια E^a. [r] θύννος $A^a.C^a$. [s] σαρκοφαγοῦσιν. ἁλίσκονται γὰρ τοιούτοις δελέασιν. ἅπτονται A^a. [t] σαργὸς $A^a.C^a$. [v] ἐπιλέγεται P.E^a. [w] τὴν τρίγλαν P.D^a. [x] τρίγλα $A^a.C^a$. [y] συνεπιὼν $A^a.C^a$.

Digitized by Google

ἰχθύων [z] ὁ καλούμενος σκάρος μηρυκάζειν ὥσπερ τὰ τετρά-
32 ποδα μόνος. Τοῖς μὲν οὖν ἄλλοις ἰχθύσιν ἡ θήρα τῶν ἡττό-
νων [a] καταντικρὺ γίνεται [b] τοῖς στόμασιν, ὅνπερ πεφύκασι
τρόπον [c] νεῖν· οἱ [d] δὲ σελαχώδεις καὶ [e] οἱ δελφῖνες καὶ πάντες
οἱ κητώδεις ὕπτιοι [f] ἀναπίπτοντες λαμβάνουσιν· κάτω γὰρ
33 τὸ στόμα ἔχουσιν. Διὸ σώζονται μᾶλλον οἱ ἐλάττους· εἰ
δὲ μή, πάμπαν ἂν [g] ὀλίγοι δοκοῦσιν εἶναι· καὶ γὰρ [h] ἡ τοῦ
δελφῖνος ὀξύτης καὶ δύναμις [i] τοῦ φαγεῖν δοκεῖ εἶναι θαυμα-
34 στή. Τῶν δ' [k] ἐγχελύων τρέφονται ὀλίγαι μέν τινες καὶ
ἐνιαχοῦ καὶ τῇ ἰλύϊ καὶ σιτίοις, [l] ἄν τις [m] παραβάλλῃ, αἱ
μέντοι [n] πλεῖσται τῷ ποτίμῳ ὕδατι· καὶ τοῦτο τηροῦσιν οἱ
[o] ἐγχελυοτρόφοι ὅπως ὅτι μάλιστα καθαρὸν ᾖ, ἀπορρέον
ἀεὶ καὶ ἐπιρρέον ἐπὶ [p] πλαταμώνων· [q] ἢ [r] κονιῶνται τοὺς ἐγ-
35 χελεῶνας. [t] Ἀποπνίγονται γὰρ ταχύ, ἐὰν μὴ καθαρὸν ᾖ τὸ
ὕδωρ· ἔχουσι γὰρ τὰ βράγχια μικρά. Διόπερ ὅταν θη-
ρεύωσι, ταράττουσι τὸ ὕδωρ· [s] καὶ ἐν τῷ [t] Στρυμόνι δὲ περὶ
[v] Πλειάδας ἁλίσκονται· τότε γὰρ ἀναθολοῦται τὸ ὕδωρ καὶ
ὁ πηλὸς ὑπὸ πνευμάτων γινομένων ἐναντίων· εἰ δὲ μή, συμ-
36 φέρει ἡσυχίαν ἔχειν. [t] Ἀποθανοῦσαι δ' αἱ [w] ἐγχέλυς οὐκ
[x] ἐπιπολάζουσιν οὐδὲ φέρονται ἄνω, ὥσπερ οἱ πλεῖστοι τῶν
ἰχθύων· ἔχουσι γὰρ τὴν κοιλίαν μικράν. Δημὸν δ' ὀλίγαι
μὲν ἔχουσιν, αἱ [y] δὲ πλεῖσται οὐκ ἔχουσιν. [z] Ζῶσι δ' ἐκ τοῦ
ὑγροῦ ἀφαιρούμεναι ἡμέρας καὶ πέντε καὶ [a] ἕξ, καὶ βορείων
37 μὲν ὄντων πλείους, νοτίων δ' ἐλάττους. Καὶ μεταβαλλό-
μεναι τοῦ θέρους εἰς τοὺς [b] ἐγχελυῶνας ἐκ τῶν λιμνῶν ἀποθνή-
σκουσι, χειμῶνος δ' οὔ. Καὶ τὰς μεταβολὰς δ' οὐχ ὑπομέ-

[z] ὁ] καὶ ὁ P.D[a]. [a] καταντικρὺς P. [b] τοῦ στόματος A[a].C[a]. [c] νεῖν] νῦν D[a], om. A[a].C[a]. [d] δὲ] μὲν οὖν ἄλλοι A[a]. [e] οἱ om. P.D[a]. [f] ἀναπίπτοντες] ἅπαντες P.D[a]. [g] ὀλίγοι δοκῶσιν C[a], δοκοῦσιν ὀλίγοι P.D[a]. [h] ἡ] ἥτε A[a].C[a]. [i] τοῦ ante φαγεῖν om. P. [k] ἐγχέλεων τρέφονται μὲν ὀλίγαι D[a]. [l] ἐάν C[a]. [m] παραβάλῃ A[a].C[a]. [n] πλεῖσται om. P. [o] ἐγχελεοτρόφοι D[a], ἐγχελοτρόφοι A[a].C[a]. [p] πλαταμόνων P, πλατάμων A[a].C[a]. [q] ᾗ A[a].C[a]. [r] κονιῶνται rc. A[a], κονιῶν τὲ P.E[a], κονιῶντες A[a].C[a].D[a]. [s] καὶ αἱ ἐν C[a]. [t] στρύμονι A[a]. [v] πλειάδα P.D[a]. [w] ἐγχέλεις P.D[a]. [x] ἐπιπολάζονται A[a]. [y] πλεῖσται δ' A[a].C[a]. [z] ζωὴν P.D[a]. [a] ἑξ] ἐξ ζῶσι P.D[a]. [b] ἐγχελεῶνας A[a].C[a].D[a].

Digitized by Google

νουσι τὰς ἰσχυράς, οἷον καὶ [c]τοῖς φέρουσιν ἐὰν βάπτωσιν εἰς ψυχρόν· ἀπόλλυνται γὰρ ἀθρόαι πολλάκις. [d]Ἀποπνίγονται δὲ καὶ ἐὰν ὀλίγῳ ὕδατι τρέφωνται. Τὸ δ' αὐτὸ [e]τοῦτο 38
καὶ ἐπὶ τῶν ἄλλων συμβαίνει ἰχθύων· [f]ἀποπνίγονται [g]γὰρ ἐν [h]τῷ αὐτῷ ὕδατι καὶ [i]ὀλίγῳ ἀεὶ ὄντες, ὥσπερ καὶ τὰ ἀναπνέοντα, [k]ἐὰν περιπωμασθῇ ὀλίγος ἀήρ. Ζῶσι δ' ἔνιαι
[l]ἐγχέλυς καὶ ἑπτὰ καὶ ὀκτὼ ἔτη. Τροφῇ δὲ καὶ οἱ ποτά- 39
μιοι χρῶνται [m]ἀλλήλους τ' ἐσθίοντες καὶ βοτάνας καὶ ῥίζας, κἄν τι ἐν τῷ βορβόρῳ λάβωσιν. Νέμονται δὲ μᾶλλον τῆς νυκτός, τὴν δ' ἡμέραν εἰς τὰ βαθέα ὑποχωροῦσιν.

Τὰ μὲν οὖν περὶ τὴν τῶν ἰχθύων τροφὴν τοῦτον ἔχει τὸν τρόπον. Τῶν δ' ὀρνίθων [n]ὅσοι μὲν [o]γαμψώνυχες, σαρκο- 3
φάγοι πάντες εἰσί, σῖτον δ' οὐδ' [p]ἐάν τις ψωμίζῃ δύνανται [q]καταπιεῖν, οἷον τά τε τῶν ἀετῶν γένη πάντα [r]καὶ ἱκτῖνοι καὶ ἱέρακες ἄμφω, ὅ τε [s]φαβοτύπος καὶ ὁ [t]σπιζίας (διαφέρουσι δ' [v]οὗτοι τὸ μέγεθος πολὺ ἀλλήλων), καὶ [w]ὁ τριόρχης· ἔστι δ' ὁ τριόρχης τὸ μέγεθος [x]ὅσον ἱκτῖνος, καὶ φαίνεται οὗτος διὰ παντός. [y]Ἔτι φήνη καὶ γύψ· ἔστι δ' ἡ 2
μὲν φήνη τὸ μέγεθος ἀετοῦ μείζων, [z]τὸ δὲ χρῶμα σποδοειδές, [a]τῶν δὲ γυπῶν δύο [b]ἐστὶν εἴδη, ὁ μὲν μικρὸς καὶ [c]ἐκλευκότερος, ὁ δὲ μείζων καὶ [d]σποδοειδέστερος. [e]Ἔτι τῶν νυκτερινῶν ἔνιοι γαμψώνυχές εἰσιν, οἷον νυκτικόραξ, γλαύξ, [f]βρύας. Ἔστι δ' ὁ βρύας τὴν μὲν ἰδέαν [g]ὅμοιος γλαυκί, τὸ δὲ μέγεθος ἀετοῦ οὐδὲν [h]ἐλάττων. Ἔτι δ' ἐλεὸς καὶ 3
αἰγώλιος καὶ σκώψ. Τούτων δ' ὁ μὲν ἐλεὸς μείζων ἀλεκτρυ-

[c] τοῖς] τότε $A^a.C^a$. [d] καὶ ἐὰν ἐπ' ὀλίγῳ C^a, ἐὰν καὶ ἐν ὀλίγῳ $P.D^a$. [e] τοῦτο om. $A^a.C^a$. [f] ἀποπνίγεται A^a. [g] γὰρ om. P. [h] ταυτῷ P. [i] ὀλίγοι P.D^a. [k] ἐάνπερ πωμασθῇ P.D^a. [l] ἐγχέλεις D^a, ἐγχελίδες P. [m] ἀλλήλους κατεσθίοντες, omissis καὶ βοτάνας καὶ ῥίζας, A^a. [n] ὅσοι] οἱ $A^a.C^a$. [o] γαμψώνυχοι P.D^a. [p] ἄν C^a. [q] καταπίνειν C^a, καταδίνειν A^a. [r] καὶ οἱ ἱκτῖνοι καὶ οἱ ἱέρακες A^a. [s] φοβότυπος P, βαφότυπος A^a, βαφοτύπος C^a. [t] σπηζίας P, στιγξίας $A^a.C^a$. [v] τὸ μέγεθος οὗτοι P.D^a. [w] ἔστι δ' ὁ τριόρχης om. P. [x] ὅσον] ὡς $A^a.C^a$. [y] ἔτι δὲ φήνη D^a. [z] τὸ χρῶμα δὲ πογγοειδέστερον A^a, τὸ δὲ χρῶμα πολυοειδέστερον C^a. [a] τῶν—σποδοειδέστερος om. P. [b] εἰσὶν $A^a.C^a$. [c] λεπτότερος $A^a.C^a$. [d] πολυειδέστερος $A^a.C^a$. [e] ἔτι δὲ τῶν C^a. ἔτι—βρύας om. pr. A^a. [f] βύας utrobique P.D^a. [g] ὅμοιον P.$A^a.C^a$. [h] ἔλαττον P.$A^a.C^a$.

Digitized by Google

ὀνος, ὁ δ' αἰγώλιος παραπλήσιος, ἀμφότεροι δὲ θηρεύουσι τὰς κίττας· ὁ δὲ σκὼψ ἐλάττων γλαυκός· πάντα δὲ ταῦτα τρία ὄντα [i] ὅμοια τὰς ὄψεις καὶ σαρκοφάγα [k] πάντα. Εἰσὶ δὲ καὶ τῶν [l] μὴ γαμψωνύχων ἔνιοι σαρκοφάγοι, οἷον ἡ χελι-
4 δών. Τὰ δὲ σκωληκοφάγα, οἷον σπίζα, στρουθός, [m] βατίς, χλωρίς, [n] αἰγιθαλός. [o]Ἔστι δὲ τῶν αἰγιθαλῶν εἴδη τρία, ὁ μὲν σπιζίτης μέγιστος (ἔστι γὰρ ὅσον [o] σπίζα), ἕτερος [p] δ' ὀρεινὸς διὰ τὸ διατρίβειν ἐν τοῖς ὄρεσιν, οὐραῖον μακρὸν ἔχων· ὁ δὲ τρίτος ὅμοιος μὲν τούτοις, διαφέρει δὲ κατὰ τὸ μέγεθος·
5 ἔστι [q] γὰρ ἐλάχιστος. [r]Ἔτι [r] δὲ [s] συκαλίς, μελαγκόρυφος, [t] πυρρουῦλας, [u] ἐρίθακος, [v] ἐπιλαΐς, οἶστρος, τύραννος· οὗτος τὸ μέγεθος μικρῷ μείζων ἀκρίδος, [w] ἔστι δὲ [x] φοινικοῦν λόφον [y] ἔχων, καὶ ἄλλως [z] εὔχαρι τὸ ὀρνίθιον καὶ [a] εὔρυθμον. [a]Ἄνθος· οὗτος τὸ μέγεθος ὅσον σπίζα. [b]Ὀρόσπιζος· οὗτος σπίζῃ ὅμοιος καὶ τὸ μέγεθος παραπλήσιος, πλὴν [c] ἔχει
6 τὸν αὐχένα κυανοῦν, καὶ διατρίβει ἐν τοῖς ὄρεσιν. [d]Ἔτι βασιλεύς, σπερμολόγος. Ταῦτα μὲν οὖν καὶ τὰ τοιαῦτα τὰ μὲν ὅλως τὰ δ' ὡς ἐπὶ τὸ πολὺ σκωληκοφάγα, τὰ δὲ τοιάδε ἀκανθοφάγα, ἀκανθίς, [d] θραυπίς, [e] ἔτι ἡ καλουμένη [f] χρυσομῆτρις. Ταῦτα γὰρ πάντα ἐπὶ τῶν ἀκανθῶν νέμεται, σκωλήκα δ' οὐδὲν οὐδ' ἔμψυχον οὐδέν· ἐν ταὐτῷ [g] δὲ καθεύδει καὶ νέμε-
7 ται ταῦτα. [e]Ἄλλα δ' ἐστὶ σκνιποφάγα, ἃ τοὺς σκνῖπας θηρεύοντα ζῇ [h] μάλιστα, [i] οἷον πιπὼ [k] ἥ τε μείζων καὶ ἡ ἐλάττων· καλοῦσι δέ [l] τινες [m] ἀμφότερα ταῦτα δρυοκολάπτας· ὅμοια δ' ἀλλήλοις, καὶ φωνὴν ἔχουσιν ὁμοίαν, πλὴν

[i] ὁμοίας P. [k] πάντα εἰσίν. εἰσὶ P.D[a]. [l] μὴ om. C[a]. [m] βατίος C[a], βάπος A[a]. [n] αἰγίθαλος P. [o] ἴσπιζα A[a].C[a]. [p] δ' om. P.D[a]. [q] γὰρ] δ' A[a].C[a]. [r] δὲ om. P. [s] συκαλλὶς P.D[a], καλὶς pr. A[a]. [t] πυρρουρὰς P, πυρρουρᾶς γρ. A[a], πυρουλὰς D[a], πυρρὸς ὕλας A[a].C[a]. [u] ἐριθακὸς A[a].C[a]. [v] ἐπίλαϊς A[a]. [w] ἔτι P. [x] φοινικιοῦν A[a].C[a]. [y] ἔχον rc. A[a]. [z] εὐχάριτον ὀρνίθιον A[a].C[a], εὔχαρι τὸ ὄρνεον P.D[a]. [a] εὔρυθμον. ὁ δὲ λεγόμενος ἄνθος D[a]. [b] ὀρόσπιζος E[a], ὀρέσπιζος P, ὀερόσπιζος D[a], ὀνεόσπιζος C[a], ὁ νεόσπιζος A[a]. [c] ἔχει περὶ τὸν P.A[a].C[a]. [d] θλυπὶς C[a]. [e] ἔτι δὲ ἡ A[a].C[a]. [f] ῥυσομῆτρις P.D[a]. [g] δὲ om. P. [h] μᾶλλον A[a]. [i] οἷον πίπα C[a], πτοιεῖται P, δὲ πτοεῖται D[a].E[a]. [k] ἥ τε om. P.E[a]. [l] τινες] καὶ A[a]. [m] ἄμφω A[a]C[a].

Digitized by Google

μείζω τὸ μεῖζον· [n] νέμεται δ' ἀμφότερα ταῦτα πρὸς τὰ ξύλα [o] προσπετόμενα. [4] Ἔτι [p] κελεός· [q] ἔστι δ' ὁ κελεὸς τὸ 8
μέγεθος ὅσον τρυγών, τὸ δὲ χρῶμα [r] χλωρὸς ὅλος· ἔστι δὲ ξυλοκόπος [s] σφόδρα, καὶ νέμεται ἐπὶ τῶν ξύλων τὰ πολλά, φωνὴν [t] τε μεγάλην ἔχει· γίνεται δὲ μάλιστα τὸ ὄρνεον τοῦτο [v] περὶ Πελοπόννησον. [5] Ἄλλος ὃς καλεῖται [w] κνιπο- 9
λόγος, [x] τὸ μέγεθος [y] μικρὸς ὅσον [z] ἀκανθυλλίς, τὴν δὲ χρόαν σποδοειδὴς καὶ κατάστικτος· φωνεῖ δὲ μικρόν· ἔστι δὲ [a] καὶ τοῦτο ξυλοκόπον. [6] Ἄλλα [b] δ' ἔστιν ἃ ζῇ καρπο-
φαγοῦντα [c] καὶ ποοφαγοῦντα, οἷον [d] φάψ, [e] φάττα, περι-
στερά, [f] οἰνάς, τρυγών. [g] Φάττα μὲν [h] οὖν καὶ περιστερὰ 10
ἀεὶ φαίνονται, τρυγὼν δὲ τοῦ θέρους· τοῦ γὰρ χειμῶνος ἀφανίζεται· [i] φωλεῖ γάρ. Οἰνὰς δὲ τοῦ φθινοπώρου [k] καὶ φαίνεται μάλιστα καὶ ἁλίσκεται· ἔστι δὲ τὸ μέγεθος ἡ οἰνὰς [l] μείζων μὲν περιστερᾶς, [l] ἐλάττων δὲ φαβός· ἡ δ' [m] ἅλωσις αὐτῆς γίνεται μάλιστα [n] καπτούσης τὸ ὕδωρ. [7] Ἀφικνοῦνται 11
δ' εἰς τοὺς τόπους [o] τούτους [p] ἔχουσαι νεοττούς· τὰ δ' ἄλλα πάντα τοῦ θέρους [q] ἀφικνούμενα νεοττεύει ἐνταῦθα, καὶ [r] ἐκτρέφει τὰ πλεῖστα ζῴοις, πλὴν τῶν περιστεροειδῶν. Πάντων δ' ὡς εἰπεῖν τῶν ὀρνίθων οἱ μὲν πεζεύουσι περὶ τὴν 12
τροφήν, οἱ δὲ περὶ ποταμοὺς καὶ λίμνας βιοτεύουσιν, οἱ δὲ περὶ τὴν θάλατταν, [s] ὅσοι μὲν στεγανόποδες, [t] ἐν αὐτῷ τῷ ὕδατι ποιούμενοι τὴν πλείστην διατριβήν, ὅσοι δὲ σχιζό-
ποδες, περὶ αὐτὸ τὸ ὕδωρ· καὶ τούτων ἔνιοι [v] διὰ τῶν [w] δυο-
μένων [x] τρεφόμενοι, ὅσοι μὴ σαρκοφάγοι, οἷον περὶ [y] μὲν

[n] νέμονται P. [o] προτρεπόμενα Ca. [p] κελιός P, καλιός Da, κολιός Ca. [q] ἔστι δ' ὁ κελεὸς om. P.Ea. [r] χλωρὸς ὅλος] χλωρόγολος P.Ea. [s] σφόδρα] ὅλως σφόδρα P, ὅλος σφόδρα Ea. [t] δὲ Ca. [v] παρὰ P. [w] κνιδολόγος Ca, κνιδολος Aa. [x] τὸ δὲ μέγεθος Aa.Ca. [y] μικρὸν Ca. [z] ἀκανθαλὶς Aa.Ca. [a] καὶ om. Ca. [b] δ' εἰσὶν ἃ A, δέ τινα P. [c] καὶ ποιοφαγοῦντα Da, om. P. [d] φάψ om. Aa.Ca. [e] φάττα om. Da. [f] οἰνὰς τρυγών] οἰνατρυγών P, ὀνατρυγών Ea. [g] φὰψ P.Da. [h] οὖν] οὖν φάττα P.Ea. [i] φωλεύει Da. [k] καὶ om. P. [l] μείζον et mox ἔλαττον Ca. [m] ὅρασις P.Ea. [n] καμπτούσης Aa.Ca.Da. [o] τούτους] τούσδε P.Aa, τοὺς Da. [p] ἔχοντας P.Da. [q] ἀφικνοῦνται Aa.Ca. [r] ἐκτρέφεται Aa. [s] ὅσοι] οἱ Aa.Ca. [t] ἐν —σχιζόποδες om. P. [v] δι' αὐτῶν Aa.Ca. [w] φαινομένων Da. [x] τρέφονται Aa.Ca. [y] μὲν] τε P.Da.

Digitized by Google

τὰς λίμνας καὶ [z]τοὺς ποταμοὺς ἐρωδιὸς καὶ ὁ [a]λευκερωδίος· ἔστι δ' [b]οὗτος τὸ μέγεθος ἐκείνου ἐλάττων, καὶ ἔχει τὸ
13 ῥύγχος πλατὺ καὶ μακρόν. [c]Ἔτι πελαργὸς καὶ λάρος· ὁ δὲ λάρος τὸ χρῶμα σποδοειδής. Καὶ [d]σχοινίλος καὶ [e]κίγκλος καὶ [f]πύγαργος· [g]οὗτος μέγιστος τῶν ἐλαττόνων τούτων· ἔστι γὰρ [h]ὅσον [i]κίχλη. Πάντες δ' [k]οὗτοι τὸ οὐραῖον κινοῦσιν. [l]Ἔτι σκαλίδρις· ἔστι δὲ τοῦτο τὸ ὄρνεον ποικιλίαν ἔχον, τὸ δ' ὅλον σποδοειδές. Καὶ τὸ τῶν ἀλκυό-
14 νων δὲ γένος πάρυδρόν ἐστιν. Τυγχάνει δ' αὐτῶν ὄντα [m]δύο εἴδη, καὶ ἡ [n]μὲν φθέγγεται, [o]καθιζάνουσα ἐπὶ τῶν δονάκων, ἡ δ' ἄφωνος· ἔστι δ' [p]αὕτη μείζων· τὸν δὲ νῶτον [q]ἀμφότεραι κυανοῦν ἔχουσιν. Καὶ [r]τροχίλος. Περὶ [s]δὲ τὴν θάλατταν καὶ ἁλκυὼν καὶ [t]κήρυλος. Καὶ αἱ κορῶναι δὲ νέμονται ἁπτόμεναι τῶν ἐκπιπτόντων ζῴων· παμφάγον γάρ ἐστιν. [u]Ἔτι [v]δὲ λάρος ὁ λευκὸς καὶ [w]κέπφος, αἴθυια,
15 χαραδριός. Τῶν δὲ στεγανοπόδων τὰ μὲν βαρύτερα [x]περὶ ποταμοὺς καὶ λίμνας ἐστίν, οἷον [y]κύκνος, νῆττα, [z]φαλαρίς, κολυμβίς, [a]ἔτι βόσκας, ὅμοιος μὲν νήττῃ, τὸ δὲ μέγεθος ἐλάττων, καὶ ὁ καλούμενος κόραξ· οὗτος δ' ἐστὶ τὸ μὲν μέγεθος οἷον πελαργός, πλὴν τὰ σκέλη ἔχει ἐλάττω, στεγανόπους δὲ καὶ νευστικός, τὸ δὲ χρῶμα μέλας· καθίζει δὲ οὗτος ἐπὶ τῶν δένδρων καὶ νεοττεύει ἐνταῦθα μόνος τῶν τοι-
16 ούτων. [b]Ἔτι χήν, καὶ ὁ μικρὸς [b]χὴν ὁ ἀγελαῖος, καὶ χηναλώπηξ [c]καὶ αἶξ καὶ [d]πηνέλοψ. [e]Ὁ δ' [e]ἁλιαίετος καὶ περὶ

[z] τοὺς om. A[a]. [a] λευκορώδιος C[a], λευκορόδιος P.E[a]. [b] τὸ μέγεθος οὗτος P. [c] ἔτι δὲ πελαργὸς D[a]. [d] σχοινίλος A[a], σχοινιλὸς C[a], σχοίνικλος P, σχοινίκλος D[a]. [e] κίχλος A[a], κίγχλος C. [f] πύγαργος] ὁ τρύγγας P.D[a]. [g] οὗτος δὲ μέγιστος D[a]. [h] οἷον P.D[a]. [i] κίγχλη C[a]. [k] τὸ οὐραῖον οὗτοι A[a].C[a]. [l] σκαλίδρες E[a], σκανδρὶς A[a].C[a], ὁ καλίδρις D[a]. [m] δύο εἴδη] δυσειδῆ P.E[a]. [n] μὲν αὐτῶν φθέγγεται A[a].C[a]. [o] καθιζάνουσα C[a]. [p] αὐτὴ A[a]. [q] κυανοῦν ἔχουσιν ἀμφότεραι D[a]. [r] τροχίλος C[a], τρόχηλος P, τράχηλον E[a]. [s] δὲ om. A[a].C[a]. [t] κηρύλλος A[a]. [v] δὲ om. P. [w] κίπφος P, γεῖφος C[a]. [x] περὶ τοὺς ποταμοὺς P. [y] νῆττα καὶ κύκνος A[a].C[a]. [z] φαληρὶς D[a], φαραλὶς P. [a] ἔτι βάσκας ὅμοιος A[a].C[a], ἔτι δὲ βόσκας ὅμοιος D[a], ἔτιβος καθ' ὁμῖος P, ἔτιβος καθόμοιος E[a]. [b] χὴν ὁ ἀγελαῖος καὶ om. P.E[a]. [c] καὶ αἶξ om. P.E[a]. [d] πωνέλοψ C[a]. [e] ἁλιαιοτὸς P.E[a].

Digitized by Google

τὴν θάλατταν διατρίβει καὶ [f]τὰ λιμναῖα κόπτει. Πολλοὶ δὲ καὶ παμφάγοι τῶν ὀρνίθων εἰσίν. Οἱ [g]δὲ γαμψώνυχοι 17
καὶ τῶν ἄλλων ἅπτονται ζῴων, ὅσων ἂν κρατῶσι, καὶ τῶν ὀρνέων· πλὴν οὐκ [h]ἀλληλοφάγοι τοῦ γένους τοῦ οἰκείου εἰσίν, ὥσπερ οἱ ἰχθύες ἅπτονται πολλάκις καὶ [i]ἑαυτῶν. [j]Ἔστι δὲ τὸ τῶν [k]ὀρνίθων γένος [l]πᾶν μὲν ὀλιγόποτον, οἱ δὲ [m]γαμψώνυχες καὶ ἄποτοι πάμπαν, εἰ μή [n]τι ὀλίγον γένος καὶ ὀλιγάκις. Μάλιστα δὲ τοιοῦτον ἡ κεγχρίς. Καὶ ἰκτῖνος ὀλιγάκις μέν, ὦπται δὲ πίνων.

Τὰ δὲ φολιδωτὰ τῶν ζῴων, [o]οἷον [p]σαῦρός τε καὶ [q]τὰ 4
τετράποδα τἆλλα καὶ οἱ ὄφεις, [r]παμφάγα ἐστίν· καὶ γὰρ σαρκοφάγα, καὶ πόαν ἐσθίουσιν. Οἱ δ' ὄφεις καὶ [s]λιχνότατοι τῶν ζῴων εἰσίν. [t]Ἔστι μὲν οὖν ὀλιγόποτα καὶ ταῦτα [t]καὶ τἆλλα ὅσα ἔχει τὸν [v]πλεύμονα σομφόν· ἔχουσι δὲ σομφὸν τὰ [w]ὀλίγαιμα πάντα καὶ τὰ ὠοτόκα. Οἱ δ' ὄφεις 2
καὶ πρὸς τὸν οἶνόν εἰσιν ἀκρατεῖς, διὸ θηρεύουσί τινες καὶ τοὺς [x]ἔχεις εἰς ὀστράκια [y]διατιθέντες [z]οἶνον εἰς τὰς αἱμασιάς· λαμβάνονται [a]γὰρ μεθύοντες. Σαρκοφάγοι δ' ὄντες οἱ ὄφεις, ὅ τι ἂν [b]λάβωσι ζῷον, ἐξικμάζοντες ὅλα κατὰ τὴν ὑποχώρησιν προΐενται. Σχεδὸν δὲ καὶ τἆλλα τὰ τοιαῦτα, 3
οἷον [c]οἱ ἀράχναι· [d]ἀλλ' ἔξω οἱ ἀράχναι [e]ἐκχυμίζουσιν, οἱ δ' ὄφεις ἐν τῇ κοιλίᾳ. Λαμβάνει μὲν οὖν [f]ὁ ὄφις ὅθεν ἂν τύχῃ τὸ διδόμενον (ἐσθίει [g]γὰρ καὶ ὀρνίθια καὶ θηρία, καὶ [h]ᾠὰ καταπίνει), λαβὼν δ' ἐπανάγει, ἕως ἂν ἐπὶ τὸ ἄκρον [i]ἐλθὼν εἰς εὐθὺ καταστήσῃ, κἄπειθ' οὕτω συνάγει [k]ἑαυτὸν καὶ συστέλλει εἰς μικρὸν ὥστ' ἐκταθέντος κάτω γίνεσθαι τὸ

[f] τὰς λίμνας διακόπτει A[a].C[a]. [g] δὲ om. P. [h] ἀλληλοφαγοῦσι, omisso mox εἰσίν, P.E[a]. [i] αὑτῶν P. [k] ὀρνέων A[a].C[a].D[a]. [l] πᾶν μὲν] πάμπαν C[a]. [m] γαμψώνυχοι A[a]. [n] τι] ὅτι P. [o] οἷον om. A[a]. [p] σαῦροί A[a].C[a]. [q] τὰ om. P.A[a]. [r] παμφάγα εἰσὶ καὶ σαρκοφάγα A[a]. [s] λιχνότατοι—sect. 2. ὄφεις καὶ om. C[a]. [t] καὶ τἆλλα] ἀλλ' P.E[a]. [v] πνεύμονα A[a].E[a]. [w] ὀλιγόαιμα D[a]. et corr. A[a]. [x] ὄφεις εἰς ὀστράκινα A[a].C[a]. [y] διὰ τὸ τιθέναι P.D[a]. [z] οἷον A[a].C[a]. [a] γὰρ] δὲ D[a]. [b] λαμβάνωσι P.D[a]. [c] αἱ P.E[a], καὶ οἱ D[a]. [d] ἀλλ' ἔξω οἱ ἀράχναι om. P. [e] ἐκχυμάζουσιν A[a].C[a]. [f] ὁ ὄφις om. P. [g] γὰρ καὶ] γὰρ τὰ D[a], γὰρ P. [h] καταπίνει ᾠά P. [i] ἔλθωσιν εὐθὺ P.E[a]. [k] αὐτὸν C[a].

Digitized by Google

4 [l]καταποθέν. Ταῦτα δὲ ποιεῖ διὰ τὸ τὸν στόμαχον εἶναι λεπτὸν καὶ μακρόν. Δύναται δ' ἄσιτα καὶ τὰ φαλάγγια καὶ οἱ ὄφεις πολὺν χρόνον ζῆν· ἔστι δὲ τοῦτο θεωρῆσαι ἐκ τῶν παρὰ τοῖς [m]φαρμακοπώλαις τρεφομένων.

5 Τῶν δὲ τετραπόδων καὶ [n]ζῳοτόκων τὰ μὲν ἄγρια καὶ καρχαρόδοντα πάντα σαρκοφάγα· πλὴν τοὺς λύκους φασίν, ὅταν πεινῶσιν, ἐσθίειν τινὰ γῆν, μόνον δὴ [o]τοῦτο τῶν ζῴων· πόας δ' ἄλλοτε μὲν οὐχ ἅπτονται, ὅταν δὲ κάμνωσι, καθάπερ καὶ αἱ [p]κύνες [q]ἐσθίουσαι ἀνεμοῦσι καὶ καθαίρονται.

2 [r]Ἀνθρωποφαγοῦσι δ' οἱ μονοπεῖραι τῶν λύκων μᾶλλον [αὐτῶν] ἢ τὰ κυνηγέσια. [s]Ὃν δὲ καλοῦσιν οἱ μὲν [r]γλάνον οἱ δ' ὕαιναν, ἔστι [s]μὲν τὸ μέγεθος οὐκ [t]ἐλάττων λύκου, [v]χαίτην δ' ἔχει ὥσπερ [w]ἵππος, καὶ ἔτι σκληροτέρας καὶ βαθυτέρας τὰς τρίχας, καὶ [x]καθ' ὅλης τῆς ῥάχεως· ἐπιβουλεύει δὲ καὶ θηρεύει τοὺς ἀνθρώπους, τοὺς δὲ κύνας καὶ [y]ἐμοῦσα θηρεύει ὥσπερ οἱ ἄνθρωποι· καὶ τυμβωρυχεῖ δὲ ἐφιέμενον τῆς [z]σαρκοφαγίας [a]τῆς τοιαύτης. [t]Ἡ δ' ἄρκτος

3 παμφάγον ἐστί. Καὶ γὰρ καρπὸν ἐσθίει, καὶ ἀναβαίνει ἐπὶ τὰ δένδρα διὰ τὴν ὑγρότητα τοῦ σώματος, καὶ τοὺς καρποὺς τοὺς [b]χέδροπας· ἐσθίει [c]δὲ καὶ [d]μέλι τὰ σμήνη καταγνύουσα, καὶ καρκίνους καὶ [e]μύρμηκας, καὶ σαρκοφαγεῖ.

4 Διὰ [f]γὰρ τὴν ἰσχὺν ἐπιτίθεται [g]οὐ μόνον [h]τοῖς ἐλάφοις ἀλλὰ καὶ τοῖς ἀγρίοις ὑσίν, [i]ἐὰν δύνηται λαθεῖν ἐπιπεσοῦσα, καὶ [k]τοῖς ταύροις· [l]ὁμόσε χωρήσασα γὰρ τῷ ταύρῳ κατὰ πρόσωπον ὑπτία καταπίπτει, καὶ τοῦ ταύρου τύπτειν ἐπιχειροῦντος τοῖς μὲν [m]βραχίοσι [n]τὰ κέρατα περιλαμβάνει,

[l] καταποθέν] κάτωθεν $A^a.C^a$. [m] φαρμακοπώλοις P.A^a. [n] ζωοτοκούντων P.D^a. [o] τούτων A^a. [p] κύνες] κύνες ὅταν κάμνωσιν P.D^a. [q] ἐσθίουσαι ἀναιμοῦσι C^a, ἐσθίουσιν ἀνεμοῦσαι E^a, ἐσθίουσιν ἀναμοῦνσαι P. [r] γάνον D^a. [s] μὲν om. P.D^a. [t] ἐλάττων Schneiderus: codices ἔλαττον. [v] χαῖτιν A^a. [w] ἵππου P, λύκου ἵππος E^a. [x] καθ'] δι' P.D^a. [y] νέμουσα P.E^a. [z] σαρκοφάγου A^a. [a] τῆς τοιαύτης] τῶν ἀνθρώπων P.D^a. [b] χεδροπούς $A^a.C^a$. [c] δὲ om. P. [d] μελιττῶν P.$A^a.C^a.E^a$. [e] μύρμηκας ἐσθίει καὶ P. [f] γὰρ om. P. [g] οὐ] δὲ οὐ P. [h] ταῖς ἐλ.D^a. [i] ἂν C^a. [k] τοὺς ταύρους A^a. [l] ὁμόσε γὰρ χωρήσασα D^a, ὅμως ἐγχωρήσασα D^a. [m] βραχέσι P.E^a. [n] τὰ] τοῦ ταύρου τὰ P.D^a.

Digitized by Google

τῷ δὲ στόματι τὴν ἀκρωμίαν [o] δακοῦσα καταβάλλει τὸν ταῦρον. Βαδίζει δ' ἐπί τινα χρόνον ὀλίγον καὶ τοῖν δυοῖν ποδοῖν ὀρθή. Τὰ δὲ κρέα πάντα κατεσθίει [p] προσήπουσα πρῶτον. [1] Ὁ δὲ λέων σαρκοφάγον μέν ἐστιν, ὥσπερ καὶ τἆλλα ὅσα ἄγρια καὶ καρχαρόδοντα, τῇ δὲ βρώσει χρῆται λάβρως, καὶ καταπίνει πολλὰ [q] ὅλα οὐ διαιρῶν, [r] εἶθ' ἡμέρας δύο ἢ τρεῖς ἀσιτεῖ· δύναται γὰρ διὰ [s] τὸ ὑπερπληροῦσθαι. [1] Ὀλιγόποτον δ' ἐστίν. Τὸ δὲ περίττωμα προΐεται σπανίως· διὰ τρίτης γὰρ ἢ ὅπως ἂν τύχῃ προχωρεῖ, καὶ τοῦτο [t] ξηρὸν καὶ [v] ἐξικμασμένον, [w] ὅμοιον κυνί. Προΐεται δὲ καὶ τὴν φῦσαν [x] σφόδρα δριμεῖαν καὶ τὸ οὖρον [y] ἔχον ὀσμήν, διόπερ οἱ κύνες ὀσφραίνονται τῶν δένδρων· οὐρεῖ γὰρ αἴρων τὸ σκέλος ὥσπερ οἱ κύνες. [1] Ἐμποιεῖ δὲ καὶ ὀσμὴν βαρεῖαν ἐν τοῖς ἐσθιομένοις καταπνέων· καὶ γὰρ ἀνοιχθέντος αὐτοῦ τὰ ἔσω ἀτμίδα ἀφίησι βαρεῖαν. [1] Ἔνια δὲ τῶν τετραπόδων καὶ ἀγρίων ζῴων ποιεῖται τὴν τροφὴν περὶ λίμνας καὶ ποταμούς· περὶ δὲ τὴν [z] θάλατταν οὐδὲν ἔξω φώκης. Τοιαῦτα δ' [z] ἐστὶν ὅ τε καλούμενος κάστωρ καὶ τὸ [a] σαθέριον καὶ τὸ σατύριον καὶ ἐνυδρὶς καὶ [b] ἡ καλουμένη λάταξ· ἔστι δὲ τοῦτο πλατύτερον τῆς ἐνυδρίδος, καὶ ὀδόντας ἔχει ἰσχυρούς· ἐξιοῦσα γὰρ νύκτωρ πολλάκις τὰς [c] περὶ τὸν ποταμὸν κερκίδας ἐκτέμνει τοῖς ὀδοῦσιν. Δάκνει δὲ τοὺς ἀνθρώπους καὶ ἡ ἐνυδρίς, καὶ οὐκ ἀφίησιν, [d] ὡς λέγουσι, [e] μέχρι ἂν [f] ὀστοῦ [g] ψόφον ἀκούσῃ. Τὸ δὲ τρίχωμα ἔχει ἡ λάταξ σκληρόν, καὶ τὸ εἶδος μεταξὺ τοῦ τῆς φώκης τριχώματος καὶ τοῦ τῆς ἐλάφου.

Πίνει δὲ τῶν ζῴων τὰ μὲν καρχαρόδοντα λάπτοντα· [6] ἔνια δὲ [h] καὶ τῶν μὴ καρχαροδόντων, οἷον [i] οἱ μύες. Τὰ δὲ

[o] δάκνουσα P.D[a]. [p] προσειποῦσα P.E[a]. [q] ὅλα om. P.D[a]. [r] εἶθ'] ἐπὶ δ' A[a].C[a]. [s] τοῦ πεπληρῶσθαι C[a]. [t] σκληρὸν A[a].C[a]. [v] ἐξικμασάμενον P.E[a]. [w] ὅμοιον] καὶ ὅμοιον A[a].C[a]. [x] σφόδρα] φύσει A[a].C[a]. [y] ἔχει A[a].C[a]. [z] θαλαττίαν et εἰσὶν A[a]. [a] σαθρίον καὶ τὸ σαπείριον A[a].C[a]. [b] ἡ om. A[a]. [c] παρὰ A[a].C[a]. [d] ὡς μὲν λέγεται A[a].C[a]. [e] μέχρις C[a].D[a]. [f] ὀστοῦ om. D[a]. [g] ἀκούσῃ ψόφον A[a], ψόφον ἀκοῦσαν P.E[a]. [h] καὶ om. P.E[a]. [i] αἱ A[a].C[a].

Digitized by Google

συνόδοντα σπάσει, οἷον [k]ἵπποι καὶ βόες. [l]Ἡ δ' ἄρκτος οὔτε σπάσει οὔτε λάψει, ἀλλὰ κάψει. Καὶ τῶν ὀρνέων δὲ τὰ μὲν ἄλλα σπάσει, πλὴν τὰ μὲν [l]μακραύχενα διαλείποντα καὶ αἴροντα τὴν κεφαλήν, ὁ δὲ πορφυρίων μόνος κάψει.

2 Τὰ δὲ [m]κερατώδη τῶν ζῴων, καὶ ἥμερα καὶ ἄγρια, [n]καὶ ὅσα μὴ καρχαρόδοντα, πάντα καρποφάγα καὶ [o]ποηφάγα ἐστί, μὴ λίαν κατεχόμενα τῷ πεινῆν, ἔξω τῆς [p]ὑός· αὕτη δ' ἥκιστα [q]ποηφάγον καὶ [r]καρποφάγον [s]ἐστίν· ῥιζοφάγον δὲ μάλιστα ἡ ὗς ἐστὶ τῶν ζῴων διὰ τὸ εὖ πεφυκέναι τὸ ῥύγχος πρὸς τὴν ἐργασίαν ταύτην, καὶ εὐχερέστατον πρὸς
3 πᾶσαν τροφὴν τῶν ζῴων ἐστίν. Τάχιστα δὲ καὶ ἐπιδίδωσιν εἰς παχύτητα ὡς [t]κατὰ μέγεθος· πιαίνεται γὰρ ἐν ἑξήκοντα ἡμέραις· ὅσον δ' ἐπιδίδωσιν, [v]γινώσκουσιν οἱ περὶ ταῦτα πραγματευόμενοι νῆστιν [w]ἱστάντες. Πιαίνεται δὲ προλιμοκτονηθεῖσα ἡμέρας τρεῖς· σχεδὸν δὲ καὶ τἆλλα πάντα προλιμοκτονούμενα πιαίνεται. Μετὰ δὲ [x]τὰς τρεῖς ἡμέρας
4 εὐωχοῦσιν ἤδη οἱ πιαίνοντες τὰς ὗς. Οἱ δὲ Θρᾷκες πιαίνουσι τῇ μὲν πρώτῃ πιεῖν διδόντες, εἶτα διαλείπουσιν ἡμέραν μίαν τὸ πρῶτον, μετὰ δὲ [y]ταῦτα δύο, [z]εἶτα τρεῖς καὶ τέτταρας [a]μέχρι τῶν ἑπτά. Πιαίνεται δὲ τὸ ζῷον τοῦτο κριθαῖς, κέγχροις, σύκοις, [b]ἀκύλοις, ἀχράσι, [c]σικύοις. Μάλιστα δὲ καὶ ταῦτα καὶ τἆλλα τὰ ἔχοντα κοιλίαν [d]θερμὴν [e]ἡ ἀτρεμία
5 πιαίνει· [f]τὰς δ' ὗς καὶ τὸ [g]λούεσθαι ἐν πηλῷ. Νέμεσθαι δὲ βούλονται κατὰ τὰς ἡλικίας. Μάχεται δὲ ὗς καὶ λύκῳ. [h]Ἀπογίνεται δ' ἀπὸ [h]τοῦ σταθμοῦ, ὅσον ἕλκει ζῶσα, τὸ ἕκτον μέρος εἰς τρίχας καὶ αἷμα καὶ τὰ τοιαῦτα. Θηλαζόμεναι δὲ

k ἵππος Ca. l μακραύχενα] μικρὰ οὐχ ἕνα P.Ea. m κρεατώδη P.Da.Ea. n καὶ ante ὅσα om.Da. o ποιοφάγα Aa.Ca. p ὑός] κυνός P.Da.Ea. q ποιοφάγον Aa.Ca.Da. r καρποφόρον Aa. s ἐστίν om. Aa.Ca. t κατὰ τὸ μ. Da. v γιν.] ἐπιγινώσκουσιν P.Da. w ἱστῶντες Da, x τὰς om. Aa.Ca. y τοῦτο Aa.Ca. z εἶτα] εἶτα καὶ Da. a μέχρι] καὶ μέχρι P.Ea. b ἀκοίλοις pr. Aa, ἀκύλαις corr. c σικύσι P.Ea, συκιοῖς Aa, συκινοῖς Ca. d θερμὴν] θερμὴν ἀγαθὴν Aa, ἀγαθὴν P.Ca.Da. e ἡ ἀτρεμίαν Aa.Ca. f τὰς δ' ὗς] δὲ τὰς ὗς Aa.Ca, τὰς νηδὺς P, τὰς νηδῦς Ea. g λούεσθαι] νέμεσθαι Ca. h τοὺς σταθμοὺς ὅσον ζῶσα ἕλκει P.

Digitized by Google

[i] καὶ αἱ ὗες καὶ τἆλλα πάντα λεπτότερα γίνεται. Ταῦτα μὲν οὖν τοῦτον ἔχει τὸν τρόπον. Οἱ δὲ βόες εἰσὶ μὲν καὶ καρ- 7
ποφάγοι καὶ [k] ποηφάγοι, πιαίνονται δὲ [l] τοῖς τε φυσητικοῖς, οἷον ὀρόβοις καὶ κυάμοις [m] ἐρηριγμένοις καὶ χλόῃ κυάμων, καὶ [n] ἐάν τις τὸ δέρμα [o] ἐντεμὼν φυσήσῃ καὶ μετὰ ταῦτα [p] παράσχῃ [q] τὴν τροφὴν τοῖς πρεσβυτέροις, ἔτι δὲ κριθαῖς καὶ [r] ἁπλῶς καὶ ἐπτισμέναις, καὶ τοῖς γλυκέσιν, οἷον σύκοις καὶ ἀσταφίσι καὶ οἴνῳ καὶ τοῖς φύλλοις τῆς πτελέας· μάλιστα δ' οἱ [s] ἥλιοι καὶ τὰ λουτρὰ [t] τὰ θερμά. Τὰ δὲ [v] κέρατα τῶν 2
νέων χλιαινόμενα τῷ κηρῷ ἄγεται ῥᾳδίως ὅπου ἄν τις [w] ἐθέλῃ· καὶ τοὺς πόδας [x] δ' ἧττον ἀλγοῦσιν, [y] ἐάν τις τὰ κέρατα [z] ἀλείφῃ κηρῷ [a] ἢ πίττῃ ἢ ἐλαίῳ. Πονοῦσι δ' [b] αἱ ἀγελαῖαι μᾶλλον ὑπὸ τῆς [c] πάχνης μετανιστάμεναι ἢ ὑπὸ χιόνος. Αὐ- 3
ξάνονται δὲ ὅταν πλείω ἔτη ἀνόχευτοι ὦσιν· διὸ οἱ ἐν τῇ [d] Ἠπείρῳ τὰς καλουμένας Πυρρίχας βοῦς ἐννέα ἔτη [d] διατηροῦσιν ἀνοχεύτους καὶ καλοῦσιν ἀποταύρους, [e] ὅπως [f] αὐξάνωνται. Τούτων δὲ τὸ μὲν πλῆθος εἶναί φασι περὶ [g] τετρακοσίας, ἰδίους τῶν βασιλέων, [h] ἐν ἄλλῃ δὲ ζῆν χώρᾳ οὐ δύνασθαι· καίτοι πεπειρᾶσθαί τινάς. [v] Ἵπποι δὲ καὶ ὀρεῖς καὶ ὄνοι [i] καρ- 8
ποφάγοι μέν εἰσι καὶ [k] ποηφάγοι, μάλιστα δὲ πιαίνεται τῷ [l] ποτῷ· ὡς γὰρ ἂν [m] πίνῃ τὰ ὑποζύγια τὸ ὕδωρ, οὕτω καὶ πρὸς τὴν ἀπόλαυσιν ἔχει τῆς τροφῆς, καὶ [n] ὅπου δ' ἂν ἧττον [o] δυσχεραίνῃ τὸ ποτόν, τοῦτο μᾶλλον εὔχορτόν ἐστιν. [p] Ἡ δὲ [q] κράστις [r] λειοτριχεῖν ποιεῖ, ὅταν ἔγκυος ᾖ· ὅταν δ' ἀθέ-

[i] καὶ post δὲ om. A[a].C[a]. [k] ποιοφάγοι A[a].C[a].D[a], ποοφάγοι P. [l] τοῖς φυσικοῖς P.D[a]. [m] ἐριριγμένοις P.E[a], ἠρεισμένοις A[a], ἠριγμένοις C[a], om. D[a]. [n] ἄν C[a]. [o] ἐκτεμὼν A[a].C[a]. [p] παρέχῃ P.D[a]. [q] τὴν om. A[a].C[a]. [r] ἁπλαῖς D[a]. [s] ἥλιοι] ἠλείοι P.E[a]. [t] τὰ post λουτρὰ om. P.E[a]. [v] κεράτια P. [w] θέλῃ A[a].C[a]. [x] δ' om. A[a]. [y] ἄν C[a]. [z] ἀλιφῇ A[a]. [a] ἢ ἐλαίῳ ἢ πίττῃ A[a].C[a]. [b] αἱ ἀγελαι αἱ P.E[a], αἱ ἀγέλαι A[a].D[a]. [c] πάχνης] γαλήνης P.E[a]. [d] διαφυλάττουσιν A[a].C[a]. [e] ὅτε D[a], ὅταν C[a].E[a]. [f] αὔξωνται P.D[a]. [g] τετρακοσίους P.C[a], τριακοσίας D[a]. [h] ζῆν δὲ ἐν ἄλλῃ A[a].C[a]. [i] καρποφάγα μέν ἐστι P.D[a]. [k] ποιοφάγοι A[a], ποηφάγα P.D[a]. [l] πότῳ D[a], τόπῳ P. [m] πίνηται A[a]. [n] ὅπου δ'] ὁποῖον P.D[a]. [o] δυσχεραίνῃ] ᾖ τὸ δυσχεραῖνον P.E[a]. [p] ἡ om. P. [q] κράστις Sylburgius: κράσις A[a].C[a], κρατὶς D[a].E[a], κρατὲς P. [r] λειοκρατεῖν P.E[a], πλειοτριχεῖν A[a].C[a].

Digitized by Google

2 ρας [s] ἔχῃ [t] σκληρούς, οὐκ ἀγαθή. Τῆς δὲ πόας τῆς Μηδικῆς ἥ τε πρωτόκουρος φαύλη, καὶ [v] ὅπου ἂν ὕδωρ δυσῶδες ἐπάγηται· [w] ὄζει γὰρ τῆς πόας. Πίνειν δ' οἱ μὲν βόες ζητοῦσι καθαρόν, οἱ δ' ἵπποι ὥσπερ [x] αἱ κάμηλοι· ἡ δὲ κάμηλος πίνει ἥδιον θολερὸν καὶ παχύ, [y] οὐδ' ἀπὸ τῶν ποταμῶν πρότερον πίνει ἢ [z] συνταράξαι. Δύναται δ' ἄποτος ἀνέχεσθαι καὶ τέτταρας ἡμέρας· εἶτα μετὰ ταῦτα πίνει πολὺ πλῆθος.

9 [a]Ὁ δ' ἐλέφας ἐσθίει πλεῖστον μὲν μεδίμνους Μακεδονικοὺς ἐννέα ἐπὶ μιᾶς ἐδωδῆς· ἐπικίνδυνον δὲ τὸ τοσοῦτον πλῆθος· τὸ δ' ἐπίπαν ἓξ μεδίμνους ἢ ἑπτά, ἀλφίτων δὲ πέντε [b] μεδίμνους καὶ οἴνου πέντε [c] μάρεις (ἔστι δ' ὁ [c] μάρις ἓξ κοτύ-
2 λαι). [d]Ἤδη δέ τις ἔπιεν ἐλέφας μετρητὰς ὕδατος Μακεδονικοὺς εἰσάπαξ δέκα [d] καὶ [e] τέτταρας, καὶ πάλιν τῆς δείλης ἄλλους ὀκτώ. Ζῶσι δ' αἱ μὲν πολλαὶ τῶν καμήλων περὶ ἔτη τριάκοντα, ἔνιαι δὲ πολλῷ πλείω· καὶ γὰρ εἰς ἔτη ἑκατὸν ζῶσιν. Τὸν δ' ἐλέφαντα ζῆν [f] οἱ μὲν περὶ ἔτη διακόσιά φασιν, οἱ δὲ τριακόσια.

10 Πρόβατα δὲ καὶ αἶγες εἰσὶ μὲν [g] ποηφάγα, τὴν δὲ νομὴν ποιοῦνται τὰ μὲν πρόβατα [h] προσεδρεύοντα καὶ [i] μονίμως, αἱ δ' αἶγες ταχὺ μεταβάλλουσαι καὶ τῶν ἄκρων ἁπτόμεναι
2 [k] μόνον. Πιαίνει δὲ μάλιστα τὸ πρόβατον τὸ ποτόν, διὸ καὶ τοῦ θέρους διδόασιν ἅλας διὰ πέντε ἡμερῶν μέδιμνον τοῖς ἑκατόν· γίνεται γὰρ οὕτως [l] ὑγιεινότερον [m] καὶ πιότερον τὸ ποιμνίον. Καὶ τὰ πολλὰ [n] δὲ ἁλίζοντες διὰ τοῦτο προσφέρουσιν, [o] οἷον ἔν τε τοῖς ἀχύροις ἅλας πολλούς (διψῶντα γὰρ πίνει μᾶλλον) καὶ τοῦ μετοπώρου τὴν [p] κολοκύνθην ἁλὶ
3 πάττοντες· τοῦτο γὰρ [q] καὶ γάλα ποιεῖ πλεῖον. Καὶ κινού-

[s] ἔχειν A^a. [t] σκληρούς om. P. [v] ὅπου ἂν] ὁπόταν P.E^a, ὅταν A^a.C^a. [w] ὄζει γὰρ] ὅταν P, ὃ E^a. [x] αἱ] καὶ αἱ P.D^a. [y] οὐδὲ γὰρ ἀπὸ A^a. [z] συνταράξει P.D^a. [a] ὁ—τοσοῦτον πλῆθος om. C^a. [b] μεδίμνους om. D^a. [c] μαρεῖς et μαρὶς P.D^a. [d] καὶ om. D^a. [e] τέσσαρας P.A^a. [f] φασὶν οἱ μὲν περὶ ἔτη τριακόσια, οἱ δὲ διακόσια P.D^a. [g] ποιοφάγα A^a. C^a.D^a. [h] προεδρεύοντα P. [i] νομίμως C^a. [k] μόνων A^a.C^a. [l] ὑγιεινὸν P.E^a. [m] καὶ πιότερον om. A^a.C^a. [n] δὲ ἁλίζοντες] δελεάζοντες P.E^a. [o] οἷον om. D^a. [p] κολοκύντην ἅλα P.D^a. [q] καὶ post γὰρ om. P.

Digitized by Google

μεναι δὲ μεσημβρίας [r]πίνουσι μᾶλλον πρὸς [s]τὴν δείλην. Πρός τε τοὺς τόκους ἁλιζόμεναι μείζω τὰ οὔθατα [t]καθιᾶσιν. Πιαίνει δὲ τὰ πρόβατα [v]θαλλός, κότινος, ἀφάκη, [w]ἄχυρα [x]ὁποῖα ἂν ᾖ· [y]ἅπαντα δὲ μᾶλλον πιαίνει ἅλμη [z]προσρανθέντα. Παχύνεται δὲ καὶ ταῦτα μᾶλλον [a]προλιμοκτονηθέντα τρεῖς ἡμέρας. Ὕδωρ δὲ [b]τοῖς προβάτοις τοῦ μετο- 4
πώρου τὸ βόρειον τοῦ νοτίου ἄμεινον, καὶ αἱ νομαὶ αἱ πρὸς ἑσπέραν συμφέρουσιν, λεπτύνουσι δ' αἱ ὁδοὶ καὶ [c]αἱ ταλαιπωρίαι. Οἱ δὲ ποιμένες γινώσκουσι τὰς [d]ἰσχνούσας τῶν [e]οἰῶν, ὅταν χειμὼν ᾖ, τῷ [f]ἔχειν πάχνην, [g]τὰς δὲ [h]μὴ ἔχειν· διὰ γὰρ τὴν ἀσθένειαν κινούμεναι ἀποβάλλουσιν αἱ μὴ ἰσχύουσαι. Παντὸς δὲ τετράποδος τὰ κρέα χείρω, [i]ὅπου ἑλώδη 5
χωρία νέμονται ἢ ὅπου μετεωρότερα. Εἰσὶ δ' [k]εὐχειμερώτεραι αἱ πλατύκερκοι [l]οἷες τῶν μακροκέρκων καὶ αἱ [m]κολέραι τῶν [n]λασίων· δυσχείμεροι δὲ καὶ [o]αἱ [p]οὖλαι. [t]Ὑγιεινότεραι μὲν οὖν [q]αἱ [r]οἷες τῶν αἰγῶν, ἰσχύουσι δὲ μᾶλλον αἱ αἶγες τῶν [s]οἰῶν. Τῶν δὲ [t]λυκοβρώτων προβάτων τὰ κώδια καὶ τὰ ἔρια καὶ τὰ ἐξ αὐτῶν ἱμάτια φθειρωδέστερα γίνεται πολὺ μᾶλλον τῶν ἄλλων.

Τῶν δ' ἐντόμων τὰ μὲν ἔχοντα ὀδόντας παμφάγα [v]ἐστί, 11
τὰ δὲ γλῶτταν μόνον τοῖς ὑγροῖς τρέφεται, [w]πάντοθεν [x]ἐκχυλίζοντα [y]ταύτῃ. Καὶ τούτων τὰ μὲν παμφάγα (πάντων [z]γὰρ γεύεται [a]τῶν χυμῶν), οἷον αἱ μυῖαι, τὰ δ' αἱμοβόρα, καθάπερ μύωψ καὶ οἶστρος· τὰ δὲ φυτῶν καὶ καρ-

[r] πίνουσι δὲ μ. A[a]. [s] τῇ δείλῃ P.D[a]. [t] καθίησι A[a].C[a]. [v] θαλὸς P. [w] ἀχύρα A[a]. [x] ἂν ὁποία ᾖ A[a], καὶ πόα P, καὶ ποία E[a]. [y] πάντα P.D[a]. [z] προρρανθέντα P.D[a]. [a] προσλιμοκτονηθέντα A[a]. [b] τοῖς om. P.D[a]. [c] αἱ post καὶ om. P.E[a]. [d] ἰσχυρὰς P.D[a]. [e] ὑῶν P.D[a], ὀΐων A[a].C[a]. [f] πάχνην ἔχειν P.D[a]. [g] τοὺς C[a]. [h] μὴ] τῷ μὴ P.D[a]. [i] ὅπου εἰς ἑλώδη P.D[a]. [k] εὐχειμώτεροι οἱ A[a]. [l] ὄϊες D[a], ὗες P.E[a], om. A[a].C[a]. [m] κολοεραὶ C[a]. [n] δασείων A[a].C[a]. [o] αἱ om. P.E[a]. [p] οὖλαι] αἶγες P.D[a]. [q] αἱ om. P.D[a]. [r] ὄϊες A[a].C[a].D[a], ὗες P.E[a]. [s] ὀΐων A[a].C[a].D[a], ὑῶν P.E[a]. [t] λευκοβρώτων A[a]. [v] εἰσὶ A[a]. [w] πανταχόθεν A[a]. [x] ἐκχολίζοντα P.E[a]. [y] ταύτην A[a].C[a]. [z] γὰρ om. A[a].C[a]. [a] τῶν om. P.D[a].E[a].

Digitized by Google

2 πῶν [b] ζῇ [c] χυλοῖς. [d] Ἡ δὲ μέλιττα μόνον πρὸς οὐδὲν [d] προσ-
ίζει σαπρόν, [e] οὐδὲ χρῆται τροφῇ [f] οὐδεμιᾷ ἀλλ' ἢ τῇ γλυ-
κὺν ἐχούσῃ χυμόν· καὶ ὕδωρ δ' [g] ἥδιστα εἰς [h] ἑαυτὰς λαμβά-
νουσιν, ὅπου ἂν [i] καθαρὸν [k] ἀναπηδᾷ.

Τροφαῖς μὲν οὖν χρῶνται [l] τὰ γένη τῶν ζῴων ταῖς [m] εἰ-
1 2 ρημέναις. Αἱ δὲ πράξεις αὐτῶν ἅπασαι περί τε τὰς οἰκείας
καὶ [n] τὰς τεκνώσεις εἰσί, καὶ περὶ τὰς εὐπορίας τῆς τροφῆς,
[o] καὶ πρὸς τὰ ψύχη καὶ [p] τὰς ἀλέας πεπορισμέναι, καὶ πρὸς
2 [q] τὰς μεταβολὰς [r] τὰς τῶν ὡρῶν. Πάντα γὰρ τῆς κατὰ τὸ
[s] θερμὸν καὶ ψυχρὸν μεταβολῆς αἴσθησιν ἔχει σύμφυτον, καὶ
καθάπερ τῶν ἀνθρώπων οἱ μὲν εἰς τὰς οἰκίας τοῦ χειμῶνος με-
ταβάλλουσιν, οἱ δὲ πολλῆς χώρας κρατοῦντες θερίζουσι μὲν
ἐν τοῖς ψυχροῖς χειμάζουσι δ' ἐν τοῖς ἀλεεινοῖς, οὕτω καὶ
3 τῶν ζῴων τὰ δυνάμενα μεταβάλλειν τοὺς τόπους. Καὶ τὰ
μὲν ἐν αὐτοῖς τοῖς συνήθεσι τόποις εὑρίσκεται τὰς βοηθείας, τὰ
δ' ἐκτοπίζει, [t] μετὰ μὲν τὴν φθινοπωρινὴν ἰσημερίαν ἐκ τοῦ
Πόντου [v] καὶ τῶν ψυχρῶν [w] τόπων φεύγοντα τὸν ἐπιόντα
χειμῶνα, μετὰ δὲ τὴν ἐαρινὴν ἐκ τῶν [x] θερμῶν εἰς τοὺς τόπους
τοὺς ψυχροὺς φοβούμενα τὰ καύματα, τὰ [y] μὲν ἐκ τῶν ἐγγὺς
τόπων ποιούμενα τὰς μεταβολάς, τὰ δὲ καὶ ἐκ τῶν ἐσχάτων
ὡς εἰπεῖν, οἷον αἱ γέρανοι ποιοῦσιν· [z] μεταβάλλουσι γὰρ ἐκ
τῶν Σκυθικῶν πεδίων εἰς τὰ ἕλη τὰ [a] ἄνω τῆς Αἰγύπτου,
ὅθεν ὁ Νεῖλος ῥεῖ· [b] οὗ καὶ λέγονται τοῖς Πυγμαίοις ἐπιχει-
ρεῖν· οὐ γάρ ἐστι τοῦτο μῦθος, ἀλλ' [c] ἔστι κατὰ τὴν ἀλή-

[b] ζῇ om. pr. A[a]. [c] χυμοῖς P.E[a]. et rc. A[a]. [d] σαπρὸν προσίζει A[a].C[a], προσίζει σαθρὸν P. [e] οὐ χρῆται δὲ P. [f] οὐδεμία ἄλλη. τὰ δὲ γλυκὺν ἔχουσι A[a].C[a]. [g] ἥδιστον P.D[a]. [h] αὐτὰς C[a]. [i] καθαρὸν om. P.D[a]. [k] ἀναπηδίῃ P, ἀναπηδείῃ E[a]. [l] τῶν ζώων τὰ γένη D[a]. [m] προειρημέναις A[a].C[a]. [n] τὰς post καὶ om. P.C[a].D[a]. [o] καὶ πρὸς—πεπορισμέναι om. P.E[a]. [p] τὰς] πρὸς τὰς A[a].C[a]. [q] τὰς om. D[a]. [r] τὰς om. A[a].C[a]. [s] ψυχρὸν καὶ θερμὸν D[a]. [t] μετὰ μὲν] μετὰ δὲ P.D[a].E[a], τὰ δὲ μετὰ μὲν A[a].C[a]. [v] καὶ om. C[a]. [w] τόπων om. P. [x] θερινῶν P. [y] μὲν καὶ ἐκ D[a]. [z] μεταβάλλουσαι τὰ ἐκ P.E[a]. [a] ἄνω om. A[a].C[a]. [b] οὗ—ἐπιχειρεῖν] ἔστι δὲ ὁ τόπος οὗτος περὶ ὃν οἱ πυγμαῖοι κατοικοῦσιν P. et, qui κατέχουσιν, D[a].E[a]. [c] κατὰ τὴν ἀλήθειαν ἔστι D[a].

Digitized by Google

θειαν [d] γένος μικρὸν [e] μέν, ὥσπερ λέγεται, καὶ αὐτοὶ καὶ [e] οἱ ἵπποι, τρωγλοδύται δ' εἰσὶ τὸν βίον. Καὶ οἱ πελεκᾶνες δ' 4 ἐκτοπίζουσι, καὶ πέτονται ἀπὸ τοῦ Στρυμόνος [f] ποταμοῦ ἐπὶ τὸν [v] Ἴστρον, κἀκεῖ τεκνοποιοῦνται· ἀθρόοι δ' ἀπέρχονται, ἀναμένοντες οἱ [g] πρότεροι τοὺς [h] ὕστερον, διὰ τὸ ὅταν [i] ὑπερπτῶνται τὸ ὄρος ἀδήλους γίνεσθαι [k] τοὺς προτέρους τοῖς ὑστέροις. Καὶ οἱ ἰχθύες δὲ τὸν αὐτὸν τρόπον οἱ μὲν ἐκ τοῦ 5 Πόντου [l] καὶ εἰς τὸν Πόντον μεταβάλλουσιν, οἱ δ' ἐν μὲν τῷ χειμῶνι ἐκ τοῦ πελάγους [m] πρὸς τὴν [n] γῆν, τὴν ἀλέαν διώκοντες, ἐν δὲ τῷ θέρει ἐκ τῶν προσγείων εἰς τὸ πέλαγος, φεύγοντες τὴν ἀλέαν. Καὶ τὰ ἀσθενῆ [o] δὲ τῶν ὀρνέων ἐν 6 [p] μὲν τῷ χειμῶνι καὶ τοῖς πάγοις εἰς τὰ πεδία καταβαίνουσι διὰ τὴν ἀλέαν, ἐν δὲ τῷ θέρει ἀποχωροῦσιν εἰς τὰ ὄρη ἄνω διὰ [q] τὰ καύματα. Ποιεῖται δ' ἀεὶ [r] τὰ ἀσθενέστερα πρῶτα τὴν μετάστασιν καθ' [s] ἑκατέραν τὴν ὑπερβολήν, [t] οἷον οἱ μὲν [v] σκόμβροι τῶν θύννων, οἱ δ' ὄρτυγες τῶν γεράνων· τὰ μὲν γὰρ μεταβάλλει τοῦ Βοηδρομιῶνος, τὰ δὲ τοῦ Μαιμακτηριῶνος. [v] Ἔστι δὲ πιότερα πάντα ὅταν ἐκ [w] τῶν ψυχρῶν 7 τόπων μεταβάλλῃ ἢ ὅταν ἐκ τῶν θερμῶν, οἷον [x] καὶ οἱ ὄρτυγες [y] τοῦ φθινοπώρου μᾶλλον ἢ τοῦ ἔαρος. Συμβαίνει δ' ἐκ τῶν ψυχρῶν τόπων ἅμα μεταβάλλειν καὶ ἐκ τῆς ὥρας τῆς θερμῆς. [v] Ἔχουσι δὲ [z] καὶ πρὸς τὰς ὀχείας ὁρμητικώτερον κατὰ τὴν ἐαρινὴν ὥραν καὶ ὅταν μεταβάλλωσιν ἐκ τῶν θερμῶν. Τῶν μὲν οὖν ὀρνέων [a] αἱ γέρανοι, καθάπερ εἴρηται 8 πρότερον, ἐκτοπίζουσιν εἰς τὰ ἔσχατα ἐκ τῶν ἐσχάτων. Πέτονται δὲ πρὸς τὸ πνεῦμα. Τὸ δὲ περὶ τοῦ λίθου ψεῦδός ἐστι· λέγεται γὰρ ὡς ἔχουσιν [b] ἕρμα λίθον, ὃς γίνεται χρή-

[d] γόνος P.E[a]. [e] μέν et οἱ om. A[a].C[a]. [f] ποταμοῦ om. P.C[a].E[a]. [g] πρότερον P.E[a]. [h] ὑστέρους E[a]. [i] ὑπερπτῶσι A[a].C[a]. [k] τοὺς ὑστέρους τοῖς προτέροις D[a], τοὺς ὑστέρους τοῖς πρότερον P.E[a], τοῖς ὑστέροις τοὺς προτέρους A[a]. [l] καὶ om. P.D[a].E[a]. [m] πρὸς] εἰς E[a]. [n] γῆν τὴν ἀλέαν] ἀλέαν γῆν P. [o] δὲ om. P.A[a].C[a].E[a]. [p] μὲν] δὲ P. [q] τὰ κύματα A[a] τὸ κύημα C[a]. [r] τὰ ἀσθ. πρῶτα τὴν μετάβασιν D[a], τὰ πρῶτα τὴν μετάστασιν τὰ ἀσθ. P.E[a]. [s] ἑτέραν P.C[a]. [t] οἷον om. A[a]. [v] σκόλαυροι A[a]. [w] τῶν om. D[a]. [x] καὶ om. P. [y] τοῦ] ἐκ τοῦ P.E[a]. [z] καὶ post δὲ om. A[a]. [a] αἱ] αἵτε A[a].C[a]. [b] ἐρμάλιθον P.E[a].

Digitized by Google

σιμος πρὸς τὰς τοῦ χρυσοῦ βασάνους, ὅταν [c] ἀνεμέσωσιν.
9 Ἁπαίρουσι δὲ καὶ [d] αἱ φάτται καὶ αἱ πελειάδες, καὶ οὐ χειμάζουσι, [e] καὶ αἱ χελιδόνες καὶ αἱ τρυγόνες· αἱ δὲ περιστεραὶ καταμένουσιν. Ὁμοίως δὲ καὶ οἱ ὄρτυγες, ἐὰν μή τινες ὑπολειφθῶσι καὶ τῶν [f] τρυγόνων καὶ τῶν ὀρτύγων ἐν [g] εὐείλοις χωρίοις. Ἀγελάζονται δ' [h] αἵ τε φάτται καὶ αἱ τρυγόνες, ὅταν τε [i] παραγίνωνται καὶ [k] πάλιν ὅταν ὥρα ᾖ πρὸς
10 τὴν ἀνακομιδήν. Οἱ δ' ὄρτυγες ὅταν [l] πέσωσιν, ἐὰν μὲν εὐδία ᾖ βόρειον ᾖ, συνδυάζονται [m] τε καὶ [n] εὐημεροῦσιν, ἐὰν δὲ νότος, χαλεπῶς ἔχουσι διὰ τὸ μὴ εἶναι πτητικοί· ὑγρὸς γὰρ καὶ βαρὺς ὁ ἄνεμος· διὸ καὶ οἱ θηρεύοντες [o] ἐπιχειροῦσι τοῖς νοτίοις. Εὐδίας δ' οὐ πέτονται διὰ τὸ βάρος· πολὺ γὰρ τὸ
11 σῶμα, διὸ καὶ βοῶντες πέτονται· πονοῦσι γάρ. Ὅταν μὲν οὖν ἐκεῖθεν [p] παραβάλλωσιν, οὐκ ἔχουσιν ἡγεμόνας· ὅταν δ' ἐντεῦθεν [q] ἀπαίρωσιν, ἥ τε γλωττὶς συναπαίρει καὶ ἡ ὀρτυγομήτρα καὶ ὁ [r] ὠτὸς καὶ ὁ [s] κύχραμος, ὅσπερ αὐτοὺς καὶ ἀνακαλεῖται [t] νύκτωρ· καὶ ὅταν τούτου τὴν φωνὴν ἀκούσωσιν οἱ
12 θηρεύοντες, ἴσασιν ὅτι οὐ καταμένουσιν. Ἡ δ' ὀρτυγομήτρα παραπλήσιος τὴν μορφὴν τοῖς λιμναίοις ἐστί, καὶ ἡ γλωττὶς γλῶτταν ἐξαγομένην ἔχουσα μέχρι πόρρω. Ὁ δ' [r] ὠτὸς ὅμοιος ταῖς γλαυξὶ καὶ [v] περὶ τὰ ὦτα [w] πτερύγια ἔχων· ἔνιοι δ' αὐτὸν νυκτικόρακα καλοῦσιν. [x] Ἔστι δὲ [y] κόβαλος καὶ μιμητής, καὶ ἀντορχούμενος [z] ἁλίσκεται, [a] περιελθόντος θα-
13 τέρου τῶν [b] θηρευτῶν, καθάπερ [c] ἡ γλαύξ. Ὅλως δὲ τὰ [d] γαμψώνυχα πάντα βραχυτράχηλα καὶ πλατύγλωττα καὶ μιμητικά· καὶ γὰρ τὸ Ἰνδικὸν ὄρνεον ἡ [e] ψιττάκη, τὸ λεγό-

[c] ἂν ἐμέσωσιν A^a, ἐκπέσῃ P.D^a. [d] αἱ ante φάτται om. A^a. [e] καὶ αἱ χελιδόνες om. A^a.C^a. [f] τριγώνων A^a. [g] εὐήλοις C^a, εὐηλίοις P.D^a. [h] αἵ τε om. A^a.C^a. [i] παραγένωνται P.A^a.C^a. [k] ὅταν πάλιν P.D^a. [l] ἐμπέσωσιν A^a.C^a. [m] τε om. A^a.C^a. [n] ἠρεμοῦσιν P.D^a. [o] ἐπιχειροῦσι] οὐκ ἐπιχειροῦσι A^a.C^a. [p] παραβάλωσιν C^a. [q] ἀπάρωσιν P.D^a. [r] ὦτος utrobique A^a.C^a. [s] κίχραμος D^a, κέχραμος A^a, κεχράμος C^a. [t] νυκτός P.E^a. [v] παρὰ C^a.D^a. [w] πτερύγιον D^a. [x] ἔτι A^a. [y] κολοβὸς καὶ μιμητὴς P, μιμητὴς καὶ κολοβὸς D^a. [z] ἁλίσκεται] ἁλίσκεται δὲ P.A^a. C^a.E^a. [a] περιελθὼν τοῦ θέρους τῶν P.E^a. [b] θηρευόντων A^a.C^a. [c] ἡ om. P.D^a. [d] γαμψὰ P.E^a. [e] ψιτάκη D^a, σιττακὴ C^a, σιτακὴ A^a.

Digitized by Google

μενον ἀνθρωπόγλωττον, τοιοῦτόν ἐστι· καὶ ἀκολαστότερον [f]δὲ γίνεται, ὅταν [g]πίῃ οἶνον. [1]Ἀγελαῖοι δὲ τῶν ὀρνίθων εἰσὶ γέρανος, κύκνος, πελεκάν, χὴν ὁ μικρός.

Τῶν δ' ἰχθύων οἱ μέν, ὥσπερ εἴρηται, μεταβάλλουσι [h]πρὸς 13
τὴν γῆν ἐκ τοῦ πελάγους καὶ εἰς τὸ πέλαγος ἀπὸ τῆς γῆς, φεύγοντες τὰς ὑπερβολὰς τοῦ ψύχους καὶ τῆς ἀλέας. [1]Ἀμείνους δ' εἰσὶν οἱ πρόσγειοι τῶν πελαγίων· πλείω γὰρ [i]καὶ βελτίω νομὴν ἔχουσιν· ὅπου γὰρ [k]ἂν ὁ ἥλιος [l]ἐπιβάλλῃ, [m]πλείω φύεται καὶ [n]βελτίω καὶ ἀπαλώτερα, οἷον ἐν κήποις. Καὶ ὁ [o]θὶς ὁ [p]μέλας φύεται πρὸς τῇ γῇ, ὁ δ' ἄλλος ὅμοιός 2
ἐστι τοῖς ἀγρίοις. [1]Ἔτι δὲ καὶ [q]κεκραμένοι τυγχάνουσι καλῶς τῷ θερμῷ καὶ τῷ [r]ψυχρῷ οἱ τόποι οἱ πρόσγειοι τῆς θαλάττης· διὸ καὶ [s]αἱ σάρκες [t]συνεστᾶσι μᾶλλον τῶν τοιούτων ἰχθύων, τῶν δὲ πελαγίων ὑγραί εἰσι καὶ κεχυμέναι. Εἰσὶ 3
δὲ πρόσγειοι [v]σινώδων, κάνθαρος, ὀρφός, χρύσοφρυς, κεστρεύς, τρίγλη, [w]κίχλη, δράκων, καλλιώνυμος, [x]κωβιὸς καὶ τὰ πετραῖα πάντα· [y]πελάγιοι δὲ τρυγὼν καὶ τὰ σελάχη καὶ [z]γόγγροι οἱ λευκοί, χάννη, [a]ἐρυθρῖνος, γλαῦκος· [b]φάγροι [c]δὲ καὶ σκορπίοι καὶ γόγγροι [d]οἱ μέλανες καὶ [e]μύραιναι καὶ κόκκυγες ἐπαμφοτερίζουσιν. Εἰσὶ δὲ διαφοραὶ τούτων καὶ 4
κατὰ [f]τοὺς τόπους, οἷον περὶ Κρήτην οἱ κωβιοὶ καὶ τὰ πετραῖα [g]πάντα πίονα γίνεται. Γίνεται δὲ καὶ ὁ θύννος ἀγαθὸς [h]πάλιν μετ' [1]Ἀρκτοῦρον· ἤδη γὰρ [i]οἰστρῶν παύεται ταύτην τὴν ὥραν· διὰ γὰρ τοῦτο ἐν τῷ θέρει χείρων ἐστίν. Γίνονται 5
δὲ καὶ ἐν ταῖς λιμνοθαλάτταις πολλοὶ τῶν ἰχθύων, οἷον [k]σάλπαι, χρύσοφρυς, [l]τρίγλη καὶ τῶν ἄλλων σχεδὸν οἱ

[f] τε P.E[a]. [g] πίνῃ C[a]. [h] πρὸς] εἰς P.D[a]. [i] νομὴν καὶ βελτίω D[a]. [k] ἂν ᾖ ὁ P. [l] ἐπιβάλῃ A[a]. [m] πλείω γίνεται A[a].C[a], φύεται πλείω P.D[a]. [n] βελτίω νομὴν ἔχουσι καὶ ἀπαλωτέραν E[a], βελτίω νομὴν ἔχουσι καὶ βέλτιον καὶ ἀπαλωτέραν P. [o] θεὶς A[a]. [p] μέγας C[a]. [q] κεκραμμένοι A[a]. [r] ψυχρῷ οἱ πρόσγειοι τόποι D[a]. [s] αἱ om. C[a]. [t] συνιστᾶσι D[a]. [v] συνώδων P.C[a].E[a], συνόδων καὶ A[a].C[a]. [w] κίκλη P.D[a].E[a]. [x] καρβιὸς A[a], βιὸς P, om. E[a]. [y] πελάγια A[a].C[a]. [z] οἱ γόγγροι λευκοί, χάννα A[a].C[a]. [a] ἐρυθρινός P.D[a]. [b] φαῦροι D[a]. [c] τε C[a]. [d] οἱ om. A[a].C[a]. [e] μύραινα P.E[a]. [f] τοὺς om. A[a]. [g] πίονα πάντα P.E[a]. [h] πάλιν] πλὴν C[a]. [i] οἴστρῳ P.E[a]. [k] σάρπη A[a].C[a]. [l] τρίγλα P.

Digitized by Google

πλεῖστοι. Γίνονται δὲ καὶ [m] ἄμιαι, οἷον περὶ [n] Ἀλωπεκόννησον· καὶ ἐν τῇ [o] Βιστωνίδι λίμνῃ ἔνεστι τὰ [p] πλεῖστα γένη
6 τῶν ἰχθύων. Τῶν δὲ [q] κολιῶν [r] οἱ πολλοὶ εἰς μὲν [s] τὸν [t] Πόντον οὐκ ἐμβάλλουσιν, ἐν δὲ τῇ Προποντίδι θερίζουσι καὶ [v] ἐκτίκτουσι, χειμάζουσι δ' ἐν τῷ [w] Αἰγαίῳ. [x] Θυννίδες [y] δὲ καὶ πηλαμύδες καὶ [z] ἄμιαι εἰς τὸν Πόντον ἐμβάλλουσι τοῦ ἔαρος καὶ θερίζουσιν, σχεδὸν δὲ καὶ οἱ πλεῖστοι τῶν [a] ῥυάδων καὶ ἀγελαίων ἰχθύων. [b] Εἰσὶ δ' οἱ πλεῖστοι ἀγε-
7 λαῖοι. [c] Ἔχουσι δ' οἱ ἀγελαῖοι [c] ἡγεμόνας πάντες. Εἰσπλέουσι δ' εἰς τὸν Πόντον διά τε τὴν τροφήν (ἡ γὰρ νομὴ καὶ πλείων καὶ βελτίων διὰ τὸ πότιμον), καὶ τὰ θηρία [d] δὲ τὰ μεγάλα [e] ἐλάττω· ἔξω γὰρ δελφῖνος καὶ φωκαίνης οὐδέν ἐστιν ἐν τῷ Πόντῳ, καὶ ὁ δελφὶς μικρός· [f] ἔξω δ' [g] εὐθὺς
8 [h] προελθόντι [i] μεγάλοι. Διά τε δὴ τὴν τροφὴν εἰσπλέουσι καὶ διὰ τὸν [k] τόκον· [l] τόποι γάρ εἰσιν ἐπιτήδειοι [m] ἐντίκτειν, καὶ τὸ πότιμον καὶ τὸ γλυκύτερον ὕδωρ ἐκτρέφει τὰ κυήματα. [v] Ὅταν δὲ τέκωσι καὶ τὰ [n] γενόμενα αὐξηθῇ, ἐκπλέου-
9 σιν [o] εὐθὺς μετὰ [p] Πλειάδα. [q] Ἂν μὲν οὖν νότιος ὁ χειμὼν ᾖ, βραδύτερον ἐκπλέουσιν, [q] ἂν δὲ βόρειος, θᾶττον διὰ τὸ [r] τὸ πνεῦμα συνεπουρίζειν· καὶ ὁ γόνος δὲ [s] τότε μικρὸς ἁλίσκεται περὶ Βυζάντιον [t] ἅτ' οὐ γενομένης [v] πολλῆς ἐν τῷ Πόντῳ
10 διατριβῆς. Οἱ μὲν οὖν ἄλλοι καὶ ἐκπλέοντες καὶ εἰσπλέοντες δῆλοί εἰσιν, οἱ δὲ [w] τριχίαι μόνοι εἰσπλέοντες μὲν ἁλίσκονται, ἐκπλέοντες δ' οὐχ ὁρῶνται, ἀλλὰ καὶ ὅταν ληφθῇ τις περὶ Βυζάντιον, οἱ ἁλιεῖς τὰ δίκτυα περικαθαίρουσι διὰ τὸ

[m] ἀμίαι A[a], αἱ ἄμειαι P. [n] ἀλωπεκόνησον P.D[a].E[a], ἀλώπεκον νῆσον C[a]. [o] βιστονίδι D[a], βιστώνῃ P. [p] πλεῖστα om. P.D[a]. [q] κολιῶν A[a].C[a], κοιλίων P. [r] οἱ μὲν πολλοὶ A[a].C[a]. [s] τὸν om. D[a]. [t] τόπον C[a]. [v] ἐντίκτουσι A[a].C[a].D[a]. [w] αἰγιαλῷ A[a].C[a]. [x] θύννες P.D[a], θυνῆδες A[a]. [y] δὲ om. A[a]. [z] ἄμειαι P. [a] ῥυαλῶν A[a]. [b] δ' εἰσὶν P.E[a]. [c] ἡγεμόνα. πάντες δὲ εἰσπλέουσιν P.D[a]. [d] δὲ om. P.D[a]. [e] ἐλάττω] βελτίω P.E[a]. [f] ἔσω P.E[a]. [g] εὐθὺ A[a].C[a]. [h] προσελθόντι A[a], προσελθών τι P.E[a]. [i] μεγάλω P.E[a]. [k] ποτόν P.E[a]. [l] τόποι τε γάρ A[a]. [m] ἐντίκτειν] ἐν τῷ τίκτειν A[a], εἰς τὸ τίκτειν P.D[a]. [n] γεννώμενα P.D[a]. [o] εὐθὺ C[a]. [p] πλειάδος P.E[a]. [q] ὅταν A[a].C[a]. [r] τὸ alterum om. C[a]. [s] ὅτε μικρὸς A[a], ὁταμακρὸς C[a]. [t] ἅτ' οὐ] αὐτοῦ P.D[a]. [v] ἐν τῷ πόντῳ πολλῆς P.D[a]. [w] τριχαῖοι μόνοι τῶν ἰχθύων εἰσπλέοντες P.D[a].

Digitized by Google

μὴ εἰωθέναι ἐκπλεῖν. Αἴτιον δ' ὅτι οὗτοι μόνοι ἀναπλέουσιν εἰς τὸν [x]Ἴστρον, [y]εἶθ' ἧ σχίζεται, καταπλέουσιν εἰς τὸν [z]Ἀδρίαν. Σημεῖον δέ, [a]ἐκεῖ [b]γὰρ συμβαίνει τοὐναντίον· 11 εἰσπλέοντες μὲν [c]γὰρ οὐχ ἁλίσκονται [d]εἰς τὸν [e]Ἀδρίαν, ἐκπλέοντες δ' ἁλίσκονται. Εἰσπλέουσι δ' οἱ θύννοι ἐπὶ δεξιὰ ἐχόμενοι τῆς γῆς, ἐκπλέουσι δ' ἐπ' ἀριστερά· τοῦτο δέ φασί τινες ποιεῖν ὅτι τῷ δεξιῷ ὀξύτερον ὁρῶσι, [f]φύσει οὐκ ὀξὺ βλέποντες. Τὴν μὲν [g]οὖν ἡμέραν οἱ ῥυάδες κομίζονται, τὴν 12 δὲ νύκτα ἡσυχάζουσι [h]καὶ νέμονται, [i]ἐὰν μὴ σελήνη ᾖ· τότε δὲ κομίζονται καὶ οὐχ ἡσυχάζουσιν. Λέγουσι δέ τινες τῶν περὶ τὴν θάλατταν ὡς ὅταν τροπαὶ χειμεριναὶ [k]γίνωνται, οὐκέτι κινοῦνται ἀλλ' ἡσυχάζουσιν, ὅπου ἂν τύχωσι [l]καταληφθέντες, μέχρι ἰσημερίας. Οἱ μὲν οὖν [m]κολίαι εἰσπλέον- 13 τες ἁλίσκονται, ἐξιόντες δ' ἧττον· [n]ἄριστοι δ' εἰσὶν ἐν τῇ Προποντίδι πρὸ τοῦ τίκτειν. Οἱ δ' ἄλλοι ῥυάδες ἐξιόντες ἐκ τοῦ Πόντου [o]ἁλίσκονται μᾶλλον καὶ ἄριστοι τότε εἰσίν· ὅταν δὲ [p]εἰσπλέωσιν, ἐγγύτατα τοῦ αἰγιαλοῦ πιότατοι ἁλίσκονται, ὅσα δ' ἀνωτέρω, ἀεὶ λεπτότεροι. Πολλάκις δὲ καὶ ὅταν πνεῦμα ἀντικόψῃ νότιον [q]ἐκπλέουσι τοῖς [r]κολίαις καὶ τοῖς σκόμβροις, κάτω ἁλίσκονται μᾶλλον ἢ περὶ Βυζάντιον.

Τοὺς μὲν οὖν ἐκτοπισμοὺς τοῦτον ποιοῦνται τὸν τρόπον. 14 Τὸ δ' αὐτὸ τοῦτο συμβαίνει πάθος καὶ ἐπὶ τῶν χερσαίων κατὰ τὴν φωλείαν· τοῦ μὲν γὰρ χειμῶνος ὁρμῶσι πρὸς τὴν [s]φωλείαν, ἀπαλλάττονται δὲ κατὰ τὴν θερμοτέραν ὥραν. Ποιοῦνται δὲ τὰ ζῷα [t]καὶ τὰς [u]φωλείας πρὸς τὴν βοήθειαν

[x] Ἴστρον—τὸν om. P.E[a]. [y] εἶτ' ἤδη σχ. καὶ κ. A[a].C[a]. [z] ἀνδρίαν P.A[a].C[a].E[a]. [a] ἐκεῖ] καὶ P.D[a]. [b] γὰρ] γὰρ εὖ P.E[a]. [c] γὰρ om. A[a]. [d] εἰς—ἁλίσκονται om. P.E[a]. [e] ἀνδρίαν A[a].C[a]. [f] φύσιν οὐκ ὀξεῖ A[a]. [g] οὖν om. A[a]. [h] καὶ νέμονται—ἡσυχάζουσιν om. P.E[a]. [i] ἂν C[a], κἂν D[a]. [k] γένωνται A[a].C[a]. [l] καταλειφθέντες P.A[a].C[a].E[a]. [m] κολιοὶ C[a], κολοιοὶ A[a], κόντες P, κόνες E[a]. [n] ἄρισται P.E[a]. [o] ἁλίσκονταί τε καὶ μᾶλλον ἄριστοι P.D[a]. [p] εἰσπλέωσιν οἱ ἐγγύτατα τοῦ αἰγαίου A[a].C[a]. [q] ἐκπνέουσι P.E[a], ἐκπλέουσι καὶ A[a].C[a]. [r] κολίοις P.D[a], κολιοῖς C[a], κολοιοῖς A[a]. [s] φώλην et sect. 15. φώλη E[a]. [t] καὶ] κατὰ A[a]. [u] φωλαίας P, φώλας E[a].

Digitized by Google

καὶ τὰς ὑπερβολὰς τῆς [v]ὥρας ἑκατέρας. [w]Φωλεῖ δὲ τῶν
15 μὲν ὅλον τὸ γένος, ἐνίων δὲ τὰ μὲν τὰ δ' οὔ. Τὰ μὲν γὰρ
ὀστρακόδερμα πάντα φωλεῖ, οἷον τά τε ἐν τῇ θαλάττῃ,
πορφύραι καὶ κήρυκες καὶ πᾶν τὸ τοιοῦτον γένος· ἀλλὰ τῶν
μὲν ἀπολελυμένων ἐπιδηλότερός ἐστιν ἡ [x]φωλεία (κρύπτουσι
γὰρ αὐτά, οἷον [y]οἱ κτένες, τὰ δ' ἴσχει ἐπιπολῆς ἐπικάλυμμα,
οἷον οἱ χερσαῖοι κοχλίαι), τῶν δ' [z]ἀναπολύτων ἄδηλος ἡ με-
16 ταβολή. Φωλοῦσι δ' οὐ τὴν αὐτὴν ὥραν, ἀλλ' οἱ μὲν κοχλίαι
τοῦ χειμῶνος, αἱ δὲ πορφύραι καὶ οἱ κήρυκες ὑπὸ κύνα περὶ
ἡμέρας τριάκοντα, καὶ οἱ κτένες περὶ τὸν αὐτὸν χρόνον. Τὰ
δὲ πλεῖστα αὐτῶν φωλεῖ καὶ ἐν τοῖς σφόδρα ψύχεσι καὶ ἐν
14 ταῖς σφόδρα ἀλέαις. Τὰ δ' ἔντομα σχεδὸν [a]ἅπαντα φωλεῖ,
πλὴν [b]εἴ τι ἐν ταῖς [c]οἰκήσεσι συνανθρωπεύεται [d]αὐτῶν, καὶ
ὅσα φθείρεται καὶ μὴ διετίζει. Ταῦτα δὲ φωλεῖ τοῦ χει-
μῶνος. Φωλεῖ δὲ τὰ μὲν πλείους ἡμέρας, τὰ δὲ τὰς χειμερι-
2 ωτάτας, οἷον αἱ μέλιτται· καὶ γὰρ αὗται φωλοῦσιν. Σημεῖον δ' ὅτι οὐδὲν [e]φαίνονται γευόμεναι τῆς παρακειμένης
τροφῆς· [f]κἂν τις αὐτῶν [g]ἐξερπύσῃ, φαίνεται [h]διαφανής,
καὶ οὐθὲν ἐν τῇ κοιλίᾳ ἐνὸν δῆλον. [i]Ἡσυχάζει δ' ἀπὸ Πλει-
άδος δύσεως μέχρι τοῦ ἔαρος. [i]Ποιεῖται δὲ τὰ ζῷα τὰς φω-
λείας ἀποκρυπτόμενα ἐν ἀλεεινοῖς καὶ ἐν οἷς εἴωθε τόποις
15 [k]ἐπικοιτάζεσθαι. Φωλεῖ [l]δὲ καὶ τῶν ἐναίμων πολλά, οἷον
τά τε φολιδωτά, ὄφεις τε καὶ [m]σαῦραι καὶ ἀσκαλαβῶται
καὶ κροκόδειλοι οἱ ποτάμιοι, τέτταρας μῆνας τοὺς χειμεριω-
τάτους, καὶ οὐκ ἐσθίουσιν οὐδέν. Οἱ μὲν οὖν ἄλλοι ὄφεις ἐν
τῇ γῇ [n]φωλοῦσιν, [o]αἱ δ' [p]ἔχιδναι ὑπὸ τὰς πέτρας [q]ἀπο-
2 κρύπτουσιν [r]ἑαυτάς. Φωλοῦσι δὲ πολλοὶ [s]καὶ τῶν ἰχθύων,

[v] ἑκατέρας ὥρας P. [w] φωλεῖ δὲ τῶν] φωλιδωτῶν D^a, φολιδωτὰ P. [x] φώλη E^a. [y] οἱ om. P.E^a. [z] ἀπολύτων C^a. [a] πάντα A^a.C^a. [b] εἴ τι ἐν] εἰπεῖν P.E^a, εἰ τινὲς ἐν A^a.C^a. [c] οἰκήσεσιν εἴ τι σ. P.E^a. [d] αὐτῶν] δὲ αὐτῶν A^a.C^a. [e] φαίνονται γευόμεναι] γεύεται A^a.C^a. [f] καὶ ἐάν P.D^a. [g] ἐξερπύσας E^a. [h] ἀφανής P. [i] ποιεῖ A^a.C^a. [k] ἐπηλυγάζεσθαι A^a, ἐπιλυγάζεσθαι C^a. [l] δὲ πολλὰ καὶ τῶν ἐναίμων P.E^a, δὲ καὶ τὰ πολλὰ τῶν ἐναίμων D^a. [m] σαῦροι A^a.C^a. [n] et sect. 3. φωλεύουσιν P.D^a. [o] οἱ P.C^a.E^a. [p] ἐχῖναι P, ἐχῖνοι E^a. [q] κατακρύπτουσιν P.D^a.E^a. [r] αὐτάς C^a, ἑαυτούς P.E^a. [s] καὶ om. P.

Digitized by Google

[t] ἐπιφανέστατα δ' [u] ἵππουρος καὶ κορακῖνος τοῦ χειμῶνος· οὗτοι γὰρ [v] μόνοι οὐχ ἁλίσκονται οὐδαμοῦ πλὴν κατά τινας χρόνους τακτοὺς καὶ τοὺς [w] αὐτοὺς ἀεί, τὰ δὲ λοιπὰ [x] πάντα σχεδόν. [y] Φωλεῖ δὲ καὶ μύραινα καὶ ὀρφὸς καὶ γόγγρος. Κατὰ συζυγίας [z] δ' οἱ πετραῖοι [a] φωλοῦσιν οἱ ἄρρενες τοῖς 3
θήλεσιν, ὥσπερ καὶ νεοττεύουσιν, οἷον [b] κίχλαι, κόττυφοι, [c] πέρκαι. Φωλοῦσι δὲ καὶ οἱ θύννοι τοῦ χειμῶνος ἐν τοῖς βάθεσι, καὶ γίνονται πιότατοι μετὰ τὴν φωλείαν, καὶ ἄρχονται θηρεύεσθαι ἀπὸ Πλειάδος ἀνατολῆς [d] μέχρι [e] Ἀρκτούρου δύσεως τὸ ἔσχατον· τὸν δ' ἄλλον χρόνον ἡσυχίαν ἔχουσι φωλοῦντες. [f] Ἁλίσκονται δ' ἔνιοι περὶ τὸν χρόνον τῆς φω- 4
λείας καὶ τούτων καὶ τῶν ἄλλων τινὲς τῶν φωλούντων [g] κινούμενοι, ἂν ἀλεεινὸς ᾖ ὁ τόπος καὶ [h] ἐπιγίνωνται εὐδίαι παράλογοι· ἀπὸ γὰρ τῆς θαλάμης [i] προέρχονται μικρὸν ἐπὶ νομήν· καὶ [k] ταῖς πανσελήνοις. Εἰσὶ δ' οἱ πολλοὶ φω- 5
λοῦντες ἥδιστοι. Αἱ δὲ [l] πριμάδες κρύπτουσιν ἑαυτὰς ἐν τῷ βορβόρῳ· σημεῖον δὲ τό [k] τε μὴ ἁλίσκεσθαι [l] καὶ ἰλὺν ἐχούσας [m] ἐπὶ τοῦ νώτου φαίνεσθαι πολλὴν καὶ τὰ πτερύγια ἐντεθλιμμένα. Κατὰ δὲ τὴν [n] ἐαρινὴν ὥραν κινοῦνται καὶ 6
[o] προέρχονται πρὸς τὴν γῆν [p] ὀχευόμεναι καὶ τίκτουσαι, καὶ ἁλίσκονται [q] κύουσαι· καὶ τότε [r] δοκοῦσιν ὡραῖοι εἶναι, οἱ δὲ μετοπωρινοὶ καὶ χειμερινοὶ χείρους· ἅμα δὲ καὶ οἱ ἄρρενες φαίνονται πλήρεις [s] ὄντες θοροῦ. [v]Οταν μὲν οὖν μικρὰ τὰ κυήματ' ἔχωσι, δυσάλωτοί εἰσιν, ὅταν δὲ μείζω, πολλοὶ ἁλίσκονται διὰ τὸ [t] οἰστρᾶν. Φωλεῖ δὲ τὰ μὲν ἐν τῇ ἄμμῳ τὰ 7
δ' ἐν τῷ πηλῷ, ὑπερέχοντα τὸ στόμα μόνον. Τὰ μὲν πλεῖ-

[t] ἐμφανέστατα P.D[a]. [u] ἱπποῦρος P.D[a], ἴππορός τε A[a]. [v] μόνον A[a]. [w] αὐτοὺς] ἄλλους C[a]. [x] πάντα φωλεῖ σχεδόν D[a]. [y] φωλοῦσι P.D[a].E[a]. [z] δὲ καὶ οἱ A[a].C[a]. [a] φωλεύουσιν P.D[a]. [b] κίχλοι P.E[a]. [c] πέρκαι] περι P.E[a]. [d] μέχρις A[a]. [e] κινούμενοι ἐν ἀλεεινοῖσι (ἀλεεινοῖς D[a].) τόποις P.D[a].E[a]. [f] ἐπιγίνονται C[a].D[a], ἐπιτείνονται al P. [g] προέρχεται C[a]. [h] τοῖς P. [i] πριμαδίαι P.D[a]. [k] τε om. P.E[a]. [l] καὶ ἰλὺν δ' D[a], ἰλὺν δ' P. [m] ἐν τῷ νώτῳ P.D[a]. [n] ἐαρινὴν Gaza: codices εἰρημένην. [o] προσέρχονται A[a]. [p] ὀχευόμενοι καὶ τίκτοντες A[a].C[a]. [q] κύονες E[a], κύοντες P.A[a].C[a].D[a]. [r] ὡραῖοι δοκοῦσιν P.D[a]. [s] ὄντες θοροῦ] εἶναι θοροῦσι A[a]. [t] ὄστραν E[a], ὕστραν P.

Digitized by Google

στα φωλεῖ [v] μόνον τοῦ χειμῶνος, τὰ [w] δὲ μαλακόστρακα καὶ τῶν ἰχθύων οἱ πετραῖοι καὶ [x] βάτοι καὶ τὰ σελαχώδη τὰς χειμεριωτάτας [y] ἡμέρας· δηλοῖ δὲ τὸ μὴ ἁλίσκεσθαι ὅταν ᾖ
8 ψύχη. [u]Ενιοι δὲ τῶν ἰχθύων φωλοῦσι καὶ τοῦ θέρους, [z] οἷον γλαῦκος· οὗτος γὰρ τοῦ θέρους φωλεῖ περὶ ἑξήκοντθ' ἡμέρας. Φωλεῖ δὲ καὶ [a] ὁ ἄνος καὶ [b] ὁ χρύσοφρυς· σημεῖον δὲ δοκεῖ εἶναι τοῦ [c] τὸν ὄνον πλεῖστον φωλεῖν χρόνον τὸ διὰ πλεί-
9 στου [d] χρόνου ἁλίσκεσθαι. Τοῦ δὲ καὶ θέρους τοὺς ἰχθῦς φωλεῖν δοκεῖ σημεῖον εἶναι τὸ ἐπὶ τοῖς ἄστροις [e] γίνεσθαι τὰς ἀλώσεις, καὶ μάλιστα ἐπὶ κυνί· τηνικαῦτα γὰρ ἀνατρέπεσθαι τὴν θάλατταν. [v]Οπερ ἐν τῷ Βοσπόρῳ [f] γνωριμώτατόν ἐστιν· ἡ γὰρ ἰλὺς ἐπάνω [g] γίνεται καὶ ἐπιφέρονται οἱ
10 ἰχθύες. Φασὶ δὲ [h] καὶ πολλάκις τριβομένου τοῦ βυθοῦ ἁλίσκεσθαι [i] πλείους ἐν [k] τῷ αὐτῷ βόλῳ τὸ δεύτερον ἢ τὸ πρῶτον. [l]Καὶ ἐπειδὰν ὄμβροι [m] γένωνται μεγάλοι, πολλὰ φαίνεται ζῷα τῶν πρότερον ἢ ὅλως οὐχ ἑωραμένων ἢ [n] οὐ πολ-
16 λάκις. Φωλοῦσι δὲ πολλοὶ καὶ τῶν ὀρνίθων, καὶ οὐχ ὥς τινες [o] οἴονται, εἰς ἀλεεινοὺς τόπους ἀπέρχονται πάντες· ἀλλ' οἱ μὲν πλησίον ὄντες τοιούτων τόπων, ἐν οἷς ἀεὶ διαμένουσι, καὶ ἰκτῖνοι καὶ χελιδόνες, ἀποχωροῦσιν ἐνταῦθα, οἱ δὲ [p] πορρωτέρω ὄντες τῶν τοιούτων οὐκ [q] ἐκτοπίζουσιν ἀλλὰ [r] κρύπτου-
2 σιν ἑαυτούς. [u]Ηδη γὰρ ὠμμέναι πολλαὶ χελιδόνες [s] εἰσὶν ἐν ἀγγείοις ἐψιλωμέναι πάμπαν, καὶ ἰκτῖνοι [t] ἐκ τοιούτων ἐκπετόμενοι χωρίων, ὅταν φαίνωνται [v] τὸ πρῶτον. Φωλοῦσι δ' οὐθὲν [w] διακεκριμένως καὶ τῶν γαμψωνύχων καὶ τῶν [x] εὐθυωνύχων· [y] φωλεῖ γὰρ καὶ πελαργὸς καὶ κόττυφος καὶ τρυγὼν

[v] μόνον om. P.D[a]. [w] δὲ] τε P.E[a]. [x] βάτη A[a]. [y] ἡμέρας] μόνον ἡμέρας A[a].C[a]. [z] οἷον] οἷον ὁ A[a].C[a]. [a] ὁ om. P.E[a]. [b] ὁ om. E[a]. [c] τὸν ὄνον] μόνον P.E[a]. [d] ἁλίσκεσθαι χρόνου P.D[a]. [e] γενέσθαι A[a].C[a]. [f] γνωριμώτερόν P.D[a]. [g] γίγνονται A[a]. [h] καὶ post δὲ om. P.E[a]. [i] πλείω D[a]. [k] ταὐτῷ P.E[a]. [l] καὶ om. P. [m] μεγάλοι γένωνται P.D[a]. [n] οὐ om. A[a].C[a]. [o] οἴονται ὀλίγοι ἢ εἰς P.D[a]. [p] πόρρω ὄντες τῶν τοιούτων τόπων οὐκ A[a].C[a]. [q] ἐπιπίπτουσιν P.E[a]. [r] ἀποκρύπτουσιν C[a], κατακρύπτουσιν A[a]. [s] εἰσὶν om. P.D[a]. [t] ἐκ] ἐκ τῶν A[a]. [v] τὸ om. A[a].C[a].D[a]. [w] διακεκριμένου A[a]. [x] εὐθυονύχων P. [y] φωνεῖ A[a].

Digitized by Google

καὶ [z]κόρυδος, καὶ ἥ γε τρυγὼν [a]ὁμολογουμένως μάλιστα πάντων· οὐθεὶς γὰρ ὡς εἰπεῖν λέγεται [b]τρυγόνα ἰδεῖν οὐθαμοῦ [c]χειμῶνος. Ἄρχεται δὲ τῆς φωλείας σφόδρα πίειρα 3
οὖσα, καὶ πτεροῤῥυεῖ μὲν ἐν τῇ φωλείᾳ, [d]παχεῖα μέντοι διατελεῖ οὖσα. Τῶν δὲ [e]φασσῶν ἔνιαι μὲν φωλοῦσιν, ἔνιαι δ' οὐ φωλοῦσιν, ἀπέρχονται δ' ἅμα ταῖς χελιδόσιν. Φωλεῖ δὲ καὶ ἡ κίχλη [f]καὶ ὁ ψάρος, καὶ τῶν γαμψωνύχων ἰκτῖνος ὀλίγας ἡμέρας καὶ [g]ἡ γλαύξ. Τῶν δὲ ζῳοτόκων καὶ τετρα- 17
πόδων φωλοῦσιν [h]οἵ τε [i]ὕστριχες καὶ [k]αἱ ἄρκτοι. [v]Ὅτι μὲν οὖν φωλοῦσιν αἱ [l]ἄγριαι ἄρκτοι, φανερόν ἐστι, πότερον δὲ διὰ ψῦχος ἢ δι' ἄλλην αἰτίαν, ἀμφισβητεῖται. Γίνονται γὰρ περὶ τὸν χρόνον τοῦτον οἱ ἄρρενες καὶ αἱ θήλειαι πιότατοι, ὥστε μὴ εὐκίνητοι εἶναι. [t]Ἡ δὲ θήλεια καὶ τίκτει περὶ 2
τοῦτον τὸν καιρόν, καὶ φωλεῖ ἕως ἂν ἐξάγειν ὥρα ᾖ τοὺς σκύμνους· τοῦτο δὲ ποιεῖ τοῦ ἔαρος περὶ τρίτον μῆνα ἀπὸ τροπῶν. Τὸ δ' ἐλάχιστον φωλεῖ περὶ τετταράκονθ' ἡμέρας· τούτων δὲ δὶς ἑπτὰ λέγουσιν ἐν αἷς οὐδὲν κινεῖται, ἐν δὲ ταῖς πλείοσι ταῖς μετὰ ταῦτα φωλεῖ [m]μὲν κινεῖται δὲ καὶ [n]ἐγείρεται. Κύουσα δ' ἄρκτος ἢ [o]ὑπ', οὐθενὸς ἢ πάνυ ὑπ' 3
ὀλίγων εἵληπται. [u]Ἐν δὲ τῷ χρόνῳ τούτῳ φανερόν ἐστιν ὅτι οὐθὲν ἐσθίουσιν· οὔτε γὰρ ἐξέρχονται, ὅταν [p]τε ληφθῶσι, κενὰ [q]φαίνεται ἥ τε κοιλία καὶ τὰ ἔντερα. Λέγεται 4
[r]δὲ καὶ διὰ τὸ μηδὲν προσφέρεσθαι τὸ [s]ἔντερον [t]ὀλίγου [v]συμφύεσθαι αὐτῇ, καὶ διὰ τοῦτο [w]πρῶτον ἐξιοῦσαν γεύεσθαι τοῦ ἄρου πρὸς τὸ [x]ἀφιστάναι τὸ ἔντερον καὶ [y]διευρύνειν. Φωλεῖ δὲ καὶ ὁ [z]ἐλειὸς ἐν αὐτοῖς τοῖς δένδρεσι, καὶ γίνεται [a]τότε [b]παχύτατος· καὶ ὁ μῦς ὁ [c]Ποντικὸς ὁ λευκός.

z κόρυλος C^a, κόρυλλος A^a. a ὁμολογουμένη πάντων μάλιστα A^a. b τρυγὼν ἄδειν P.D^a.E^a. c χειμῶνος] τοῦ χειμῶνος C^a. d παχεῖα] ταχεῖα C^a, παχέα A^a. e τιθασσῶν P.D^a. f καὶ ὄψαρος D^a, καὶ ὀψάρω A^a. g ἡ om. A^a.C^a. h αἵ A^a. οἵ τε—φωλοῦσιν om. P.E^a. i ὕστριγγες C^a. k αἱ om. A^a.C^a. l ἄγριοι A^a.C^a. m μὲν om. P.E^a. n ἀγείρεται A^a. o ὑπ' post πάνυ om. P.A^a.C^a E^a. p δὲ P.E^a. q ἥτε κοιλία φαίνεται D^a. r δὲ καὶ] δὲ καὶ ὡς C^a, δὲ P.E^a. s ἕτερον C^a. t ὀλίγον P.D^a.E^a. v προσφύεσθαι A^a.C^a. w πρώτου corr. A^a, ποῶν A^a.C^a. x ἀφιέναι A^a. y διερευνεῖν A^a, διεραύνειν P.E^a, διηρεμεῖν C^a. z ἐλιὸς A^a.C^a, λεῖος P.E^a. a ποτὲ A^a.C^a. b παχύτατον P.E^a. c πόντιος P.D^a.

Digitized by Google

5 Τῶν δὲ φωλούντων ἔνιοι τὸ καλούμενον [d]γῆρας ἐκδύνουσιν· ἔστι δὲ τοῦτο τὸ ἔσχατον δέρμα καὶ τὸ περὶ τὰς γενέσεις
6 κέλυφος. Τῶν μὲν οὖν πεζῶν καὶ ζωοτόκων περὶ τῆς ἄρκτου ἀμφισβητεῖται ἡ αἰτία τῆς φωλείας, καθάπερ ἐλέχθη πρότερον· τὰ δὲ φολιδωτὰ φωλεῖ μὲν σχεδὸν τὰ πλεῖστα, ἐκδύνει δὲ τὸ γῆρας ὅσων τὸ δέρμα μαλακὸν μὴ ὀστρακῶδες ὥσπερ τῆς χελώνης (καὶ γὰρ ἡ χελώνη τῶν φολιδωτῶν ἐστὶ καὶ [e]ὁ ἐμύς), ἀλλ' οἷον ἀσκαλαβώτης τε καὶ σαῦρος καὶ μάλιστα πάντων οἱ ὄφεις· ἐκδύνουσι γὰρ καὶ τοῦ ἔαρος, ὅταν
7 [f]ἐξίωσι, καὶ τοῦ μετοπώρου [g]πάλιν. [1]Ἐκδύνουσι δὲ καὶ οἱ ἔχεις τὸ γῆρας καὶ τοῦ ἔαρος καὶ τοῦ μετοπώρου, καὶ οὐχ ὥσπερ [h]φασί τινες τοῦτο τὸ γένος τῶν ὄφεων [i]μὴ [k]ἐκδύεσθαι μόνον. [v]Οταν δὲ ἄρχωνται [l]ἐκδύνειν οἱ ὄφεις, ἀπὸ τῶν ὀφθαλμῶν [m]ἀφίστανται πᾶσι πρῶτον, ὥστε δοκεῖν γίνεσθαι τυφλοὺς τοῖς μὴ [n]συννοοῦσι τὸ πάθος· μετὰ δὲ τοῦτο ἀπὸ
8 τῆς κεφαλῆς, [o]καὶ λευκὴ φαίνεται πάντων. [1]Εν νυκτὶ δὲ σχεδὸν καὶ ἡμέρᾳ πᾶν ἀποδύεται τὸ γῆρας, ἀπὸ τῆς κεφαλῆς ἀρξάμενον μέχρι τῆς κέρκου. Γίνεται δὲ [p]ἐκδυομένου τὰ [q]ἐντὸς ἐκτός· ἐκδύεται γὰρ ὥσπερ τὰ ἔμβρυα ἐκ τῶν χορίων. Τὸν αὐτὸν δὲ τρόπον καὶ τῶν ἐντόμων [r]ἐκδύνει τὸ γῆρας ὅσα ἐκδύνει, οἷον [s]σίλφη καὶ [t]ἐμπὶς καὶ τὰ [v]κολεόπτερα, οἷον κάνθαρος.
9 Πάντα δὲ [w]μετὰ τὴν γένεσιν ἐκδύεται· ὥσπερ γὰρ τοῖς ζωοτοκουμένοις [x]τὸ χόριον καὶ τοῖς σκωληκοτοκουμένοις περιρρήγνυται τὸ κέλυφος, ὁμοίως καὶ μελίτταις καὶ [y]ἀκρίσιν. Οἱ δὲ τέττιγες ὅταν ἐξέλθωσι, καθιζάνουσιν ἐπί [z]τε τὰς ἐλαίας καὶ καλάμους. Περιρραγέντος δὲ τοῦ κελύφους ἐξέρχονται ἐγκαταλιπόντες ὑγρότητα μικράν, καὶ [a]μετ' οὐ πολὺν

[d] ἐκδύνουσι γῆρας Aa.Ca, γῆρας ἐκδύουσιν P.Da. [e] ὁ μῦς Da, αἱ μῦς P.Ea. [f] ἐξιῶσι P.Ca.Ea. [g] πάλιν—μετοπώρου om. Aa.Ca. [h] τινές φασι P.Da. [i] μὴ] οὐκ Aa.Ca. [k] ἐνδύεσθαι Ca. [l] ἐκδύειν Aa.Ca. [m] ἀφίστασθαί φασι πρῶτον Aa.Ca, ἀφίστασθαι πρώτων φασι Da. [n] συνιοῦσι P.Da. [o] καὶ λευκὴ] κελυφὴ Aa.Ca. [p] φυομένου P.Ea. [q] ἐντὸς om. Ca. [r] ἐκδύει—ἐκδύει Aa.Ca. [s] σίφλη Aa. [t] ἀσπὶς P.Da. [v] κολεώτερα Aa. [w] μετὰ] τὰ μεγέθη P.Ea. [x] τὸ χόριον om. P.Da. [y] ἀγρίσιν Aa. [z] τε τὰς ἐλ. καὶ κ.] τινα πέτραν P.Ea. [a] οὐ μετὰ Aa.Ca.

Digitized by Google

χρόνον ἀναπέτονται καὶ [b] ᾄδουσιν. Τῶν δὲ θαλαττίων οἱ 10
κάραβοι καὶ ἀστακοὶ ἐκδύνουσιν ὁτὲ μὲν τοῦ ἔαρος ὁτὲ δὲ τοῦ
μετοπώρου μετὰ τοὺς τόκους. [v]Ηδη [c] δ' εἰλημμένοι [d] ἔνιοί
εἰσι τῶν καράβων τὰ [e] μὲν περὶ τὸν θώρακα μαλακὰ ἔχοντες
διὰ τὸ περιερρωγέναι τὸ ὄστρακον, τὰ δὲ κάτω σκληρὰ διὰ
τὸ μή[f]πω περιερρωγέναι· τὴν [g] γὰρ [h] ἔκδυσιν [i] ποιοῦνται
οὐχ ὁμοίαν τοῖς ὄφεσιν. Φωλοῦσι δ' οἱ κάραβοι περὶ πέντε 11
μῆνας. [k]Ἐκδύνουσι δὲ καὶ οἱ καρκίνοι τὸ γῆρας, οἱ μὲν μα-
λακόστρακοι ὁμολογουμένως, φασὶ δὲ [l] καὶ τοὺς ὀστρακοδέρ-
μους, οἷον τὰς [m] μαίας. [v]Οταν δ' [n] ἐκδύνωσι, [o] μαλακὰ γί-
νεται πάμπαν τὰ ὄστρακα, καὶ οἵ γε καρκίνοι [p] βαδίζειν οὐ
σφόδρα δύνανται. [t]Ἐκδύνει δὲ τὰ τοιαῦτα οὐχ ἅπαξ ἀλλὰ
πολλάκις.

[v]Οσα μὲν [q] οὖν φωλεῖ καὶ πότε καὶ πῶς, ἔτι δὲ ποῖα καὶ
πότε ἐκδύνει τὸ γῆρας, εἴρηται. Εὐημεροῦσι δὲ τὰ ζῷα 18
κατὰ τὰς ὥρας οὐ τὰς αὐτάς, οὐδ' ἐν ταῖς ὑπερβολαῖς ὁμοίως
ἁπάσαις· ἔτι δ' [r] ὑγίειαι καὶ νόσοι [s] κατὰ τὰς ὥρας τοῖς [t] ἑτε-
ρογενέσιν ἕτεραι καὶ τὸ σύνολον οὐχ αἱ αὐταὶ πᾶσιν. Τοῖς 2
μὲν οὖν ὄρνισιν [v] οἱ αὐχμοὶ συμφέρουσι καὶ πρὸς τὴν ἄλλην
ὑγίειαν καὶ [w] πρὸς τοὺς τόκους, [x] καὶ οὐχ ἥκιστα ταῖς φάτ-
ταις, τοῖς δ' ἰχθύσιν ἔξω τινῶν ὀλίγων [y] αἱ ἐπομβρίαι. [t]Ασύμ-
φορα δὲ τοὐναντίον ἑκατέροις, τοῖς [z] μὲν ὄρνισι τὰ [a] ἔπομβρα
ἔτη (οὐδὲ γὰρ ὅλως συμφέρει τὸ πολὺ πίνειν), [b] τοῖς δ'
ἰχθύσιν οἱ αὐχμοί. Τὰ μὲν οὖν γαμψώνυχα, καθάπερ εἴρη- 3
ται πρότερον, ὡς ἁπλῶς εἰπεῖν ἄποτα πάμπαν ἐστίν (ἀλλ'
[c] Ἡσίοδος ἠγνόει τοῦτο· πεποίηκε γὰρ τὸν τῆς μαντείας

[b] *αἰδοῦσι* P, *ἐδοῦσι* E[a]. [c] δ' om. P.E[a]. [d] *εἰσὶν ἔνιοι* A[a].C[a]. [e] *μὲν* om. C[a]. [f] *πω* om. P.E[a]. [g] *γὰρ*] *δὲ* C[a]. [h] *ἔκλυσιν* A[a]. [i] *οὐχ ὁμοίαν ποιοῦνται* D[a]. [k] *ἐκδύουσι* A[a].C[a]. [l] *καὶ* om. A[a]. [m] *μαίας τὰς γραῦς* (*γραὺς* P.) *ὅταν* P.E[a]. [n] *ἐκδύωσι* D[a], *ἐκδύσωσι* P.E[a]. [o] *γίνονται μαλακὰ* D[a], *γίνονται μαλακὰ καὶ* P.E[a]. [p] *οὐ σφόδρα δύνανται βαδίζειν* D[a]. [q] *οὖν* om. P.E[a]. [r] *ὑγεῖαι* D[a]. [s] *κατά γε τὰς* A[a].C[a]. [t] *ἑτέροις γένεσιν* P.A[a].C[a].E[a]. [v] *οἱ* om. P.E[a]. [w] *πρὸς* om. A[a].C[a]. [x] *καὶ* om. A[a]. [y] *αἱ*] *καὶ* P.E[a]. [z] *μὲν*] *μὲν οὖν* C[a]. [a] *ἐπόμβρια ἦλη* P.E[a]. [b] *τοῖς—αὐχμοί* om. P. [c] *ἡρόδοτος* D[a].

Digitized by Google

[d]πρόεδρον ἀετὸν ἐν τῇ διηγήσει τῇ περὶ τὴν πολιορκίαν [e]τὴν Νίνου πίνοντα)· τὰ δ' ἄλλα πίνει [f]μέν, οὐ πολύποτα δ' [g]ἐστίν· ὁμοίως δ' οὐδ' ἄλλ' οὐθὲν τῶν πνεύμονα ἐχόντων
4 σομφὸν καὶ [h]ᾠοτόκων. Τῶν δ' ὀρνίθων ἐν ταῖς ἀρρωστίαις ἐπίδηλος ἡ πτέρωσις γίνεται· ταράττεται γάρ, καὶ οὐ τὴν αὐτὴν ἔχει κατάστασιν ἥνπερ ὑγιαινόντων.

19 Τῶν δ' ἰχθύων τὸ πλεῖστον γένος [i]εὐθηνεῖ μᾶλλον, [k]ὥσπερ εἴρηται πρότερον, ἐν [l]τοῖς ἐπομβρίοις ἔτεσιν· οὐ γὰρ μόνον [m]τότε [n]πλείω τροφὴν [o]ἔχουσιν, ἀλλὰ καὶ ὅλως τὸ [p]ὄμβριον συμφέρει, καθάπερ καὶ τοῖς ἐκ τῆς γῆς φυομένοις· καὶ γὰρ τὰ λάχανα καίπερ ἀρδευόμενα ὅμως ἐπιδίδωσιν [q]ὑό-
2 μενα [r]πλέον. Τὸ δ' αὐτὸ καὶ οἱ [r]κάλαμοι πάσχουσιν οἱ πεφυκότες ἐν ταῖς λίμναις· οὐθὲν γὰρ ὡς εἰπεῖν αὐξάνονται μὴ γινομένων ὑδάτων. Σημεῖον δὲ καὶ τὸ τοὺς πλείστους τῶν ἰχθύων εἰς τὸν Πόντον ἐκτοπίζειν θεριοῦντας· διὰ γὰρ τὸ πλῆθος τῶν ποταμῶν γλυκύτερον τὸ ὕδωρ, καὶ τροφὴν
3 [s]οἱ ποταμοὶ καταφέρουσι πολλήν. Ἔτι [t]δὲ καὶ εἰς τοὺς ποταμοὺς ἀναπλέουσι πολλοὶ τῶν ἰχθύων, καὶ [v]εὐθηνοῦσιν ἐν τοῖς ποταμοῖς καὶ ἐν ταῖς λίμναις, οἷον [w]ἄμια [x]καὶ κεστρεύς. Γίνονται [y]δὲ καὶ οἱ κωβιοὶ [z]πίονες ἐν τοῖς ποταμοῖς· καὶ
4 ὅλως τὰ [a]εὔλιμνα τῶν χωρίων ἀρίστους ἔχει ἰχθῦς. Αὐτῶν δὲ τῶν ὑδάτων οἱ θερινοὶ ὄμβροι [b]μᾶλλον συμφέρουσι τοῖς πλείστοις ἰχθύσι, καὶ ὅταν τὸ ἔαρ καὶ τὸ θέρος καὶ τὸ [c]φθινόπωρον γένηται [d]ἔπομβρον, ὁ δὲ χειμὼν [e]εὐδιεινός. Ὡς δ' εἰπεῖν [f]ὅλως ὅταν [g]καὶ κατὰ τοὺς ἀνθρώπους εὐετηρία ᾖ, [g]καὶ τοῖς [h]πλείστοις ἰχθύσι συμβαίνει εὐημερεῖν. Ἐν δὲ

[d]πρόσεδρον P. [e]τὴν] τῆς Da. [f]μέν om. P.Ea. [g]εἰσίν Aa. [h]ᾠοτόκον Ea et rc. P. [i]εὐθενεῖ Da, εὐσθενεῖ P.Aa.Ca.Ea. [k]ὥσπερ εἴρηται πρότερον post ἔτεσιν Da. [l]τοῖς om. Aa. [m]τότε om. P.Ea. [n]πλείω om. P.Da. [o]ἔχει Aa. [p]ἔμβριον P. ἔμβρυον Aa.Ea. [q]ὑόμενα] φυόμενα Aa.Ca. [r]πλείω et κάμηλοι P.Ea. [s]πολλὴν καταφέρουσιν οἱ ποταμοί Aa.Ca. [t]δὲ om. Aa. [v]εὐθενοῦσιν Aa.Da, εὐσθενοῦσιν P. [w]ἄμεια P. [x]καὶ om. Aa.Ca. [y]δὲ om. Aa.Ca. [z]πλείονες Aa. [a]εὐλίμενα P.Da, et rc. Aa. [b]συμφέρουσι μᾶλλον P.Da. [c]φθινοπωρινὸν γίνηται P. [d]ἐπόμβριον Ca. [e]εὐδιεινότερος Ca, ἀδινότερος Aa. [f]σύνολον P.Da. [g]καὶ utrumque om. Aa.Ca. [h]πλείστοις om. Aa.Ca.

Digitized by Google

τοῖς ψυχροῖς τόποις οὐκ [i] εὐθηνοῦσιν. Μάλιστα δὲ πονοῦσιν 5
ἐν τοῖς χειμῶσιν οἱ ἔχοντες λίθον ἐν τῇ κεφαλῇ, οἷον [j] χρό-
μις, λάβραξ, [k] σκίαινα, φάγρος· διὰ γὰρ τὸν λίθον ὑπὸ
τοῦ ψύχους [l] καταπήγνυνται καὶ ἐκπίπτουσιν. Τοῖς μὲν
οὖν πλείστοις ἰχθύσι συμφέρει μᾶλλον, κεστρεῖ δὲ καὶ κεφά-
λῳ καὶ ὃν καλοῦσί τινες [m] μύρινον τοὐναντίον· ὑπὸ γὰρ τῶν
ὀμβρίων ὑδάτων [n] ἀποτυφλοῦνται οἱ πολλοὶ αὐτῶν θᾶττον,
ἂν [o] λίαν [p] ὑπερβάλλωσιν. Εἰώθασι γὰρ πάσχειν [q] αὐτὸ οἱ 6
κέφαλοι [r] ἐν τοῖς χειμῶσι μᾶλλον· [s] γίνεται γὰρ τὰ ὄμματα
αὐτῶν λευκά, καὶ ἁλίσκονται τότε [t] λεπτοί, καὶ τέλος
ἀπόλλυνται πάμπαν. Ἔοικε δ' οὐ διὰ τὴν [v] ὑπερομβρίαν 7
τοῦτο πάσχειν [w] μᾶλλον, ἀλλὰ διὰ τὸ ψῦχος· ἤδη γοῦν καὶ
ἄλλοθι καὶ [x] περὶ Ναυπλίαν τῆς [y] Ἀργείας περὶ τὸ τέναγος
[y] πολλοὶ τυφλοὶ ἐλήφθησαν ἰσχυροῦ γενομένου ψύχους·
ἐλήφθησαν δὲ πολλοὶ καὶ λευκὴν ἔχοντες τὴν ὄψιν. Πονεῖ
δὲ τοῦ χειμῶνος καὶ [z] ὁ χρύσοφρυς, τοῦ δὲ θέρους ὁ [a] ἀχάρ-
νας, καὶ γίνεται λεπτός. Συμφέρει [b] δὲ τοῖς κορακίνοις ὡς 8
εἰπεῖν παρὰ τοὺς ἄλλους ἰχθῦς τὰ αὐχμώδη μᾶλλον τῶν ἐτῶν·
καὶ τούτοις δὲ διὰ τὸ συμβαίνειν ἀλέαν μᾶλλον ἐν τοῖς αὐ-
χμοῖς. Τόποι δ' [c] ἑκάστοις συμφέρουσι πρὸς [d] εὐθηνίαν, [e] ὅσα
μέν ἐστι φύσει [f] παράγεια ἢ πελάγια, [g] ἐν ἑκατέρῳ τούτων,
ὅσα δ' ἐπαμφοτερίζει, ἐν ἀμφοτέροις· εἰσὶ δέ τινες [h] καὶ
ἴδιοι τόποι [i] ἑκάστοις ἐν οἷς [k] εὐθηνοῦσιν. Ὡς δ' ἁπλῶς εἰ- 9
πεῖν οἱ φυκώδεις συμφέρουσιν· [l] πιότεροι γοῦν ἐν τοῖς [m] τοι-
ούτοις ἁλίσκονται, ὅσοι παντοδαποὺς νέμονται τόπους· οἱ

[i] εὐθενοῦσι Da. [j] χρομὶς Ca, χρωμὶς P.Da. [k] φάγρος σκίαινα Da. [l] καταπήγνυται P.Da.Ea, πήγνυται Aa.Ca. [m] μαρῖνον Aa.Ca. [n] οἱ πολ-
λοὶ αὐτῶν ἀποτυφλοῦνται P.Da. [o] λίαν om. P.Da. [p] ὑπερβάλωσιν Aa. [q] αὐτὸ] ἑαυτοῖς P.Ea. [r] ἐν] καὶ ἐν P. [s] γίνονται γὰρ αὐτῶν τὰ ὄμματα P.Aa.Ca. [t] λευκοί Aa.Ca. [v] ἐπομβρίαν Aa.Ca. [w] ἀλλὰ καὶ διὰ τὸ ψῦχος μᾶλλον· ἤδη Da. [x] περὶ τὴν ναυπλίαν Aa.Ca. [y] τυφλοὶ πολλοὶ P.Da. [z] ὁ om. Aa.Ca. [a] ἀχαρνάς Aa. [b] δὲ καὶ τοῖς Aa.Ca. [c] ἕκαστοι P.Da.Ea. [d] εὐθένειαν Ca, εὐσθένειαν P.Aa.Ca.Ea. [e] ὅσα μέν εἰσι Da, ὅσοι μέν εἰσι P.Ea. [f] παράγεια ἡ πελαγία Da, παράγει πρὸς τὴν εὐθηνίαν πελάγια Ca, παραγείαν πελαγίαν P.Ea. [g] ἐν] ἢ ἐν Aa.Ca. [h] καὶ om. Da. [i] ἑκάστῳ Da. [k] εὐθενοῦσιν Da, εὐσθενοῦσιν P.Aa. [l] πρότερον P.Ea. [m] τοιούτοις τόποις ἁλ. Ca.

Digitized by Google

μὲν γὰρ φυκιοφάγοι τροφῆς εὐποροῦσιν, οἱ δὲ σαρκοφάγοι
10 πλείοσιν ἐντυγχάνουσιν ἰχθύσιν. Διαφέρουσι δὲ καὶ τὰ [n]βόρεια καὶ τὰ νότια· τὰ γὰρ [o]μακρὰ μᾶλλον [p]εὐθηνεῖ ἐν τοῖς βορείοις, καὶ τοῦ θέρους ἁλίσκονται ἐπὶ τοῦ αὐτοῦ χωρίου
11 [q]πλείους τοῖς βορείοις τῶν μακρῶν καὶ τῶν πλατέων. Οἱ δὲ θύννοι καὶ [r]οἱ [s]ξιφίαι οἰστρῶσι περὶ κυνὸς ἐπιτολήν· ἔχουσι γὰρ ἀμφότεροι τηνικαῦτα παρὰ τὰ πτερύγια οἷον σκωλήκιον τὸ καλούμενον οἶστρον, ὅμοιον μὲν σκορπίῳ, [t]μέγεθος δ' ἡλίκον ἀράχνης· ποιοῦσι δὲ ταῦτα πόνον τοιοῦτον ὥστ' ἐξάλλεσθαι [v]οὐκ ἔλαττον ἐνίοτε τὸν ξιφίαν τοῦ δελφῖ-
12 νος, διὸ καὶ τοῖς πλοίοις πολλάκις ἐμπίπτουσιν. Χαίρουσι δ' οἱ θύννοι μάλιστα τῶν ἰχθύων τῇ ἀλέᾳ, καὶ πρὸς τὴν ἄμμον τὴν πρὸς [w]τῇ γῇ [x]προσχωροῦσι τῆς ἀλέας ἕνεκεν, ὅτι θερμαίνονται, [y]καὶ ἄνω ἐπιπολάζουσιν. Τὰ δὲ μικρὰ τῶν [z]ἰχθυδίων σώζεται διὰ τὸ παρορασθαι· διώκουσι γὰρ τὰ
13 μείζω οἱ μεγάλοι. Τῶν δ' ᾠῶν καὶ [a]τοῦ γόνου διαφθείρεται τὸ πολὺ διὰ τὰς ἀλέας· οὗ γὰρ ἂν ἐφάψωνται, [b]πᾶν τοῦτο λυμαίνονται. [c]Ἁλίσκονται δὲ μάλιστα οἱ ἰχθύες πρὸ ἡλίου ἀνατολῆς [c]καὶ μετὰ τὴν δύσιν, ὅλως δὲ περὶ δυσμὰς ἡλίου καὶ ἀνατολάς· οὗτοι γὰρ λέγονται εἶναι ὡραῖοι βόλοι, διὸ
14 καὶ τὰ δίκτυα ταύτην τὴν ὥραν [d]ἀναιροῦνται οἱ ἁλιεῖς. Μάλιστα γὰρ ἀπατῶνται οἱ ἰχθύες τῇ ὄψει κατὰ τούτους τοὺς καιρούς· τῆς μὲν γὰρ νυκτὸς ἡσυχάζουσι, πλείονος δὲ [e]γινο-
15 μένου τοῦ φωτὸς μᾶλλον ὁρῶσιν. [f]Νόσημα δὲ λοιμῶδες [g]μὲν [h]οὐδὲν [i]εἰς [k]τοὺς ἰχθῦς φαίνεται ἐμπῖπτον, οἷον ἐπὶ τῶν ἀνθρώπων συμβαίνει πολλάκις καὶ τῶν ζῳοτόκων καὶ τετραπόδων εἰς ἵππους καὶ βοῦς, καὶ τῶν ἄλλων εἰς ἔνια καὶ

[n] *νότια καὶ τὰ βόρεια* C[a]. [o] *μικρὰ* D[a]. [p] *εὐσθενῆ* A[a], *εὐσθενεῖ* C[a], *εὐθενεῖ* P. [q] *πλεῖον* A[a].C[a]. [r] *οἱ* om. P.D[a]. [s] *ξιφαῖοι* P.D[a].E[a]. [t] *μεγέθει* D[a]. [v] *ἐνίοτε οὐκ ἔλαττον* P. [w] *τῇ* ante *γῇ* om. P.E[a]. [x] *προχωροῦσι* A[a], *χωροῦσι* E[a]. [y] *καὶ* om. P.E[a]. [z] *ἰχθύων* P. [a] *τοῦ γόνου*] *τούτων* D[a], *τούτων οὐ* P.E[a]. [b] *τοῦτο πᾶν* P.E[a]. [c] *καὶ μετὰ—ἀνατολάς* om. A[a].C[a]. [d] *αἱροῦνται* A[a].C[a]. [e] *γενομένου* A[a].C[a]. [f] *νοσήματα* C[a]. [g] *μὲν* om. P.E[a]. [h] *ἐν οὐδενὶ* P.D[a].E[a]. [i] *εἰς* om. P.C[a]. D[a].E[a]. [k] *τοῖς ἰχθύοις* P.E[a], *τοῖς ἰχθύσι* D[a].

Digitized by Google

[l] ἥμερα καὶ ἄγρια· νοσεῖν μέντοι [m] γε δοκοῦσιν· [n] τεκμαίρονται δ' οἱ ἁλιεῖς τῷ ἐνίους ἁλίσκεσθαι [o] λεπτοὺς καὶ ἠσθενηκόσιν [p] ὁμοίους καὶ τὸ χρῶμα μεταβεβληκότας ἐν πολλοῖς καὶ πίοσιν ἐαλωκότας καὶ τῷ γένει τῷ αὐτῷ. Περὶ μὲν οὖν τῶν θαλαττίων τοῦτον ἔχει τὸν τρόπον· [q] τοῖς δὲ ποταμίοις καὶ λιμναίοις λοιμῶδες μὲν οὐδὲ τούτοις οὐθὲν [r] γίνεται, ἐνίοις δ' αὐτῶν ἴδια νοσήματα ἐμπίπτει, [s] οἷον γλάνις ὑπὸ κύνα μάλιστα διὰ τὸ [t] μετέωρος [v] νεῖν [w] ἀστροβλής τε γίνεται καὶ ὑπὸ βροντῆς νεανικῆς καροῦται. Πάσχει δέ ποτε τοῦτο [x] καὶ κυπρῖνος, ἧττον δέ. Οἱ δὲ γλάνεις ἐν τοῖς βραχέσι καὶ ὑπὸ δράκοντος τοῦ ὄφεως τυπτόμενοι ἀπόλλυνται [y] πολλοί. Ἐν δὲ τῷ [z] βαλλιρῷ καὶ [a] τίλωνι [b] ἑλμὶς ἐγγινομένη ὑπὸ κύνα [c] μετεωρίζει τε καὶ ἀσθενῆ ποιεῖ· μετέωρος δὲ γινόμενος ὑπὸ τοῦ καύματος ἀπόλλυται. Τῇ δὲ χαλκίδι νόσημα ἐμπίπτει νεανικόν· φθείρες ὑπὸ τὰ βράγχια γιγνόμενοι πολλοὶ ἀναιροῦσιν. Τῶν δ' ἄλλων ἰχθύων οὐθενὶ οὐθὲν τοιοῦτόν ἐστι νόσημα. Ἀποθνήσκουσι δὲ οἱ [d] ἰχθῦς τῷ πλόμῳ· διὸ καὶ θηρεύουσιν οἱ μὲν ἄλλοι τοὺς ἐν τοῖς ποταμοῖς καὶ λίμναις [e] πλομίζοντες, οἱ δὲ Φοίνικες καὶ τοὺς ἐν τῇ θαλάττῃ. Ποιοῦνται δέ τινες καὶ δύ' [f] ἄλλας θήρας τῶν ἰχθύων. Διὰ γὰρ τὸ φεύγειν ἐν τῷ [g] χειμῶνι τὰ βαθέα ἐν τοῖς ποταμοῖς (καὶ γὰρ ἄλλως τὸ πότιμον ὕδωρ ψυχρόν) ὀρύττουσι τάφρον εἰς τὸν ποταμὸν διὰ ξηροῦ· εἶτα ταύτην καταστεγάσαντες χόρτῳ καὶ λίθοις οἷον [h] γωλεὸν ποιοῦσιν, [i] ἔκδυσιν ἔχοντα ἐκ τοῦ ποταμοῦ· καὶ ὅταν πάγος ᾖ, ἐκ [k] τούτου κύρτῳ θηρεύουσι τοὺς ἰχθῦς. Καὶ ἄλλην δὲ θήραν

[l] ἄγρια καὶ ἥμερα A[a]. [m] γε om. P.D[a]. [n] οἱ ἁλιεῖς δὲ τεκμαίρονται A[a]. [o] λεπτοῖς P.E[a]. [p] ὁμοίως A[a]. [q] τοῖς δὲ ποτίμοις καὶ λιμναίοις C[a], τοὺς δὲ ποταμίους καὶ λιμναίους P.E[a]. [r] γίνεται] ἐγγίνεται E[a]. [s] οἷον ὁ γλανὶς C[a]. [t] μετεώρως D[a], μὴ μετέωρος P. [v] νεῖν] εἶναι A[a].C[a]. [w] ἀστρόβλης P.E[a], οἱστροπλὴξ A[a].C[a]. [x] καὶ ὁ κυπρῖνος A[a].C[a]. [y] πολλοί om. P.D[a]. [z] βαλλίρῳ P.D[a].E[a]. [a] τριχῶνι vel τριλῶνι C[a], τιλλωνι P.D[a]. [b] ἑλμὶς C[a], ἕλμισσα A[a]. [c] μετεωρίζεται καὶ A[a].C[a]. [d] ἰχθύες τῷ πάγῳ A[a].C[a]. [e] πλωΐζοντας A[a], πλωΐξοντας C[a]. [f] ἄλλας τινὰς θ. A[a]. [g] λειμῶνι P.E[a]. [h] φωλεὸν D[a], γρώλεον P.E[a]. [i] ἐκδύνουσιν P.E[a]. [k] τούτων A[a].C[a].

Digitized by Google

ποιοῦνται ὁμοίως θέρους καὶ χειμῶνος· ἐν μέσῳ τῷ ποταμῷ [l] φρυγάνοις καὶ λίθοις περιφράξαντες ὅσον στόμα καταλείπουσιν· [m] ἐν τούτῳ κύρτον ἐνθέντες θηρεύουσιν, περιελόντες τοὺς λίθους.

6 Τῶν δ' [n] ὀστρακοδέρμων συμφέρει τοῖς ἄλλοις τὰ ἔπομβρα ἔτη, πλὴν ταῖς πορφύραις. Σημεῖον δέ· ὅταν [o] γὰρ τεθῇ οὗ ποταμὸς [p] ἐξερεύγεται, καὶ [q] γεύσωνται τοῦ ὕδατος, ἀποθνήσκουσιν αὐθημερόν. Καὶ ζῇ δ' ἡ πορφύρα, ὅταν θηρευθῇ, περὶ [r] ἡμέρας πεντήκοντα. Τρέφονται δ' ὑπ' ἀλλήλων· ἐπιγίνεται γὰρ ἐπὶ τοῖς ὀστράκοις ὥσπερ φῦκός τι καὶ βρύον.

7 [n]Α δ' ἐμβάλλουσιν [s] εἰς τροφὴν αὐταῖς, τοῦ σταθμοῦ [t] φασὶ χάριν εἶναι πρὸς τὸ [v] πλέον ἕλκειν. Τοῖς [w] δ' ἄλλοις [x] οἱ αὐχμοὶ ἀσύμφοροι· ἐλάττω γὰρ καὶ χείρω γίνεται, καὶ οἱ πυρροὶ τότε [y] γίνονται μᾶλλον κτένες. [z] Ἐν δὲ τῷ [a] Πυρραίῳ ποτ' εὑρίπῳ ἐξέλιπον οἱ κτένες οὐ μόνον διὰ τὸ ὄργανον

8 [b] ᾧ θηρεύοντες ἀνέξυον, ἀλλὰ [c] καὶ διὰ τοὺς [d] αὐχμούς. Καὶ τοῖς ἄλλοις δ' ὀστρακοδέρμοις τὰ ἔπομβρα ἔτη συμφέρει διὰ τὸ [e] γλυκυτέραν γίγνεσθαι τὴν θάλατταν. Ἐν δὲ τῷ Πόντῳ διὰ τὸ ψῦχος οὐ [f] γίγνονται, οὐδ' ἐν τοῖς ποταμοῖς ἀλλ' ἢ ὀλίγα τῶν διθύρων· τὰ δὲ μονόθυρα [g] μάλιστα ἐν τοῖς πάγοις [h] ἐμπήγνυται.

Περὶ μὲν [i] οὖν τὰ ἔννυδρα τῶν ζῴων τοῦτον ἔχει τὸν τρό-

21 πον· τῶν δὲ τετραπόδων αἱ μὲν [k] ὖες νοσήμασι [l] μὲν κάμνουσι τρισίν, ὧν [m] ἓν μὲν καλεῖται βράγχος, ἐν ᾧ μάλιστα [n] τὰ [o] περὶ τὰ βράγχια καὶ τὰς σιαγόνας φλεγμαίνει. Γίνεται δὲ καὶ ὅπου ἂν τύχῃ τοῦ σώματος· πολλάκις γὰρ [p] τοῦ ποδὸς

[l] γρυγάνοις A^a. [m] ἐν] καὶ ἐν A^a. [n] ὀστρακ. καὶ τοῖς ἄλλοις συμφέρει τὰ ἐπόμβρια P.D^a. [o] γὰρ τῇ γῇ ὁ ποταμὸς A^a.C^a. [p] ἐξερεύγηται A^a. ἐξέρχηται C^a. [q] γεύσονται P.D^a. [r] ἡμέρας καὶ π. C^a, ἡμέρας πέντε καὶ π. A^a. [s] πρὸς A^a.C^a. [t] χάριν εἶναί φασι P.D^a. [v] πλεῖον P.D^a. [w] ἄλλοις δ' C^a. [x] οἱ om. A^a.C^a. [y] μᾶλλον γίνονται P.D^a. [z] δὲ τῷ] τῷδε τῷ τὸ P.E^a. [a] πυρραίῳ C^a, πυραίῳ A^a, πυρραῖον P.E^a. [b] ᾧ] οἱ P.E^a, ὃ οἱ D^a. [c] καὶ om. P.E^a. [d] αὐχμούς. τοῖς δ' ἄλλοις P.D^a.E^a. [e] γλυκερὰν P.D^a. [f] γίνεται A^a. [g] μᾶλλον A^a. [h] ἐκπήγνυται A^a.C^a. [i] οὖν om. A^a. [k] ὖες om. A^a.C^a. [l] μὲν om. A^a. [m] ἓν] ὁ A^a.C^a. [n] τὰ om. A^a.C^a. [o] περὶ σιαγόνας καὶ τὰ βράγχια P.D^a.E^a. [p] τοὺς πόδας P.E^a.

Digitized by Google

λαμβάνεται, ὁτὲ δ' ἐν τῷ ὠτί. Γίνεται δὲ [q] σαπρὸν εὐθὺς καὶ τὸ ἐχόμενον, ἕως ἂν ἔλθῃ πρὸς τὸν [r] πλεύμονα· [s] τότε δ' ἀποθνήσκει. Ταχὺ δ' αὐξάνεται· καὶ οὐθὲν ἐσθίει, ὅταν ἄρ- 2
ξηται τὸ [t] πάθος κἂν ὀσονοῦν. [1] Ἰῶνται δ' οἱ [v] ὑοβοσκοί, ὅταν αἴσθωνται [w] μικρὸν ὄν, ἄλλον μὲν οὐθένα τρόπον, ἀποτέμνουσι δ' ὅλον. Δύο [x] δ' ἄλλ' ἐστί, λέγεται δὲ [y] κραυρᾶν ἄμφω· ὧν τὸ μὲν ἕτερόν ἐστι κεφαλῆς πόνος καὶ βάρος, ᾧ αἱ πλεῖσται ἁλίσκονται, τὸ δ' ἕτερον, ἡ κοιλία ῥεῖ. Καὶ τοῦτο μὲν δοκεῖ 3
εἶναι ἀνίατον, θατέρῳ δὲ βοηθοῦσιν [z] οἶνον προσφέροντες πρὸς τοὺς μυκτῆρας καὶ κλύζοντες τοὺς μυκτῆρας οἴνῳ. [a] Διαφυγεῖν δὲ καὶ τοῦτο χαλεπόν· [b] ἀναιρεῖ μὲν γὰρ ἐν ἡμέραις τρισὶν ἢ τέτταρσιν. Βραγχῶσι δὲ μάλιστα, ὅταν τὸ [c] θέρος ἐνέγκῃ [d] εὖ καὶ [e] πιόταται ὦσιν· βοηθεῖ δὲ τά [f] τε [g] συκάμινα διδόμενα καὶ τὸ λουτρὸν ἐὰν [h] ᾖ πολὺ καὶ θερμόν, καὶ ἐάν τις σχάσῃ ὑπὸ τὴν γλῶτταν. [i] Χαλαζώδεις δ' εἰσὶ τῶν ὑῶν αἱ ὑγρό- 4
σαρκοι τά τε περὶ τὰ σκέλη [k] καὶ τὰ περὶ τὸν τράχηλον καὶ τοὺς ὦμους, ἐν οἷς [l] μέρεσι καὶ πλεῖσται γίνονται χάλαζαι· κἂν μὲν ὀλίγας ἔχῃ, [m] γλυκυτέρα ἡ σάρξ, ἂν δὲ πολλάς, ὑγρὰ λίαν καὶ [n] διάχυλος γίνεται. Δῆλαι δ' εἰσὶν αἱ 5
χαλαζῶσαι· [o] ἔν τε γὰρ [p] τῇ γλώττῃ τῇ κάτω ἔχουσι [q] μάλιστα τὰς χαλάζας, καὶ ἐάν τις [r] τρίχας ἐκτίλλῃ ἐκ τῆς λοφιᾶς, ὕφαιμοι φαίνονται· ἔτι δὲ τὰ χαλαζῶντα τοὺς ὀπισθίους πόδας οὐ δύνανται ἡσυχάζειν. Οὐκ ἔχουσι δὲ χαλάζας, ἕως ἂν [s] ὦσι γαλαθηναὶ μόνον. [t] Ἐκβάλλουσι δὲ τὰς χαλάζας ταῖς [t] τιφαῖς· ὃ καὶ πρὸς τὴν τροφὴν ἐστι χρήσιμον. [v] Ἄριστον δὲ πρὸς τὸ πιαίνειν καὶ τρέφειν οἱ ἐρέβινθοι καὶ 6
τὰ σῦκα, τὸ δ' ὅλον μὴ ποιεῖν ἁπλῆν τὴν τροφὴν ἀλλὰ

q εὐθὺς σαπρὸν P.D[a]. r πνεύμονα A[a].C[a]. s τὸ P.E[a]. t βάθος P.E[a]. v βοσκοὶ C[a]. w μικρὸν ὄν] μένον σμικρὸν D[a], ὅταν μένον σμικρὸν P, ὅταν μὲν ὂν σμικρὸν E[a]. x δ' om. P.E[a]. y κραυγᾶν P.D[a]. z οἶον A[a]. a διαφεύγειν A[a].C[a]. b ἀναιρεῖται γὰρ P.D[a].E[a]. c θέρος] ὅρος P.E[a]. d εὖ] σύκα A[a].C[a]. e πιότατα C[a]. f τε om. A[a].C[a]. g συκαμίνια P.E[a]. h πολὺ ᾖ A[a].C[a]. i χαλαζώδεις] γάλα. ὀξώδεις C[a]. k καὶ τὰ] τά τε D[a]. l μέλεσι C[a]. m γλυκερὰ P.D[a]. n ἄχυλος P.D[a]. o ἔν] αἵ A[a]. p τῆς γλώττης τῷ P.D[a]. q μάλιστα om. P.D[a]. r τρίχα A[a].C[a].D[a]. s ἔχωσι P.E[a]. t στιφαῖς P.D[a].E[a]. v ἄριστοι A[a].C[a].

Digitized by Google

[w] ποικίλην· χαίρει γὰρ μεταβάλλουσα καθάπερ καὶ τἆλλα ζῷα, καὶ ἅμα φασὶ τὸ μὲν ἐμφυσᾶν τὸ δὲ σαρκοῦν τὸ δὲ πιαίνειν τῶν προσφερομένων, τὰς δὲ [x] βαλάνους ἡδέως μὲν ἐσθίειν, ποιεῖν δ' ὑγρὰν τὴν σάρκα· καὶ ἐὰν [y] κύουσαι πλείους ἐσθίωσιν, [z] ἐκβάλλουσιν ὥσπερ καὶ τὰ πρόβατα· ταῦτα γὰρ ἐπιδηλοτέρως τοῦτο πάσχει διὰ τὰς βαλάνους. [a] Χαλαζᾷ δὲ [b] μόνον τῶν ζῴων ὧν ἴσμεν ὑς.

22 Οἱ δὲ κύνες κάμνουσι νοσήμασι τρισίν· ὀνομάζεται δὲ ταῦτα [c] λύττα, κυνάγχη, ποδάγρα. Τούτων ἡ [c] λύττα ἐμποιεῖ μανίαν, καὶ ὅταν [d] δάκῃ, [c] λυττῶσιν ἅπαντα τὰ δηχθέντα πλὴν [e] ἀνθρώπου· [f] καὶ ἀναιρεῖ [g] δὲ τὸ νόσημα τοῦτο τάς [h] τε κύνας [i] καὶ [k] ἄν τι δηχθῇ ὑπὸ [c] λυττώσης πλὴν ἀνθρώπου.
2 Ἀναιρεῖ δὲ καὶ ἡ κυνάγχη τὰς κύνας· ὀλίγαι δὲ [l] καὶ ἐκ τῆς ποδάγρας [m] περιφεύγουσιν. Λαμβάνει [n] δ' ἡ λύττα καὶ τὰς καμήλους. Τοὺς δ' ἐλέφαντας πρὸς μὲν τὰ ἄλλα ἀρρωστήματα ἀνόσους εἶναί φασιν, [o] ἐνοχλεῖσθαι δ' ὑπὸ φυσῶν.

23 Οἱ δὲ βόες οἱ ἀγελαῖοι νοσοῦσι δύο νόσους, ὧν τὸ μὲν ποδάγρα τὸ δὲ κραῦρος καλεῖται. Ἐν μὲν οὖν τῇ ποδάγρᾳ τοὺς πόδας οἰδοῦσιν, οὐκ ἀποθνήσκουσι δ' [p] οὐδὲ τὰς ὁπλὰς ἀποβάλλουσιν· [q] βέλτιον δ' [r] ἴσχουσι τῶν κεράτων ἀλειφο-
2 μένων [s] πίσσῃ θερμῇ. [v] Ὅταν δὲ [t] κραυρᾷ, τὸ πνεῦμα [v] γίνεται θερμὸν καὶ πυκνόν· καὶ ὃ ἐστιν [w] ἐν τοῖς ἀνθρώποις πυρετός, τοῦτό ἐστιν ἐν τοῖς βουσὶ τὸ κραυρᾶν. Σημεῖον δὲ τῆς ἀρρωστίας τὰ ὦτα καταβάλλουσι καὶ οὐ δύνανται ἐσθίειν. Ἀποθνήσκουσι δὲ ταχέως, καὶ ἀνοιχθέντων ὁ [x] πλεύμων φαίνεται σαπρός.

[w] ποικίλην· καὶ χαίρει P.E[a]. [x] βαλάνους μόνον ἡδέως P.D[a].E[a]. [y] ἐγκύουσαι P.D[a], ἔγγυοι οὖσαι E[a]. [z] ἐκβάλλουσαι A[a]. [a] χαλαζᾷ rc. A[a], χάλαζα A[a].C[a], χαλαζῶνται P.D[a].E[a]. [b] τῶν ζώων μόνον D[a]. [c] λύσσα utrobique et mox λυσσῶσιν et λυσσώσης A[a].C[a]. [d] δάκῃ om. D[a]. [e] ἀνθρώπου·] ἀνθρώπου ἀναιρεῖ· D[a]. [f] καὶ om. P.D[a].E[a]. [g] δὲ om. C[a]. [h] τε om. D[a]. [i] καὶ—ἀνθρώπου om. D[a]. [k] ἐάν P.E[a]. [l] καὶ ante ἐκ om. A[a]. [m] περισώζονται P.D[a]. [n] δ' ἡ λύττα] ταῦτα P.D[a]. [o] ὀχλεῖσθαι A[a].C[a]. [p] οὐδὲ τὰς] τὰς δ' P.D[a]. [q] βελτίω P.D[a]. [r] ἰσχύουσι P.A[a].C[a].E[a]. [s] πίσσῃ θερμῇ om. P.A[a].C[a].E[a]. [t] κραῦραι A[a]. [v] γίνηται A[a]. [w] ἐν om. A[a].C[a]. [x] πνεύμων A[a].C[a].

Digitized by Google

Τῶν δ' ἵππων αἱ μὲν [y] φορβάδες [z] ἄνοσοι τῶν ἄλλων 24
ἀρρωστημάτων εἰσὶ πλὴν ποδάγρας, [a] ταύτην δὲ κάμνουσι,
καὶ ἐνίοτε ἀποβάλλουσι τὰς ὁπλάς· ὅταν δ' [b] ἀποβάλωσι,
πάλιν φύουσιν εὐθύς· γίνεται [c] γὰρ ἅμα τῆς ἑτέρας ὑπο-
φυομένης ἡ τῆς ἑτέρας ὁπλῆς ἀποβολή. Σημεῖον δὲ τῆς 2
ἀρρωστίας· [d] ὁ γὰρ ὄρχις ἅλλεται ὁ δεξιός, ἢ [e] κατὰ μέσον
ὀλίγον κάτωθεν τῶν μυκτήρων [f] ἔγκοιλον γίνεται καὶ ῥυτιδῶ-
δες. Οἱ δὲ τροφίαι ἵπποι πλείστοις ἀρρωστήμασι κάμνου-
σιν. Λαμβάνει γὰρ καὶ [g] εἰλεός· σημεῖον δὲ τῆς ἀρρωστίας
τὰ ὀπίσθια σκέλη [h] ἐφέλκουσιν ἐπὶ τὰ ἐμπρόσθια καὶ ὑποφέ-
ρουσιν, ὥστε [i] ὀλίγου [k] συγκρούειν. [l] Ἐὰν δ' ἀσιτήσας τὰς 3
ἔμπροσθεν ἡμέρας εἶτα μανῇ, [l] αἷμα ἀφαιροῦντες βοηθοῦσι
καὶ [m] ἐκτέμνοντες. Λαμβάνει δὲ καὶ τέτανος· σημεῖον δ' αἱ
φλέβες τέτανται πᾶσαι [n] καὶ κεφαλὴ καὶ αὐχήν, καὶ [o] προ-
βαίνει εὐθέσι τοῖς σκέλεσιν. Γίγνονται δὲ καὶ ἔμπυοι [p] οἱ ἵπ-
ποι. Λαμβάνει δὲ καὶ ἄλλος αὐτοὺς πόνος, καλεῖται δὲ 4
τοῦτο [q] κριθιᾶν· σημεῖον δὲ τοῦ ἀρρωστήματος μαλακὸς γίνε-
ται ὁ οὐρανὸς καὶ θερμὸν πνεῖ. [r] Ἀνίατα δέ, [s] ἐὰν μὴ αὐτό-
ματα [s] καταστῇ. [t] Τό τε [v] νυμφιᾶν καλούμενον, ἐν ᾧ συμ-
βαίνει κατέχεσθαι [w] ὅταν αὐλῇ τις, καὶ [x] κατωπιᾶν· καὶ ὅταν
[y] ἀναβῇ τις, τροχάζει, ἕως ἂν μέλλῃ [z] κατά τινας θεῖν· κατη-
φεῖ δ' ἀεί, [a] κἂν λυττήσῃ. Σημεῖον δὲ καὶ [b] τούτου τὰ ὦτα 5
καταβάλλει πρὸς τὴν χαίτην καὶ πάλιν προτείνει, καὶ ἐκλεί-
πει, καὶ [c] πνεῖ. [d] Ἀνίατα δὲ καὶ τάδε, ἐὰν καρδίαν ἀλγήσῃ
(σημεῖον δὲ [e] λαπαρὸς [f] ὢν ἀλγεῖ), καὶ ἐὰν ἡ κύστις [g] με-

[y] φοράδες P.A[a].C[a].E[a]. [z] ἄνουσοι A[a]. [a] ταύτῃ A[a].C[a]. [b] ἀποβάλ-
λωσι P.A[a].D[a]. [c] γὰρ om. C[a]. [d] ὁ γὰρ—ἀρρωστίας om P.E[a]. [e] κατὰ τὸ μέσον C[a]. [f] ἐν κοίλον D[a], καὶ ἔγκοιλον A[a].C[a]. [g] ἠλεός
A[a].C[a]. [h] ὑφέλκουσιν ὑπὸ A[a].C[a]. [i] ὀλίγους A[a], ἀλλήλους P.D[a].E[a]. [k] συγκροτεῖν A[a].C[a]. [l] αἷμα] αἱ μὲν A[a]. [m] ἐκτέμνουσι A[a]. [n] καὶ
ἡ κεφαλὴ P. [o] προσβαίνει P.D[a]. [p] οἱ om. A[a].C[a]. [q] κριθίαν P, κρι-
θίας D[a], κριθία E[a], ἠριθιᾶν A[a]. [r] ἂν C[a]. [s] κατέστη P.E[a]. [t] τό τε]
τὸ δὲ A[a].C[a], om. P.E[a]. [v] νυμφίαν P.D[a].E[a]. [w] ὅταν] καὶ ὅταν A[a].C[a]. [x] κατωπίαν P.D[a].E[a], κατωπία C[a], κατωπιᾷ A[a]. [y] λάβῃ C[a]. [z] κατά
τινας θεῖν] τις κατασχεῖν A[a].C[a]. [a] καὶ ὅταν λυσσήσῃ A[a].C[a]. [b] τοῦ-
το A[a]. [c] πίνει P.E[a], τείνει A[a].C[a]. [d] ἀνιᾶται A[a].C[a]. [e] λαπάρας
C[a].D[a]. λαπαρὸς—δὲ om. P. [f] ὢν om. D[a]. [g] μεταστῇ om. E[a].

Digitized by Google

ταστῇ (σημεῖον δὲ καὶ [h] τούτου τὸ μὴ [i] δύνασθαι οὐρεῖν, καὶ
6 τὰς ὁπλὰς καὶ τὰ ἰσχία ἐφέλκει). Καὶ [k] ἐὰν σταφύλινον
περιχάνῃ· τοῦτο δ' ἐστὶν ἡλίκον σφονδύλη. Τὰ δὲ δήγματα
τῆς [l] μυγαλῆς καὶ τοῖς ἄλλοις ὑποζυγίοις χαλεπά· γίνονται
δὲ [m] φλύκταιναι. Χαλεπώτερον δὲ [n] τὸ δῆγμα, ἐὰν [o] κύουσα
7 δάκῃ· ἐκρήγνυνται γὰρ αἱ [p] φλύκταιναι, εἰ δὲ μή, [q] οὔ. [r] Ἀπο-
κτείνει δὲ δάκνουσα [r] ἡ σφόδρα ποιεῖ [s] ἀλγεῖν καὶ ἡ καλου-
μένη [t] χαλκὶς ὑπὸ τινῶν, ὑπὸ δ' ἐνίων [v] ζιγγίς· ἔστι δ' ὅμοιον
ταῖς μικραῖς σαύραις, τὸ δὲ χρῶμα τοῖς [w] τυφλίνοις ὄφεσιν.
[v] Ὅλως δέ φασιν οἱ ἔμπειροι, σχεδὸν ὅσαπερ [x] ἀρρωστεῖ ἄν-
θρωπος ἀρρωστήματα, καὶ ἵππον ἀρρωστεῖν καὶ πρόβατον.
8 [t] Ὑπὸ φαρμάκου δὲ διαφθείρεται καὶ ἵππος καὶ πᾶν ὑποζύγιον
σανδαράκης· δίδοται δ' [y] ἐν ὕδατι καὶ διηθεῖται. Καὶ ἐκβάλ-
λει δὲ κύουσα ἵππος ὀσμὴν λύχνου ἀποσβεννυμένου· συμβαίνει
9 δὲ τοῦτο καὶ γυναιξὶν ἐνίαις κυούσαις. Περὶ μὲν οὖν τὰς
νόσους [z] τῶν ἵππων τοῦτον ἔχει τὸν τρόπον, τὸ δ' ἱππομανὲς
καλούμενον ἐπιφύεται μέν, ὥσπερ [a] λέγεται, τοῖς [b] πώλοις,
αἱ δ' ἵπποι [c] περιλείχουσαι καὶ [d] καθαίρουσαι [e] ἀποτρώγουσιν
αὐτό· τὰ δ' [f] ἐπιμυθευόμενα πέπλασται μᾶλλον [g] ὑπὸ γυναι-
10 κῶν καὶ τῶν περὶ τὰς [h] ἐπῳδάς. [t] Ὁμολογουμένως δὲ καὶ τὸ
καλούμενον [i] πώλιον [k] αἱ ἵπποι προεκβάλλουσι πρὸ τοῦ πώ-
λου. Γινώσκουσι δ' οἱ ἵπποι καὶ τὴν φωνὴν ἀκούοντες τῶν
ἵππων, οἷς ἂν μαχεσάμενοι τύχωσιν. Χαίρουσι δ' οἱ ἵπποι
τοῖς λειμῶσι καὶ τοῖς ἕλεσιν· καὶ γὰρ τῶν ὑδάτων τὰ θολερὰ

[h] τούτου τὸ] τοῦτο $A^a.C^a$. [i] δύνεσθαι A^a. [k] ἂν στ. π. C^a, ἐὰν σταφυλῖνον π. D^a, τυφλός· οἱονπερ ἡ χάνη P. et, qui χάννη, E^a. [l] μυγδάλης A^a, μεγάλης $P.C^a.E^a$. [m] φλεκταῖναι A^a, φλυκταῖναι. εἰ δὲ μή, οὐκ ἀποκτείνει C^a. γίνονται δὲ φλύκταιναι om. $P.E^a$. [n] τὸ om. A^a. [o] κύουσαν P. [p] φλυκταῖναι C^a, φλεκτάναι A^a. [q] οὐκ ἀποκτείνει. ἔτι δὲ $A^a.C^a$, οὔ. ἀποτείνει δὲ $P.E^a$. [r] ἡ om. $A^a.C^a$. [s] ἀλγεῖν] πονεῖν $A.C^a$. [t] χάλκις D^a. [v] ζίγνης A^a, ζιγνύς D^a, διγνύς P, δειμνύς E^a. [w] τυφλοῖς $A^a.C^a$. [x] ἀρρωστοῦσιν ἀνθρώποις ἀρρωστήματα E^a, ἀρρωστήματα ἀρρωστεῖ ἄνθρωπος $A^a.C^a$. [y] ἐν ὕδατι] καὶ ἐν νυκτὶ $P.E^a$. [z] τῶν ἵππων om. $P.E^a$. [a] εἴρηται D^a. [b] πωλίοις $A^a.C^a$. [c] περιλείχουσι $A^a.C^a$. [d] καθαιροῦσαι $P.D^a$, καθαίρουσιν $A^a.C^a$. [e] ἀποτρώγουσαι A^a, περιτρώγουσιν $P.D^a.E^a$. [f] μυθεύομενα $A^a.C^a$. [g] ἀπὸ $P.E^a$. [h] ἐπαϊδάς P, ἐπαοιδάς E^a. [i] πάλιον E^a. [k] αἱ] οἱ A^a, om. C^a.

Digitized by Google

πίνουσι, κἂν ᾖ καθαρά, ἀνατρέπουσιν αὐτὰ οἱ ἵπποι ταῖς ὁπλαῖς, εἶτα πιοῦσαι [l]λούονται. Καὶ γὰρ ὅλως ἐστὶ φι- 11
λόλουτρον τὸ ζῷον [m]καὶ φίλυδρον· διὸ καὶ ἡ τοῦ ποταμίου [n]ἵππου φύσις οὕτω συνέστηκεν. [o]Ὁ δὲ βοῦς τοὐναντίον τοῦ ἵππου· ἂν γὰρ μὴ καθαρὸν [p]ᾖ τὸ ὕδωρ καὶ ψυχρὸν καὶ ἀκέραιον, οὐκ ἐθέλει [p]πιεῖν.

Οἱ δ' ὄνοι νοσοῦσι μάλιστα νόσον μίαν, ἣν καλοῦσι μη- 25
λίδα. Γίνεται δὲ περὶ τὴν κεφαλὴν πρῶτον, καὶ [q]ῥεῖ [r]φλέγμα κατὰ τοὺς μυκτῆρας [s]παχὺ καὶ πυρρόν· ἐὰν δὲ πρὸς τὸν [t]πλεύμονα καταβῇ, [v]ἀποκτείνει· τὰ [w]δὲ περὶ τὴν κεφαλὴν [x]πρῶτον οὐ θανάσιμα. Δυσριγότατον δ' ἐστὶ [y]τῶν τοιούτων ζῴων· διὸ [z]καὶ περὶ τὸν Πόντον καὶ τὴν [a]Σκυθικὴν οὐ γίνονται [b]ὄνοι.

Οἱ δ' ἐλέφαντες κάμνουσι τοῖς φυσώδεσι νοσήμασιν· [c]διὸ 26
οὔτε τὸ ὑγρὸν περίττωμα προΐεσθαι δύνανται οὔτε [d]τὸ τῆς κοιλίας. [e]Καὶ ἐὰν γῆν ἐσθίῃ, μαλακίζεται, [f]ἐὰν μὴ συνεχῶς· [g]εἰ δὲ συνεχῶς, οὐδὲν βλάπτεται. Καταπίνει δὲ [h]καὶ λίθους ἐνίοτε. [i]Ἁλίσκεται δὲ καὶ διαρροίᾳ· ὅταν δ' [l]ἁλῷ, ἰατρεύουσιν ὕδωρ θερμὸν διδόντες πίνειν, καὶ τὸν χόρτον εἰς μέλι βάπτοντες διδόασιν ἐσθίειν, καὶ ἵστησιν ἑκάτερον τούτων. [v]Ὅταν δὲ [k]κοπιάσωσι διὰ τὸ μὴ κοιμηθῆναι, ἁλὶ τρι- 2
βόμενοι καὶ ἐλαίῳ καὶ ὕδατι [l]θερμῷ τοὺς ὤμους ὑγιάζονται. Καὶ ὅταν τοὺς ὤμους ἀλγῇ, ὕεια [m]κρέα ὀπτήσαντες προστιθέασι, καὶ βοηθεῖ αὐτοῖς. [u]Ἔλαιον δ' οἱ μὲν πίνουσιν οἱ δ' οὐ τῶν ἐλεφάντων· [n]κἂν τύχῃ σιδήριόν [o]τι ἐν τῷ σώματι ἐνόν,

[l] λύονται Aa. [m] καὶ ἔτι φίλυδρον P.Da. [n] φύσις ἵππου Da. [o] ᾖ] ἔστι P.Ea. [p] πίνειν Aa. [q] ῥέει P.Da. [r] ῥεῦμα Da. [s] ταχὺ Aa.Ca. [t] πνεύμονα P.Aa.Ca. [v] ἀποθνήσκουσι Aa.Ca. [w] δὲ post κεφαλὴν P. [x] πρῶτον om. Aa.Ca. [y] τὸ τοιοῦτον ζῶον P.Da.Ea. [z] καὶ ante περὶ om. P.Ea. [a] σκυθίαν P.Da.Ea. [b] ὄνοι] οἱ ὄνοι P.Ea. [c] διὸ οὔτε] διὸ οὔτως Aa. [d] τὰ τῆς Aa.Ca. [e] καὶ ἐὰν γῆν] κἂν γὰρ Aa.Ca. [f] ἂν Ca. [g] εἰ] ἂν Aa.Ca. [h] καὶ om. P.Ea. [i] ἁλῶσιν Da. ἀνῶσιν Aa.Ca. [k] κοπιάσῃ P.Da.Ea. [l] θερμῷ] πολλῷ P.Ea. [m] κρέη P. [n] καὶ ἐὰν Ca. [o] τι om. Aa.Ca.

Digitized by Google

[p] τὸ ἔλαιον ἐκβάλλει, ὅταν [q] πίωσιν, ὡς φασί· τοῖς δὲ [r] μὴ πίνουσι ῥίζαν ἐψήσαντες [s] ἐν ἐλαίῳ διδόασιν.

Περὶ μὲν οὖν τῶν τετραπόδων ζῴων τοῦτον ἔχει τὸν τρό-
27 πον, τῶν δ' ἐντόμων τὰ πλεῖστα [t] εὐθηνεῖ ἐν ᾗπερ ὥρᾳ καὶ [v] γίνεται, ὅταν τοιοῦτον ᾖ τὸ [w] ἔτος οἷον τὸ ἔαρ, ὑγρὸν καὶ
2 ἀλεεινόν. Ταῖς δὲ μελίτταις ἐγγίνεται ἐν τοῖς σμήνεσι θηρία ἃ λυμαίνεται τὰ κηρία, τό [x] τε σκωλήκιον τὸ [y] ἀραχνιοῦν καὶ λυμαινόμενον τὰ κηρία (καλεῖται δὲ κλῆρος, οἱ δὲ [z] πυραύστην καλοῦσιν· [a] ὃς ἐντίκτει ἐν τῷ κηρίῳ ὅμοιον [b] ἑαυτῷ οἷον ἀράχνιον, καὶ νοσεῖν ποιεῖ τὸ σμῆνος), καὶ ἄλλο θηρίον, οἷον ὁ [c] ἠπίολος ὁ περὶ τὸν λύχνον [d] πετόμενος· οὗτος ἐντίκτει [e] τι χνοῦ [f] ἀνάπλεων, καὶ οὐ [g] κεντεῖται ὑπὸ τῶν μελιτ-
3 τῶν, ἀλλὰ [h] μόνον φεύγει [i] καπνιζόμενος. Ἐγγίνονται δὲ καὶ κάμπαι ἐν τοῖς σμήνεσιν, [k] ἃς καλοῦσι τερηδόνας· ἃς οὐκ ἀμύνονται αἱ μέλιτται. [l] Νοσοῦσι δὲ μάλιστα ὅταν ἐρυσιβώδη τὰ ἄνθη ἡ ὕλη ἐνέγκῃ, καὶ ἐν τοῖς αὐχμηροῖς ἔτεσιν. Πάντα δὲ τὰ ἔντομα ἀποθνήσκει [m] ἐλαιούμενα· τάχιστα δ', ἂν τις τὴν κεφαλὴν ἀλείψας ἐν τῷ ἡλίῳ θῇ.

28 [n] Διαφέρει δὲ τὰ ζῷα καὶ κατὰ τοὺς τόπους· ὥσπερ γὰρ ἔν τισιν ἔνια οὐ [o] γίνεται παντάπασιν, οὕτως [p] ἐν ἐνίοις τόποις [o] γίνεται μὲν ἐλάττω δὲ καὶ [q] ὀλιγοβιώτερα, καὶ οὐκ εὐημερεῖ. Καὶ ἐνίοτε ἐν τοῖς πάρεγγυς τόποις ἡ διαφορὰ γίνεται τῶν τοιούτων, οἷον τῆς Μιλησίας ἐν τόποις γειτνιῶσιν ἀλ-

[p] ἐκβάλλει τὸ ἔλαιον $A^a.C^a$. [q] πίνωσιν $A^a.C^a$, πίῃ $P.E^a$. [r] μὴ πίνουσι] μὴ πίνουσι τὸν οἶνον A^a, πίνουσι τὸν οἶνον C^a, ὄνοις $P.D^a.E^a$. [s] ἐν om. $P.D^a.E^a$. [t] εὐθενεῖ D^a, εὐσθενῆ A^a, ᾖ C^a. [v] γίνονται $A^a.C^a$. [w] ἔπος A^a. [x] τε] δὲ $A^a.C^a$. [y] ἀράχνιον οὖν καὶ A^a. [z] πυραύτην D^a, πῦρ αὐτὴν $P.E^a$. [a] ὡς $A^a.C^a$. [b] ἑαυτῷ] ἐν αὐτῷ $A^a.C^a$. [c] ἠπιόλης A^a. et rc. C^a, ἠπιλιότης pr. C^a. [d] πεττόμενος A^a. [e] τι χνοῦ] χνοῦν C^a, χοῦν A^a. [f] ἀναπλέων D^a, ἀναπνέων $A^a.C^a$. [g] κεντᾶται $P.A^a.D^a$. [h] μόνος C^a. [i] καπνιόμενος $P.E^a$. [k] ἃς καλοῦσι τερηδόνας om. $A^a.C^a$, τερηδόνας om. E^a. et in lacuna P. [l] νοσοῦσι δὲ μάλιστα om. $P.D^a.E^a$. [m] ἡλιούμενα $P.E^a$. [n] ὅλως δὲ διαφέρει τὰ ζῶα κατὰ $P.D^a.E^a$. [o] γίνονται utrobique $P.D^a.E^a$. [p] ἐν om. $D^a.E^a$. [q] πολυχρονιώτερα $P.D^a.E^a$.

Digitized by Google

λήλοις ἔνθα μὲν γίνονται τέττιγες [r] ἔνθα δ' οὐ γίγνονται, καὶ ἐν Κεφαληνίᾳ ποταμὸς διείργει, [s] οὗ ἐπὶ τάδε μὲν γίγνονται τέττιγες, ἐπ' ἐκεῖνα δ' οὐ γίνονται. [t] Ἐν δὲ [v] Πορδοσελήνῃ 2 ὁδὸς [w] διείργει, ἧς ἐπ' ἐκεῖνα μὲν γαλῆ γίνεται, ἐπὶ θάτερα δ' οὐ γίνεται. Καὶ ἐν τῇ [x] Βοιωτίᾳ ἀσπάλακες περὶ μὲν [y] τὸν Ὀρχομενὸν πολλοὶ γίγνονται, ἐν δὲ τῇ [z] Λεβαδιακῇ γειτνιώσῃ οὐκ εἰσίν, [a] οὐδ' ἄν τις [b] κομίσῃ, [c] ἐθέλουσιν ὀρύττειν. Ἐν Ἰθάκῃ δ' οἱ δασύποδες, ἐάν τις ἀφῇ κομίσας, οὐ δύνανται 3 ζῆν, ἀλλὰ φαίνονται τεθνεῶτες [d] πρὸς τῇ θαλάττῃ [e] ἐστραμμένοι, [f] ἥπερ ἂν εἰσαχθῶσιν. Καὶ ἐν μὲν [g] Σικελίᾳ [h] ἱππομύρμηκες οὐκ εἰσίν, ἐν δὲ Κυρήνῃ οἱ [i] φωνοῦντες βάτραχοι [k] πρότερον οὐκ ἦσαν. Ἐν δὲ Λιβύῃ [l] πάσῃ οὔτε [m] σῦς 4 ἄγριός [n] ἐστιν οὔτ' ἔλαφος οὔτ' αἴξ ἄγριος· [o] ἐν δὲ τῇ Ἰνδικῇ, ὡς φησὶ Κτησίας οὐκ ὢν ἀξιόπιστος, [p] οὔτ' ἄγριος οὔτε ἥμερος ὗς, τὰ δ' [q] ἄναιμα καὶ τὰ φωλοῦντα [r] πάντα μεγάλα. Καὶ ἐν μὲν τῷ Πόντῳ οὔτε [s] τὰ μαλάκια γίνεται οὔτε τὰ [t] ὀστρακόδερμα, [v] εἰ μὴ ἔν τισι τόποις [w] ὀλίγα· ἐν δὲ τῇ ἐρυθρᾷ θαλάττῃ ὑπερμεγέθη τὰ ὀστρακόδερμα πάντα. Ἐν [x] δὲ Συρίᾳ 5 τὰ πρόβατα τὰς οὐρὰς ἔχει τὸ πλάτος [y] πήχεως, τὰ δ' ὦτα αἱ αἶγες σπιθαμῆς καὶ παλαιστῆς, καὶ ἔνιαι συμβάλλουσι κάτω τὰ ὦτα [z] πρὸς τὴν γῆν· καὶ [a] οἱ βόες, ὥσπερ [b] αἱ κάμηλοι, [c] χαίτας ἔχουσιν ἐπὶ τῶν ἀκρωμίων. Καὶ ἐν [d] Λυκίᾳ αἱ αἶγες κείρονται, ὥσπερ [e] τὰ πρόβατα παρὰ τοῖς ἄλλοις. Καὶ ἐν 6

[r] ἐπέκεινα δ' οὐ γίνεται Aª.Cª. [s] οὗ ἔπειτα γίνονται Aª.Cª. [t] ἐν] ἐὰν Aª. [v] πορρωσελήνῃ Dª. [w] διείργῃ Aª. [x] βοιωτίδι Aª, βοιωτίδι οἱ Cª. [y] τὴν ὀρχομενίαν Cª, τὴν ὀρχωμανίαν Aª. [z] λεβαδιακῇ rc. Aª, λεβαδικῇ P.Dª.Eª, λεβεδιακῇ Cª, λεβεσσιακῇ Aª. [a] οὐδ'] οὔ δ' P.Eª. [b] κομισθῇ P.Aª.Cª.Eª. [c] τελοῦσιν Cª, τενοῦσιν Aª. [d] πρὸς] καὶ πρὸς Aª.Cª, ἐν Dª. [e] ἐστρεμμένοι Eª, ἠστρεμμένοι P. [f] ἥπερ] οἷ Aª.Cª. [g] σικελίοις Dª. [h] ἵπποις μύρμηκες Dª, ἵππης μύρμηκες Eª, οἱ ἱππεῖς μύρμηκες Aª.Cª, μύρμηκες post lacunam P. [i] φθονοῦντες Aª.Cª. [k] οὐκ εἰσὶ πρότερον P.Dª.Eª. [l] πάσῃ om. Aª.Cª. [m] σῦς om. P.Eª. [n] ἐστιν om. P in lacuna. [o] ἐν δὲ] οὐδ' ἐν Cª, οὔτ' ἐν Aª. [p] οὔτε ἥμερος οὔτ' ἄγριος P.Dª. [q] ἔναιμα Cª, ἔνναιμα Aª. [r] πάντα om. P.Eª. [s] τὰ om. P. [t] ὀστρ.] ὀστρ. πάντα P.Dª. [v] εἰ—πάντα om. P.Eª. [w] ὀλίγοις Cª.Dª. [x] δὲ τῇ συρίᾳ Dª. [y] πήχεος P.Cª.Dª.Eª. [z] πρὸς τὴν γῆν] ἀλλήλαις P.Dª. [a] αἱ Aª. [b] οἱ P.Dª, καὶ αἱ Aª.Cª. [c] χαίτας] κάλας P.Dª Eª. [d] κιλικίᾳ P.Dª. [e] τὰ] καὶ τὰ Aª.Cª.

Digitized by Google

μὲν Λιβύῃ εὐθὺς [f]γίνεται [g]κέρατα ἔχοντα [h]τὰ κερατώδη τῶν [i]κριῶν, οὐ μόνον [k]οἱ [l]ἄρνες, ὥσπερ [m]ν Ὁμηρός φησιν, ἀλλὰ καὶ τἆλλα· [n]ἐν δὲ τῷ Πόντῳ περὶ τὴν Σκυθικὴν τοὐ-
7 ναντίον· ἀκέρατα γὰρ γίνονται. Καὶ ἐν Αἰγύπτῳ τὰ [o]μὲν ἄλλα μείζω ἢ ἐν τῇ [p]Ἑλλάδι, καθάπερ οἱ βόες καὶ τὰ πρόβατα, τὰ δ' ἐλάττω, οἷον [q]οἱ [r]κύνες καὶ λύκοι καὶ [s]λαγωοὶ καὶ ἀλώπεκες καὶ κόρακες καὶ ἱέρακες, [t]τὰ δὲ παραπλήσια,
8 οἷον κορῶναι καὶ αἶγες. Αἰτιῶνται δὲ τὰς τροφάς, ὅτι τοῖς μὲν [v]ἄφθονος τοῖς δὲ σπανία, οἷον τοῖς λύκοις [w]καὶ τοῖς ἱέραξι, τοῖς δὲ σαρκοφάγοις [x]ὀλίγη· σπάνια γὰρ τὰ μικρὰ ὄρνεα· τοῖς δὲ δασύποσι, καὶ ὅσα [y]μὴ σαρκοφάγα, ὅτι οὔτ'
9 ἀκρόδρυα [z]οὔτ' ὀπώρα χρόνιος. Πολλαχοῦ δὲ καὶ ἡ κρᾶσις αἰτία, οἷον ἐν τῇ [a]Ἰλλυρίδι καὶ τῇ Θρᾴκῃ καὶ τῇ [b]Ἠπείρῳ οἱ ὄνοι μικροί, ἐν δὲ τῇ [c]Σκυθικῇ καὶ Κελτικῇ ὅλως οὐ γίγνονται· δυσχείμερα γὰρ [d]ταῦτα. [e]Ἐν δ' [f]Ἀραβίᾳ σαῦ-
ραι μείζους [g]πηχυαίων γίνονται [h]καὶ μύες [i]πολὺ μείζους τῶν ἀρουραίων, τὰ μὲν [k]ἔμπροσθεν σκέλη ἔχοντες [l]καὶ σπιθαμῆς, τὰ δ' ὀπίσθια ὅσον ἄχρι τῆς πρώτης καμπῆς τῶν δακτύλων.
10 Ἐν δὲ τῇ Λιβύῃ [m]τὸ τῶν ὄφεων [n]μέγεθος γίνεται [o]ἄπλατον, ὥσπερ καὶ λέγεται· ἤδη γάρ [p]φασί τινες προσπλεύσαντες ἰδεῖν ὀστᾶ βοῶν πολλῶν, [q]ἃ δῆλον γενέσθαι αὐτοῖς ὅτι [r]ὑπ' ὄφεων ἦν [s]κατεδηδεσμένα· ἀναγομένων γὰρ [t]ταχὺ

[f] γίνονται Da. [g] κενὰ τὰ P.Ea. [h] τὰ om. Aa.Ca. [i] κριῶν] ζῴων Schneiderus. [k] οἱ] δ' οἱ Aa.Ca. [l] ἄρνες] codices ἄρρενες. [m] φησὶν ὅμηρος Aa.Ca. [n] ἐν δὲ] ἐν μὲν Ea, καὶ ἐν μὲν P. [o] μὲν] μὲν οὖν Aa.Ca. [p] λεβάδι Ca. [q] οἱ om. Da. [r] κύνες καὶ λύκοι] ὄνοι καὶ λύκοι P, λύκοι καὶ ὄνοι Da. [s] λαγοὶ P.Da.Ea. [t] τὰ δὲ] τά τε Aa.Ca.Da. [v] ἀφθόνως τοῖς δὲ σπανίως P.Da. [w] καὶ ἱέρακι. τοῖς μὲν γὰρ σαρκοφάγοις Aa.Ca. [x] ὀλίγη] ἡ ὕλη Da. [y] μὴ] οὐ P.Da. [z] οὔθ' ἡ ὀπώρα χρόνιος. πολλαχῇ Aa.Ca. [a] καὶ τῇ Θρ. καὶ] καὶ ἐν τῇ παροίκῃ καὶ ἐν Aa.Ca. [b] οἱ ὄνοι] οἷον οἱ Ea. οἱ P. [c] κελτικῇ καὶ σκυθικῇ Ca, κεντικῇ καὶ σκυθικῇ Aa. [d] ταῦτα] πάντα Aa.Ca. [e] δ' ἀρραβίᾳ Aa, δὲ τῇ ἀραβίᾳ Da. [f] σαῦροι Aa. [g] πηχέων Aa, πήχεων Ca. [h] καὶ] δὲ καὶ P.Da. [i] πολλοὶ Aa.Ca.Da.Ea. [k] πρόσθια Da. [l] καὶ om. Da. [m] τὸ om. P.Ea. [n] μέγεθος] γένος Da. [o] ἄπαλτον pr. Aa, ἄπλετον corr. [p] τινές φασιν P.Da. [q] ἃ δῆλον γενέσθαι] καὶ δῆλον ἦν P.Da. [r] ὑπ'] ὑπὸ τῶν Da. [s] κατεδηδομένα Aa. [t] διώκειν ταχὺ Aa.Ca.

Digitized by Google

διώκειν τὰς τριήρεις [v] αὐτούς, καὶ [w] ἐνίους αὐτῶν [x] ἐμβαλεῖν [y] ἀνατρέψαντας τὴν τριήρη. [v]Ἔτι [z] δὲ λέοντες [a] μὲν ἐν τῇ 11
Εὐρώπῃ μᾶλλον, καὶ τῆς Εὐρώπης ἐν τῷ μεταξὺ [b] τόπῳ [c] τοῦ [d] Ἀχελῴου καὶ [e] Νέσσου· παρδάλεις δ' ἐν τῇ Ἀσίᾳ, ἐν δὲ τῇ Εὐρώπῃ οὐ γίγνονται. [v]Ὅλως δὲ τὰ μὲν ἄγρια ἀγριώτερα ἐν τῇ Ἀσίᾳ, ἀνδρειότερα [f] δ' ἐν τῇ Εὐρώπῃ πάντα, [g] πολυμορφότατα [h] δ' ἐν τῇ Λιβύῃ· καὶ λέγεται [i] δέ τις παροιμία, ὅτι "ἀεὶ [k] Λιβύη φέρει τι [l] καινόν." Διὰ γὰρ τὴν ἀνομβρίαν 12
μίσγεσθαι δοκεῖ ἀπαντῶντα πρὸς τὰ [m] ὑδάτια καὶ τὰ μὴ ὁμόφυλα, καὶ ἐκφέρειν ὧν οἱ χρόνοι [n] οἱ τῆς κυήσεως οἱ αὐτοὶ καὶ τὰ μεγέθη μὴ πολὺ [o] ἀπ' ἀλλήλων· πρὸς ἄλληλα [p] δὲ πραΰνεται διὰ τὴν τοῦ [q] ποτοῦ χρείαν. Καὶ γὰρ [r] καὶ δέον- 13
ται τοῦ πίνειν τοὐναντίον τῶν ἄλλων τοῦ χειμῶνος μᾶλλον ἢ τοῦ θέρους· διὰ γὰρ τὸ μὴ εἰωθέναι ὕδατα γίνεσθαι τοῦ θέρους ἀσύνηθες αὐτοῖς τὸ πίνειν ἐστίν. Καὶ οἵ γε μύες ὅταν [s] πίωσιν, ἀποθνήσκουσιν. Γίνεται δὲ καὶ ἄλλα ἐκ μίξεως μὴ ὁμοφύλων, ὥσπερ καὶ ἐν Κυρήνῃ [t] οἱ λύκοι μίσγονται ταῖς κυσὶ [v] καὶ γεννῶσι, [w] καὶ ἐξ ἀλώπεκος [x] καὶ κυνὸς οἱ Λακωνικοί. Φασὶ δὲ καὶ ἐκ τοῦ [y] τίγριος καὶ κυνὸς γίνεσθαι 14
τοὺς [i]Ινδικούς, οὐκ εὐθὺς δὲ ἀλλ' [z] ἐπὶ [a] τῆς τρίτης μίξεως· τὸ γὰρ πρῶτον γεννηθὲν θηριῶδες γίνεσθαί φασιν. [v]Ἀγοντες δὲ δεσμεύουσιν εἰς τὰς ἐρημίας [b] τὰς κύνας· καὶ πολλαὶ κατεσθίονται, ἐὰν μὴ τύχῃ ὀργῶν πρὸς τὴν ὀχείαν τὸ θηρίον.

[v] αὐτὰς A^a. [w] ἔνιοι $A^a.C^a$, ἐνίων P.E^a. [x] ἐμβάλλειν D^a, ἐκβάλλειν P.E^a. [y] ἀνατρέψαντες $A^a.C^a$, ἀναστρέψαντα εἰς P.E^a, ἀναστρέψασαν D^a. [z] δὲ om. $A^a.C^a$. [a] μὲν om. P.E^a. [b] τόπῳ om. P.E^a. [c] τοῦ] ἐν τοῖς τοῦ $A^a.C^a$. [d] ἀχελαίου A^a. [e] μέσσου E^a, μέσου P, νέσσου μόνον D^a, νέσσου ποταμοῦ $A^a.C^a$. [f] δὲ πάντα τὰ ἐν τῇ εὐρώπῃ P.D^a. [g] πολυμορφώτερα A^a. [h] δ'] δὲ τὰ P.$D^a.E^a$. [i] δέ om. A^a. [k] φέρει τι ἡ λιβύη P.$D^a.E^a$. [l] κενόν P. [m] ὕδατα C^a. [n] οἱ ante τῆς om. P.D^a. [o] ἀπ' om. $A^a.D^a$. [p] δὲ] τὰ δὲ P.E^a. [q] τόπου P.E^a, ποταμοῦ (omisso τοῦ) pr. A^a. [r] καὶ δέονται] ἐνδέονται $A^a.C^a$. [s] πίνωσιν A^a. [t] μίσγονται οἱ λύκοι τοῖς P.$D^a.E^a$. [v] καὶ γεννῶσι om.P.E^a. [w] καὶ om. $A^a.C^a$. [x] καὶ κυνὸς] τινὸς P.E^a. [y] τίγρως καὶ] ἀγρίου P.E^a. [z] ἐπὶ] ἐκ D^a. [a] τῆς om. P.E^a. [b] τοὺς A^a.

Digitized by Google

29 Ποιοῦσι [c] δ' οἱ τόποι διαφέροντα καὶ τὰ ἤθη, οἷον [d] οἱ ὀρεινοὶ καὶ τραχεῖς τῶν ἐν τοῖς [e] πεδινοῖς καὶ μαλακοῖς· καὶ γὰρ τὰς ὄψεις ἀγριώτερα καὶ ἀλκιμώτερα, καθάπερ καὶ οἱ ἐν τῷ [f] Ἄθῳ ὗες· τούτων γὰρ οὐδὲ τὰς θηλείας ὑπομέ-
2 νουσι τῶν κάτω οἱ ἄρρενες. Καὶ πρὸς τὰ δήγματα δὲ τῶν θηρίων μεγάλην ἔχουσιν αἱ χῶραι διαφοράν, οἷον περὶ μὲν Φάρον καὶ ἄλλους τόπους οἱ σκορπίοι οὐ χαλεποί, ἐν ἄλλοις δὲ τόποις καὶ ἐν τῇ [g] Καρίᾳ πολλοὶ καὶ μεγάλοι καὶ χαλεποὶ γίγνονται, [h] κἂν τινα πατάξωσιν ἄνθρωπον [i] ἢ θηρίον, [k] ἀποκτείνουσι, καὶ τὰς ὗς, αἳ ἥκιστα αἰσθάνονται τῶν ἄλλων δηγμάτων, καὶ τούτων τὰς μελαίνας μᾶλλον ἀποκτείνουσιν· [l] τάχιστα δ' ἀπόλλυνται αἱ ὗες πληγεῖσαι, ἐὰν εἰς ὕδωρ
3 [m] ἔλθωσιν. Τά τε τῶν ὄφεων δήγματα πολὺ διαφέρουσιν. [n] Ἥ τε γὰρ ἀσπὶς ἐν Λιβύῃ γίνεται, [n] ἐξ οὗ ὄφεως ποιοῦσι τὸ σηπτικόν, καὶ ἄλλως [o] ἀνιάτως. Γίνεται δὲ καὶ ἐν τῷ [p] σιλφίῳ τι [q] ὀφείδιον, οὗ καὶ λέγεται ἄκος εἶναι λίθος [r] τις, ὃν λαμβάνουσιν ἀπὸ τάφου βασιλέως τῶν ἀρχαίων καὶ ἐν
4 οἴνῳ ἀποβάψαντες πίνουσιν. Τῆς δ' [t] Ἰταλίας ἔν τισι τόποις καὶ τὰ τῶν [s] ἀσκαλαβωτῶν δήγματα θανάσιμά [t] ἐστιν. Πάντων δὲ χαλεπώτερά [t] ἐστι τὰ δήγματα τῶν ἰοβόλων, ἐὰν τύχῃ ἀλλήλων ἐδηδοκότα, οἷον [v] σκορπίον ἔχις. [u] Ἔστι δὲ τοῖς πλείστοις αὐτῶν πολέμιον τὸ τοῦ ἀνθρώπου πτύε-
5 λον. [u] Ἔστι δέ τι [w] ὀφείδιον μικρόν, ὃ καλοῦσί τινες [x] ἱερόν, ὃ οἱ πάνυ μεγάλοι ὄφεις φεύγουσιν· γίνεται δὲ τὸ [y] μέγιστον πηχυαῖον, καὶ δασὺ ἰδεῖν· ὅ τι δ' ἂν δάκῃ, εὐθὺς σήπεται [z] τὸ κύκλῳ. [u] Ἔστι [a] δὲ καὶ ἐν τῇ [i] Ἰνδικῇ [w] ὀφείδιόν [b] τι, οὗ μόνου φάρμακον οὐκ ἔχουσιν.

[c] δὲ καὶ οἱ τόποι διαφέροντα τὰ P.D[a].E[a]. [d] οἱ om. A[a]. [e] πεδίοις P.D[a].E[a]. [f] ὗς A[a].C[a]. [g] σκυθίᾳ A[a].C[a].D[a]. [h] καὶ ἐάν P.D[a].E[a]. [i] ἢ] ἤ τι ἄλλο A[a].C[a]. [k] κτείνουσι P.A[a].C[a].E[a]. [l] τάχιστα] μᾶλιστα P.D[a].E[a]. [m] ἀπέλθωσι A[a].C[a]. [n] ἐξ ὡοῦ ὄφεως ποιοῦσα C[a], ἔξω τοῦ ὄφεως ποιοῦσα D[a]. [o] ἀνίατος A[a].C[a].D[a]. [p] σιλφίῳ τι] σιλφιώδει P.E[a]. [q] ὀφίδιον D[a]. [r] τις om. A[a].C[a]. [s] σκαλαβωτῶν A[a]. [t] εἰσὶ utrobique A[a]. [v] σκορπίου rc. A[a], σκορπίος P.E[a]. [w] ὀφίδιον utrobique D[a]. [x] ἱεράν P.E[a]. [y] μέγιστον] μέγεθος τούτου A[a].C[a]. [z] τὸ κύκλῳ om. P.E[a]. [a] δὲ] δέ τι A[a]. [b] τι om. P.E[a].

Digitized by Google

Διαφέρει δὲ τὰ ζῷα τῷ εὐημερεῖν ἢ τοὐναντίον καὶ περὶ 30
τὰς κυήσεις. Τὰ μὲν γὰρ ὀστρακόδερμα, οἷον κτένες καὶ
[c] ἅπαντα τὰ ὀστρεώδη καὶ τὰ μαλακόστρακα, ἄριστά [c] ἐστιν
ὅταν κύῃ, [d] οἷον τὰ καραβώδη. [e] Λέγεται [f] δὲ κύησις καὶ
τῶν ὀστρακοδέρμων· τὰ μὲν γὰρ μαλακόστρακα καὶ ὀχευό-
μενα ὁρᾶται καὶ ἀποτίκτοντα, ἐκείνων δ' οὐθέν. Καὶ τὰ 2
μαλάκια δὲ κύοντα ἄριστα, οἷον τευθίδες τε καὶ σηπίαι καὶ
πολύποδες. Οἱ δ' [g] ἰχθῦς ἀρχόμενοι μὲν [h] κυΐσκεσθαι σχε-
δὸν ἀγαθοὶ πάντες, προϊούσης δὲ τῆς κυήσεως οἱ μὲν οἱ δ' οὔ.
Κύουσα μὲν οὖν ἀγαθὴ μαινίς· μορφὴ δὲ τῆς θηλείας 3
στρογγυλωτέρα, ὁ δ' [i] ἄρρην μακρότερος καὶ [k] πλατύτερος·
συμβαίνει δ' ἀρχομένης κυΐσκεσθαι τῆς θηλείας τοὺς ἄρρενας
μέλαν τὸ χρῶμα ἴσχειν καὶ ποικιλώτερον, καὶ [l] φαγεῖν χει-
ρίστους εἶναι· καλοῦνται δ' ὑπ' ἐνίων τράγοι [m] περὶ τοῦτον
τὸν χρόνον. Μεταβάλλουσι [n] δὲ καὶ οὓς καλοῦσι κοττύ- 4
φους καὶ κίχλας [o] καὶ ἡ καρὶς τὸ χρῶμα κατὰ τὰς [p] ὥρας,
ὥσπερ ἔνια τῶν ὀρνέων· τοῦ μὲν γὰρ ἔαρος μέλανες γίνονται,
[q] εἶτα ἐκ τοῦ ἔαρος λευκοὶ πάλιν. Μεταβάλλει δὲ καὶ ἡ
φυκὶς τὴν χρόαν· τὸν μὲν γὰρ ἄλλον χρόνον λευκή ἐστι,
τοῦ δ' ἔαρος ποικίλη· μόνη δ' [r] αὕτη τῶν θαλαττίων ἰχθύων
[s] στιβαδοποιεῖται, ὡς φασί, καὶ τίκτει ἐν [t] τῇ στιβάδι.
Μεταβάλλει δὲ καὶ ἡ μαινίς, ὥσπερ εἴρηται, καὶ ἡ [v] σμαρίς, 5
καὶ ἐκ λευκοτέρων [w] πάλιν ἐν τῷ θέρει καθίστανται καὶ γί-
νονται μέλανες· μάλιστα δ' ἐπίδηλός ἐστι περὶ τὰ πτερύγια
καὶ τὰ βράγχια. Καὶ κορακῖνος δ' ἄριστός [x] ἐστι κύων,
ὥσπερ καὶ ἡ μαινίς. Κεστρεὺς δὲ καὶ λάβραξ καὶ οἱ [y] λοι-
ποὶ πλωτοὶ φαῦλοι κύοντες σχεδὸν πάντες. [v]Ὁμοιοι δὲ

[c] πάντα et εἰσιν A^aC^a. [d] οἷον] ὡς λέγεται $A^a.C^a$. [e] βλέπεται P.$D^a.E^a$. [f] δὲ ἡ κύησις D^a. [g] ἰχθύες $C^a.D^a$. [h] κύεσθαι D^a. [i] ἄρσην P.$D^a.E^a$. [k] παχύτερος P.$D^a.E^a$. [l] φαγεῖν] φαγεῖν δὲ $A^a.C^a$. [m] περὶ] κατὰ D^a. [n] δὲ] γὰρ E^a, om. P. [o] καὶ γὰρ ἡ $A^a.C^a$. [p] ὥρας μεταβάλλει ὥσπερ $A^a.C^a$. [q] εἶτα—πάλιν] ἐκ δὲ τοῦ ἔαρος λευκοὶ γίνον-ται πάλιν $A^a.C^a$. [r] αὕτη] αὕτη μόνη A^a. [s] στιβάδας ποιεῖται P.D^a. [t] ταῖς στιβάσι D^a. [v] καρὶς $A^a.C^a$. [w] ἐν τῷ θέρει πάλιν D^a. [x] ἐστι om. $A^a.C^a$. [y] λοιποὶ πλωτοὶ] λεπιδωτοὶ P.$D^a.E^a$.

Digitized by Google

6 κύοντες καὶ μὴ ὀλίγοι, οἷον γλαῦκος. Φαῦλοι δὲ καὶ οἱ γέροντες τῶν ἰχθύων, [z] καὶ οἵ γε θύννοι καὶ εἰς [a] ταριχείας [b] φαῦλοι οἱ γέροντες· πολὺ γὰρ συντήκεται τῆς σαρκός. Τὸ δ' αὐτὸ καὶ ἐπὶ τῶν ἄλλων συμβαίνει ἰχθύων. Δῆλοι [c] δ' οἱ γέροντες αὐτῶν τῷ μεγέθει τῶν λεπίδων καὶ [d] τῇ 7 σκληρότητι. Ἤδη δ' ἐλήφθη γέρων θύννος οὗ σταθμὸς μὲν ἦν τάλαντα πεντεκαίδεκα, τοῦ δ' οὐραίου τὸ διάστημα [e] πέντε πήχεων ἦν καὶ σπιθαμῆς. Οἱ δὲ [f] ποτάμιοι καὶ οἱ λιμναῖοι ἄριστοι γίνονται μετὰ τὴν ἄφεσιν τοῦ κυήματος καὶ τοῦ θοροῦ, ὅταν [g] ἀνατραφῶσιν· [h] κύοντες δ' ἔνιοι μὲν ἀγαθοί, 8 [i] οἷον σαπερδίς, ἔνιοι δὲ φαῦλοι, οἷον γλάνις. Οἱ μὲν οὖν ἄλλοι πάντες ἀμείνους οἱ ἄρρενες [k] τῶν θηλειῶν, γλάνις δ' [l] ὁ θῆλυς τοῦ ἄρρενος ἀμείνων. Καὶ ἐν [m] ταῖς ἐγχέλυσι δέ, ἃς καλοῦσι θηλείας, ἀμείνους εἰσίν· οὐκ οὔσας δὲ θηλείας καλοῦσιν, ἀλλὰ τῇ ὄψει [n] διαφόρους.

[o] I.

Τὰ δ' ἤθη τῶν ζῴων ἐστὶ τῶν μὲν ἀμαυροτέρων καὶ βραχυβιωτέρων ἧττον ἡμῖν ἔνδηλα κατὰ τὴν αἴσθησιν, τῶν δὲ μακροβιωτέρων ἐνδηλότερα. [p] Φαίνονται γὰρ ἔχοντά τινα δύναμιν περὶ ἕκαστον τῶν [q] τῆς ψυχῆς παθημάτων [r] φυσικήν, περί τε φρόνησιν καὶ [s] εὐήθειαν καὶ [t] ἀνδρίαν καὶ δειλίαν, περί τε πραότητα καὶ χαλεπότητα καὶ τὰς ἄλλας 2 τὰς τοιαύτας ἕξεις. Ἔνια δὲ κοινωνεῖ τινὸς ἅμα καὶ μαθήσεως καὶ διδασκαλίας, τὰ μὲν [v] παρ' ἀλλήλων, τὰ δὲ [w] καὶ παρὰ τῶν ἀνθρώπων, ὅσαπερ ἀκοῆς μετέχει, μὴ μόνον ὅσα τῶν ψόφων, ἀλλ' [x] ὅσα καὶ τῶν σημείων [y] διαισθάνεται τὰς

[z] καὶ ante οἵ om. P. [a] ταριχείαν D^a, τὰς ταριχείας $A^a.C^a$. [b] φαῦλοι οἱ γέροντες om. A^a. [c] δ'] δὲ καὶ P. [d] τῇ om. $A^a.C^a$. [e] πέντε] δύο C^a. [f] ποτάμιοι καὶ λιμναῖοι C^a, λιμναῖοι καὶ ποτάμιοι A^a. [g] ἀναστραφῶσι A^a. [h] κυοῦντες P.$D^a.E^a$. [i] οἷον ὁ σ. $A^a.C^a$. [k] τῶν] τῶν ἰχθύων τῶν P. [l] ἡ θήλεια C^a. [m] τοῖς ἐγχέλεσι D^a. [n] διαφέρουσιν $A^a.C^a$. [o] I.] θ̄ E^a, η̄ D^a, ὄγδοον P. [p] φαίνεται A^a. [q] τῶν ψυχῶν P. [r] ψυχικὴν A^a. [s] εὔνοιαν C^a. [t] δειλίαν καὶ ἀνδρείαν A^a. [v] παρ'] γὰρ παρ' rc. A^a, γὰρ P.$C^a.D^a$. [w] καὶ om. P.D^a. [x] καὶ ὅσα P.D^a. [y] αἰσθάνεται D^a.

Digitized by Google

διαφοράς. Ἐν πᾶσι δ' ὅσοις ἐστὶ [z] γένεσι τὸ θῆλυ καὶ τὸ ἄρρεν, σχεδὸν ἡ φύσις ὁμοίως διέστησε τὸ ἦθος τῶν θηλειῶν πρὸς τὸ τῶν ἀρρένων. Μάλιστα δὲ φανερὸν ἐπί τε τῶν 3
ἀνθρώπων καὶ τῶν μέγεθος ἐχόντων καὶ τῶν [a] ζῳοτόκων τετραπόδων· μαλακώτερον [b] γὰρ τὸ ἦθός ἐστι [c] τὸ τῶν θηλειῶν, καὶ τιθασσεύεται θᾶττον, καὶ προσίεται τὰς χεῖρας μᾶλλον, καὶ [d] μαθητικώτερον, οἷον καὶ αἱ Λάκαιναι κύνες αἱ θήλειαι εὐφυέστεραι τῶν ἀρρένων [e] εἰσίν. Τὸ δ' ἐν τῇ Μο- 4
λοττίᾳ γένος τῶν κυνῶν τὸ μὲν θηρευτικὸν οὐδὲν διαφέρει πρὸς τὸ παρὰ τοῖς ἄλλοις, τὸ δ' ἀκόλουθον τοῖς προβάτοις τῷ μεγέθει καὶ τῇ ἀνδρίᾳ τῇ πρὸς τὰ θηρία. Διαφέρουσι δ' οἱ ἐξ ἀμφοῖν ἀνδρίᾳ καὶ φιλοπονίᾳ, οἵ τε ἐκ τῶν ἐν τῇ Μολοττίᾳ γιγνομένων κυνῶν καὶ ἐκ τῶν Λακωνικῶν. Ἀθυ- 5
μότερα δὲ τὰ θήλεα πάντα τῶν ἀρρένων πλὴν [f] ἄρκτου καὶ παρδάλεως· τούτων [g] δ' ἡ θήλεια δοκεῖ εἶναι ἀνδρειοτέρα. Ἐν δὲ τοῖς ἄλλοις γένεσι τὰ θήλεα μαλακώτερα καὶ [h] κακουργότερα καὶ ἧττον ἁπλᾶ καὶ προπετέστερα καὶ περὶ τὴν τῶν τέκνων τροφὴν φροντιστικώτερα, τὰ δ' ἄρρενα ἐναντίως [i] θυμωδέστερα καὶ ἀγριώτερα καὶ ἁπλούστερα καὶ ἧττον ἐπίβουλα. Τούτων δ' ἴχνη μὲν τῶν ἠθῶν [k] ἐστὶν ἐν πᾶσιν 6
ὡς εἰπεῖν, μᾶλλον δὲ [l] φανερώτερα ἐν τοῖς [m] ἔχουσι μᾶλλον ἦθος καὶ μάλιστα ἐν ἀνθρώπῳ· τοῦτο γὰρ ἔχει τὴν φύσιν ἀποτετελεσμένην, ὥστε καὶ ταύτας τὰς ἕξεις εἶναι φανερωτέρας ἐν αὐτοῖς. Διόπερ γυνὴ ἀνδρὸς ἐλεημονέστερον καὶ 7
ἀρίδακρυ μᾶλλον, ἔτι δὲ [n] φθονερώτερον [o] καὶ μεμψιμοιρότερον, καὶ φιλολοίδορον μᾶλλον καὶ πληκτικώτερον. [u] Ἔστι δὲ καὶ δύσθυμον μᾶλλον τὸ θῆλυ τοῦ ἄρρενος καὶ [p] δύσελπι, καὶ ἀναιδέστερον καὶ ψευδέστερον, εὐαπατητότερον [q] δὲ καὶ

[z] γένεσις $A^a.C^a.E^a$. [a] ζωοτοκούντων D^a. [b] γὰρ] τε γὰρ P. [c] τὸ post ἐστι om. $P.A^a.D^a.E^a$. [d] μαθηματικώτερον $P.A^a.C^a.D^a$. [e] εἰσίν om. $P.D^a.E^a$. [f] ἄρκτος καὶ πάρδαλις $P.D^a.E^a$. [g] δ' om. E^a. [h] ἀκακουργότερα D^a. [i] θυμωδέστερά τε καὶ D^a. [k] εἰσὶν A^a. [l] φανερώτερον P. [m] μᾶλλον ἔχουσιν A^a. [n] φθονώτερον C^a. [o] καὶ] τε καὶ D^a. καὶ μεμψιμοιρότερον om. E^a. [p] δύσελπον $P.E^a$. [q] δὲ καὶ] τε καὶ D^a.

Digitized by Google

μνημονικώτερον, ἔτι [r] δὲ ἀγρυπνότερον καὶ ὀκνηρότερον καὶ ὅλως ἀκινητότερον τὸ θῆλυ τοῦ ἄρρενος, καὶ τροφῆς ἐλάτ-
8 τονός ἐστιν. [s] Βοηθητικώτερον δέ, ὥσπερ ἐλέχθη, καὶ ἀνδρειότερον τὸ ἄρρεν τοῦ θήλεός ἐστιν, ἐπεὶ καὶ ἐν τοῖς μαλακίοις, ὅταν τῷ [t] τριώδοντι πληγῇ ἡ σηπία, ὁ μὲν ἄρρην βοηθεῖ τῇ θηλείᾳ, ἡ δὲ θήλεια φεύγει τοῦ ἄρρενος πληγέντος.

9 Πόλεμος μὲν οὖν πρὸς ἄλληλα τοῖς ζῴοις ἐστίν, ὅσα τοὺς αὐτούς [v] τε κατέχει τόπους καὶ ἀπὸ τῶν αὐτῶν ποιεῖται τὴν ζωήν· ἐὰν γὰρ ᾖ σπάνιος ἡ τροφή, καὶ πρὸς ἄλληλα τὰ ὁμόφυλα μάχεται, ἐπεὶ καὶ [w] τὰς φώκας φασὶ πολεμεῖν τὰς περὶ τὸν αὐτὸν τόπον, καὶ ἄρρενι ἄρρενα καὶ θηλείᾳ θήλειαν, ἕως ἂν ἀποκτείνῃ ἢ ἐκβληθῇ θάτερον ὑπὸ θατέρου·
10 καὶ τὰ σκυμνία ὡσαύτως πάντα. [u] Ἔτι δὲ τοῖς ὠμοφάγοις ἅπαντα πολεμεῖ, καὶ ταῦτα τοῖς ἄλλοις· ἀπὸ γὰρ τῶν ζῴων ἡ τροφὴ αὐτοῖς· [x] ὅθεν καὶ τὰς [y] διεδρίας καὶ τὰς συνεδρίας οἱ μάντεις λαμβάνουσι, δίεδρα μὲν τὰ πολέμια
11 τιθέντες, σύνεδρα δὲ τὰ [z] εἰρηνοῦντα πρὸς ἄλληλα. Κινδυνεύει δέ, εἰ ἀφθονία τροφῆς εἴη, πρός τε τοὺς ἀνθρώπους ἂν ἔχειν [a] τιθασσῶς τὰ νῦν φοβούμενα αὐτῶν καὶ ἀγριαίνον-
12 τα, καὶ πρὸς ἄλληλα τὸν αὐτὸν τρόπον. Δῆλον δὲ ποιεῖ τοῦτο ἡ περὶ Αἴγυπτον ἐπιμέλεια τῶν ζῴων· διὰ γὰρ [b] τὸ τροφὴν ὑπάρχειν καὶ μὴ ἀπορεῖν μετ' ἀλλήλων ζῶσι καὶ αὐτὰ τὰ ἀγριώτατα· διὰ τὰς [c] ὠφελείας γὰρ ἡμεροῦται, οἷον ἐνιαχοῦ τὸ τῶν κροκοδείλων γένος πρὸς τὸν ἱερέα διὰ τὴν ἐπιμέλειαν [d] τὴν τῆς τροφῆς. Τὸ δ' αὐτὸ τοῦτ' ἔστιν ἰδεῖν καὶ περὶ τὰς ἄλλας χώρας γινόμενον, καὶ κατὰ μόρια
13 τούτων. [e] Ἔστι δ' ἀετὸς καὶ δράκων πολέμια· τροφὴν γὰρ ποιεῖται τοὺς ὄφεις ὁ ἀετός. Καὶ ἰχνεύμων καὶ φάλαγξ· θηρεύει γὰρ τοὺς φάλαγγας ὁ ἰχνεύμων. Τῶν δ' ὀρνίθων

[r] δὲ] δὲ καὶ A^a. [s] βοηθικώτερον A^a. [t] τριόδοντι $C^a.D^a$. [v] τε] ὑπὸ A^a. [w] τοὺς φῶκας A^a. [x] ὅταν D^a. [y] διέδρας καὶ τὰς συνεδρίας $A^a.C^a$, διεδρίας καὶ τὰς συνεδρείας $P.E^a$, συνεδρείας καὶ τὰς διεδρείας D^a. [z] εἰρηνεύοντα D^a. [a] τιθασῶς $P.E^a$. [b] τὸ om. C^a. [c] ὠφελίας γὰρ ἡμεροῦσι C^a. [d] τὴν ante τῆς om. $A^a.C^a.D^a$. [e] αἰετὸς $A^a.E^a$.

Digitized by Google

ποικιλίδες καὶ κορυδῶνες καὶ [f]πίπρα καὶ χλωρεύς· τὰ γὰρ ὠὰ κατεσθίουσιν ἀλλήλων. Καὶ κορώνη καὶ γλαύξ· ἡ μὲν 14
γὰρ τῆς μεσημβρίας, διὰ τὸ μὴ ὀξὺ βλέπειν τὴν γλαῦκα τῆς ἡμέρας, κατεσθίει ὑφαρπάζουσα αὐτῆς τὰ ὠά, ἡ δὲ [g]γλαὺξ τῆς νυκτὸς τὰ τῆς κορώνης, καὶ κρείττων ἡ μὲν τῆς ἡμέρας ἡ δὲ τῆς νυκτός ἐστιν. Καὶ γλαὺξ δὲ καὶ ὄρχιλος πολέμια· τὰ γὰρ ὠὰ κατεσθίει καὶ οὗτος τῆς γλαυκός. Τῆς δὲ ἡμέ- 15
ρας καὶ τὰ ἄλλα ὀρνίθια τὴν γλαῦκα περιπέταται, ὃ καλεῖται θαυμάζειν, καὶ προσπετόμενα τίλλουσιν· διὸ οἱ ὀρνιθοθῆραι θηρεύουσιν αὐτῇ παντοδαπὰ ὀρνίθια. Πολέμιος δὲ καὶ ὁ πρέσβυς καλούμενος καὶ γαλῆ καὶ κορώνη· τὰ γὰρ ὠὰ καὶ τοὺς νεοττοὺς κατεσθίουσιν αὐτῆς. Καὶ τρυγὼν καὶ 16
[h]πυραλλίς· τόπος γὰρ τῆς νομῆς καὶ βίος ὁ αὐτός. Καὶ κελεὸς καὶ [i]λιβυός. Ἰκτῖνος δὲ καὶ κόραξ· ὑφαιρεῖται γὰρ τοῦ κόρακος ὁ ἰκτῖνος ὅ τι ἂν ἔχῃ διὰ τὸ [k]κρείττων εἶναι τοῖς ὄνυξι καὶ τῇ πτήσει, ὥστε ἡ τροφὴ [l]ποιεῖ πολεμίους καὶ τούτους. Ἔτι οἱ ἀπὸ τῆς [m]θαλάττης ζῶντες ἀλλήλοις, οἷον βρένθος καὶ λάρος καὶ ἅρπη. [n]Τριόρχης δὲ καὶ φρῦνος καὶ ὄφις· κατεσθίει γὰρ ὁ [n]τριόρχης αὐτούς. Τρυγὼν δὲ καὶ 17
χλωρεύς· ἀποκτείνει γὰρ τὴν τρυγόνα ὁ χλωρεύς, καὶ ἡ κορώνη τὸν καλούμενον τύπανον. Τὸν δὲ [o]κάλαριν ὁ [p]αἰγωλιὸς καὶ οἱ ἄλλοι [q]γαμψώνυχες κατεσθίουσιν· ὅθεν ὁ πόλεμος αὐτοῖς. Πόλεμος [r]δὲ καὶ ἀσκαλαβώτῃ καὶ ἀράχνῃ· κατεσθίει γὰρ τοὺς ἀράχνας [s]ὁ ἀσκαλαβώτης. [t]Πίπῳ δὲ [v]καὶ ἐρωδιῷ· 18
τὰ γὰρ ὠὰ κατεσθίει καὶ τοὺς [w]νεοττοὺς τοῦ ἐρωδιοῦ. [x]Αἰ-
γίθῳ δὲ καὶ ὄνῳ πόλεμος διὰ τὸ παριόντα τὸν ὄνον [y]κνήθεσθαι εἰς τὰς ἀκάνθας τὰ ἕλκη· διά [z]τε οὖν τοῦτο, κἂν ὀγκήσηται, ἐκβάλλει τὰ ὠὰ καὶ τοὺς νεοττούς· φοβούμενοι

[f] πιπρῶ A^a. [g] γλαῦξ C^a. [h] πυραλίς P.D^a.E^a. [i] λιβιὸς E^a, λεβιὸς P, κίβιος C^a, κήβιος A^a. [k] κρεῖττον A^a. [l] ποιεῖ om. P. [m] θαλάσσης P.D^a.E^a. [n] τρίορχις utrobique P.A^a.E^a. [o] κόλαριν D^a. [p] αἰγώλιος P.D^a.E^a. [q] γαμψώνυχοι A^a.C^a. [r] δὲ] γὰρ A^a.C^a. [s] ὁ] ὁ δὲ A^a. [t] πιπῷ A^a.C^a, ἵππῳ P.D^a.E^a. [v] καὶ om. A^a.C^a. [w] νεοττοὺς φοβούμενοι τοῦ A^a. [x] αἰγιθῷ A^a. [y] ξύεσθαι P.A^a.D^a.E^a. [z] τε] τοι C^a.

Digitized by Google

γὰρ [a] ἐκπίπτουσιν· ὁ δὲ διὰ τὴν βλάβην ταύτην κολάπτει
19 ἐπιπετόμενος τὰ ἕλκη αὐτοῦ. Λύκος δ' ὄνῳ καὶ ταύρῳ καὶ ἀλώπεκι πολέμιος· ὠμοφάγος γὰρ ὢν ἐπιτίθεται τοῖς βουσὶ καὶ [b] τοῖς ὄνοις καὶ τῇ ἀλώπεκι. [c] Καὶ ἀλώπηξ δὲ καὶ κίρκος διὰ [d] τὴν αὐτὴν αἰτίαν· γαμψώνυχος γὰρ ὢν καὶ ὠμοφάγος ἐπιτίθεται καὶ [e] ἕλκη ποιεῖ κόπτων. Καὶ κόραξ ταύρῳ καὶ ὄνῳ πολέμιος διὰ τὸ τύπτειν ἐπιπετόμενος [f] αὐτοὺς καὶ τὰ
20 ὄμματα [g] κολάπτειν αὐτῶν. Πολεμεῖ δὲ καὶ [h] ἀετὸς καὶ ἐρωδιός· γαμψώνυχος γὰρ ὢν ὁ [h] ἀετὸς ἐπιτίθεται, ὁ δ' ἀποθνήσκει ἀμυνόμενος. Καὶ αἰσάλων δ' [i] αἰγυπιῷ πολέμιος, καὶ κρὲξ [k] ἑλεῷ καὶ κοττύφῳ καὶ [l] χλωρίωνι, [m] ὃν ἔνιοι μυθολογοῦσι γενέσθαι ἐκ πυρκαϊᾶς· καὶ γὰρ αὐτοὺς βλάπτει
21 καὶ τὰ τέκνα αὐτῶν. Καὶ σίττη καὶ [n] τροχίλος [o] ἀετῷ πολέμια· ἡ γὰρ σίττη καταγνύει τὰ ᾠὰ τοῦ ἀετοῦ, ὁ δ' ἀετὸς [p] καὶ διὰ τοῦτο καὶ διὰ τὸ ὠμοφάγος εἶναι πολέμιός
22 ἐστι πᾶσιν. Ἄνθος δ' ἵππῳ πολέμιος· ἐξελαύνει [q] γὰρ ὁ ἵππος ἐκ τῆς νομῆς· πόαν γὰρ νέμεται ὁ ἄνθος, ἐπάργεμος δ' ἐστὶ καὶ οὐκ ὀξυωπός· μιμεῖται [r] γὰρ τοῦ ἵππου τὴν φωνήν, καὶ φοβεῖ ἐπιπετόμενος καὶ ἐξελαύνει, ὅταν δὲ λάβῃ, κτείνει αὐτόν. Οἰκεῖ δ' ὁ [s] ἄνθος παρὰ ποταμὸν καὶ ἕλη,
23 [t] χρόαν δ' ἔχει καλὴν καὶ [v] εὐβίοτος. [w] Κωλωτῇ δ' ὄνος πολέμιος· κοιμᾶται γὰρ ἐν τῇ φάτνῃ αὐτοῦ, καὶ κωλύει ἐσθίειν εἰς τοὺς μυκτῆρας ἐνδυόμενος. Τῶν δ' ἐρωδιῶν ἐστὶ τρία γένη, ὅ τε πέλλος καὶ ὁ λευκὸς καὶ ὁ ἀστερίας καλούμενος. Τούτων ὁ πέλλος χαλεπῶς [x] εὐνάζεται καὶ ὀχεύει· κράζει τε γὰρ καὶ αἷμα, ὡς φασίν, ἀφίησιν ἐκ τῶν ὀφθαλμῶν ὀχεύων,
24 καὶ τίκτει φαύλως καὶ ὀδυνηρῶς. Πολεμεῖ δὲ τοῖς βλάπτου-

[a] ἐκπίπτουσι intpp : codices ἐκτίκτουσι. [b] τῷ ὄνῳ Da. [c] καὶ ante ἀλ. om. Aa. [d] τὴν αἰτίαν αὐτήν Aa. [e] ἕλκη ποιεῖ] ἑλκείποι εἰ P, ἑλκείπει εἰ Ea. [f] αὐτὸν Ca. [g] καλύπτειν Ca. [h] αἰετὸς utrobique P.Da.Ea. [i] αἰγυπτίῳ P.Aa.Ca.Ea. [k] ελ' Ca, ἐλέῳ Aa. [l] χλωριῶνι Da, χλωριόνι Ca, χλωρειόνι P. [m] ὃν ἔνιοι] ἑνὶ. ὃν Ca. [n] τροχεῖλος P. [o] αἰετῷ P.Da.Ea. [p] καὶ διὰ τοῦτο om. Aa. [q] γὰρ αὐτὸν ὁ Da. [r] γὰρ] μὲν γὰρ Aa.Ca. [s] ἄκανθος Aa.Ca. [t] χρείαν Aa. [v] εὐβοίωτος Aa, εὐβίωτος Ca. [w] κολωτῇ P. [x] εὐνάζει Da, εὐνάζεταί τε Ca.

Digitized by Google

σιν, [y] ἀετῷ (ἁρπάζει γὰρ αὐτόν) καὶ ἀλώπεκι (φθείρει γὰρ αὐτὸν τῆς νυκτός) καὶ [z] κορύδῳ (τὰ γὰρ ᾠὰ αὐτοῦ κλέπτει). Ὄφις δὲ γαλῇ καὶ ὑῒ πολέμιον, τῇ μὲν γαλῇ, κατ' οἰκίαν ὅταν ὦσιν ἀμφότερα· ἀπὸ γὰρ τῶν αὐτῶν ζῶσιν· ἡ δ' [a] ὗς ἐσθίει τοὺς ὄφεις. Καὶ αἰσάλων ἀλώπεκι πολέμιος· [b] τύπτει 25 γὰρ καὶ τίλλει αὐτήν, καὶ τὰ τέκνα ἀποκτείνει· γαμψώνυχος γάρ ἐστιν. [c] Κόραξ δὲ καὶ ἀλώπηξ ἀλλήλοις φίλοι· πολεμεῖ γὰρ τῷ αἰσάλωνι ὁ κόραξ· διὸ βοηθεῖ τυπτομένῃ αὐτῇ. Καὶ [d] αἰγυπιὸς δὲ καὶ αἰσάλων [e] πολέμιοι σφίσιν αὐτοῖς· ἀμφότεροι γὰρ γαμψώνυχοι. Μάχεται δὲ καὶ ἀετῷ [f] αἰ- 26 γυπιὸς [g] καὶ [h] κύκνος· κρατεῖ δ' ὁ κύκνος πολλάκις· εἰσὶ [i] δ' οἱ κύκνοι [k] καὶ ἀλληλοφάγοι μάλιστα τῶν ὀρνέων. Ἔστι δὲ τῶν θηρίων τὰ μὲν ἀεὶ πολέμια ἀλλήλοις, τὰ δ' ὥσπερ ἄνθρωποι, ὅταν τύχωσιν. Ὄνος δὲ καὶ ἀκανθίδες πολέμιοι· αἱ μὲν γὰρ [l] ἀπὸ τῶν ἀκανθῶν βιοτεύουσιν, ὁ δ' ἁπαλὰς οὔσας [m] κατεσθίει τὰς ἀκάνθας. Καὶ ἄνθος καὶ ἀκανθὶς καὶ 27 αἴγιθος· λέγεται δ' ὅτι αἰγίθου καὶ [n] ἄνθου αἷμα οὐ συμμίγνυται ἀλλήλοις. Κορώνη δὲ [o] καὶ ἐρωδιὸς φίλοι, καὶ σχοινίων καὶ κόρυδος, καὶ [p] λαεδὸς καὶ κελεός· ὁ μὲν γὰρ κελεὸς παρὰ ποταμὸν οἰκεῖ καὶ λόχμας, ὁ δὲ [p] λαεδὸς πέτρας καὶ ὄρη, καὶ φιλοχωρεῖ οὗ ἂν οἰκῇ. Καὶ [q] πίφιγξ καὶ ἅρπη 28 καὶ ἰκτῖνος φίλοι, καὶ ἀλώπηξ καὶ ὄφις (ἄμφω γὰρ [r] τρωγλοδύται), καὶ κόττυφος καὶ τρυγών. Πολέμιοι δὲ καὶ ὁ λέων καὶ ὁ θὼς ἀλλήλοις· ὠμοφάγοι γὰρ ὄντες ἀπὸ τῶν αὐτῶν ζῶσιν. Μάχονται δὲ καὶ ἐλέφαντες σφοδρῶς πρὸς ἀλ- 29 λήλους, καὶ τύπτουσι τοῖς ὀδοῦσι σφᾶς αὐτούς· ὁ δὲ ἡττηθεὶς δουλοῦται ἰσχυρῶς, καὶ οὐχ ὑπομένει τὴν τοῦ νικήσαντος φωνήν. Διαφέρουσι δὲ καὶ τῇ ἀνδρίᾳ ἀλλήλων οἱ ἐλέφαντες

[y] αἰετῷ P.D[a].E[a]. [z] κορυδῷ P.D[a].E[a]. [a] υἱῖς A[a].C[a]. [b] τίλλει γὰρ καὶ τύπτει P. [c] κόλαξ P. [d] αἰγύπτιος P.E[a]. [e] πολεμίοις φησὶν A[a]. [f] αἰγύπτιος P.E[a], ὁ αἰγυπιὸς C[a]. [g] καὶ] καὶ ὁ C[a]. [h] κύκνος·] κύκνος καὶ ὁ ἀετός (vel αἰετός) P.A[a].C[a].D[a].E[a]. [i] δ'] δὲ καὶ C[a]. [k] καὶ om. A[a].C[a]. [l] ἐπὶ D[a]. [m] ἐσθίει A[a]. [n] ἄθου P. [o] καὶ post δὲ om. C[a]. [p] utrobique λάεδος C[a], λαιδὸς E[a], λιβυὸς D[a]. [q] πίφηξ P.D[a].E[a]. [r] τρωγλοδυτεῖ fortasse P.

Digitized by Google

30 θαυμαστὸν ὅσον. Χρῶνται δ' οἱ Ἰνδοὶ πολεμιστηρίοις, καθάπερ τοῖς ἄρρεσι, καὶ ταῖς θηλείαις· εἰσὶ μέντοι καὶ ἐλάττονες αἱ θήλειαι καὶ ἀψυχότεραι πολύ. Τοὺς δὲ τοίχους καταβάλλει ὁ ἐλέφας [s]τοὺς ὀδόντας τοὺς μεγάλους προσβάλλων· τοὺς δὲ φοίνικας τῷ μετώπῳ, ἕως ἂν κατακλίνῃ,
31 ἔπειτα τοῖς ποσὶν ἐπιβαίνων κατατείνει ἐπὶ τῆς γῆς. [u]Ἔστι δὲ καὶ ἡ θήρα τῶν ἐλεφάντων τοιάδε· ἀναβάντες ἐπί [t]τινας τῶν [v]τιθασσῶν [w]καὶ ἀνδρείων διώκουσι, καὶ ὅταν καταλάβωσι, τύπτειν προστάττουσι τούτοις, ἕως ἂν [x]ἐκλύσωσιν· τότε δ' ὁ ἐλεφαντιστὴς ἐπιπηδήσας κατευθύνει τῷ δρεπάνῳ. Ταχέως [y]δὲ μετὰ ταῦτα [z]τιθασσεύεταί [a]τε καὶ πειθαρχεῖ.
32 Ἐπιβεβηκότος μὲν [b]οὖν [c]τοῦ ἐλεφαντιστοῦ [d]ἅπαντες πραεῖς εἰσίν, ὅταν δ' ἀποβῇ, οἱ μὲν οἱ δ' οὔ· ἀλλὰ τῶν [e]ἐξαγριουμένων τὰ [f]ἐμπρόσθια σκέλη δεσμεύουσι σειραῖς, ἵν' ἡσυχάζωσιν. [u]Ἔστι δ' ἡ θήρα καὶ μεγάλων ἤδη ὄντων καὶ πώλων. Αἱ μὲν οὖν φιλίαι καὶ οἱ πόλεμοι τοῖς θηρίοις τούτοις διὰ τὰς τροφὰς καὶ τὸν βίον συμβαίνουσιν.

2 Τῶν δ' ἰχθύων οἱ μὲν συναγελάζονται μετ' ἀλλήλων καὶ φίλοι εἰσίν, οἱ δὲ μὴ συναγελαζόμενοι πολέμιοι. [1]Ἀγελάζονται δ' οἱ μὲν κυοῦντες, ἔνιοι δ' ὅταν ἐκτέκωσιν. [u]Ὅλως δ' ἀγελαῖά ἐστι τὰ τοιάδε, θυννίδες, μαινίδες, [g]κωβιοί, [h]βῶκες, [i]σαῦροι, κορακῖνοι, [k]σινόδοντες, τρίγλαι, [l]σφύραιναι, ἀνθίαι, ἐλεγῖνοι, [m]ἀθερῖνοι, [n]σαργῖνοι, βελόναι, [o]τευθοί, ἰουλίδες,
2 [p]πηλαμύδες, σκόμβροι, [q]κολίαι. Τούτων δ' ἔνιά ἐστιν οὐ μόνον ἀγελαῖα ἀλλὰ [q]καὶ σύζυγα· τὰ [r]γὰρ λοιπὰ συνδυάζεται μὲν ἅπαντα, τὰς δ' [s]ἀγέλας ποιοῦνται κατ' ἐνίους καιρούς, ὥσπερ εἴρηται, ὅταν κύωσιν, ἔνια δὲ καὶ ὅταν τέκωσιν.

[s] τοὺς μεγάλους ὀδόντας D^a. [t] τινὰ $A^a.E^a$. [v] τιθασῶν E^a. [w] καὶ τῶν ἀνδρ. A^a. [x] ἐκλύσσωσι A^a. [y] δὲ] δὲ καὶ A^a. [z] τιθασσεύεται P. [a] τε om. A^a. [b] οὖν om. $A^a.C^a$. [c] τοῦ om. $P.C^a.E^a$. [d] πραεῖς εἰσὶν ἅπαντες D^a. [e] ἐξαγριαινομένων A^a. [f] πρόσθια C^a. [g] κύβοι E^a, om. $P.C^a.D^a$. [h] βάκες P. [i] σαυροὶ D^a. [k] συνόδοντες $P.A^a.C^a.D^a.E^a$. [l] φύραιναι $A^a.C^a$. [m] ἀνθερῖνοι P. [n] βελόναι σαργῖνοι C^a, σαργῖνοι μηλόναι P. [o] τεῦθοι A^a. [p] κοιλίαι A^a. [q] καὶ om. E^a. [r] λοιπὰ γὰρ D^a. [s] ἀγελαίας C^a.

Digitized by Google

Λάβραξ δὲ καὶ κεστρεὺς πολεμιώτατοι ὄντες κατ' ἐνίους καιρο- 3
ὺς συναγελάζονται ἀλλήλοις· συναγελάζονται γὰρ πολλάκις οὐ μόνον τὰ ὁμόγονα, ἀλλὰ καὶ οἷς ἡ αὐτὴ καὶ [t] ἡ παραπλήσιός ἐστι νομή, ἂν ᾖ ἄφθονος. Ζῶσι δὲ πολλάκις 4
ἀφῃρημένοι οἱ κεστρεῖς τὴν κέρκον καὶ οἱ γόγγροι μέχρι τῆς ἐξόδου τῆς περιττώσεως· [v] ἀπεσθίεται δ' ὁ μὲν κεστρεὺς ὑπὸ λάβρακος, ὁ δὲ γόγγρος ὑπὸ [w] μυραίνης. [x] Ὁ δὲ πόλεμός ἐστι τοῖς κρείττοσι πρὸς τοὺς ἥττους· κατεσθίει γὰρ ὁ κρείττων. Καὶ περὶ μὲν τῶν θαλαττίων ταῦτα.

Τὰ δ' ἤθη τῶν ζῴων, ὥσπερ εἴρηται πρότερον, διαφέρει 3
κατά τε δειλίαν καὶ πραότητα καὶ ἀνδρίαν καὶ ἡμερότητα καὶ νοῦν τε καὶ [x] ἄνοιαν. Τό τε γὰρ τῶν προβάτων ἦθος, ὥσ- 2
περ λέγεται, εὔηθες καὶ ἀνόητον· πάντων γὰρ τῶν τετραπόδων κάκιστόν ἐστι, καὶ [y] ἕρπει εἰς τὰς ἐρημίας πρὸς οὐδέν, καὶ πολλάκις χειμῶνος ὄντος ἐξέρχεται ἔνδοθεν, καὶ ὅταν [z] ὑπὸ νιφετοῦ ληφθῶσιν, ἂν μὴ κινήσῃ ὁ ποιμήν, οὐκ ἐθέλουσιν ἀπιέναι, ἀλλ' ἀπόλλυνται καταλειπόμενα, [a] ἐὰν μὴ ἄρρενας κομίσωσιν οἱ ποιμένες· τότε δ' ἀκολουθοῦσιν. Τῶν δ' 3
αἰγῶν ὅταν τις μιᾶς λάβῃ [b] τὸ ἄκρον τοῦ ἠρύγγου (ἔστι δ' οἷον [c] θρίξ), αἱ ἄλλαι ἑστᾶσιν ὥσπερ [d] μεμωρωμέναι βλέπουσαι εἰς ἐκείνην. [e] Ἐγκαθεύδειν δὲ ψυχρότεραι [f] ὄϊες αἰγῶν· [f] αἱ γὰρ αἶγες μᾶλλον [g] ἡσυχάζουσι καὶ προσέρχονται πρὸς τοὺς ἀνθρώπους· εἰσὶ δ' αἱ αἶγες [h] δυσριγότεραι τῶν [i] οἰῶν. Διδάσκουσι δ' οἱ ποιμένες τὰ πρόβατα συνθεῖν ὅταν ψο- 4
φήσῃ· ἐὰν γὰρ [k] βροντήσαντος [l] ὑπολειφθῇ τις καὶ μὴ συνδράμῃ, ἐκτιτρώσκει, ἐὰν τύχῃ [m] κύουσα· διὸ ἐὰν [n] ψοφῇ, ἐν τῇ οἰκίᾳ συνθέουσι διὰ τὸ ἔθος. [t] Ἀπόλλυνται δὲ καὶ οἱ

[t] ἡ ante π. om. A[a]. [v] κατεσθίεται A[a].C[a]. [w] σμυραίνης E[a]. [x] ἄνοιαν Sylburgius: codices ἄγνοιαν. [y] ἔρρει P.E[a]. [z] ὑπὸ τοῦ ν. P.D[a].E[a]. [a] ἂν C[a]. [b] τὸ ἄκρον τοῦ ἠρύγγου Sylburgius: τοῦ ὀρύγγου τὸ ἄκρον A[a], τὸ ἄκρον τοῦ κρύγγου P.C[a].D[a].E[a]. [c] θρίξ om. pr. A[a], super versum habet C[a]. [d] μεμωραμέναι D[a]. [e] ὗες P.E[a]. [f] al om. A[a].C[a]. [g] μηρυκάζουσι D[a]. [h] δυσριγώτεραι A[a].C[a]. [i] ὑῶν P.E[a]. [k] βροντήσας A[a].C[a]. [l] ὑποληφθῇ P.A[a].C[a].D[a]. [m] κυοῦσα P.E[a]. [n] ψοφήσῃ D[a].

Digitized by Google

ταῦροι, ὅταν ἀτιμαγελήσαντες ἀποπλανηθῶσιν, ὑπὸ θηρίων. Κατάκεινται δ' αἱ ὄϊες καὶ [o] αἱ αἶγες ἀθρόαι κατὰ συγγένειαν· ὅταν δ' ὁ ἥλιος τραπῇ θᾶττον, φασὶν οἱ ποιμένες οὐκέτι ἀντιβλεπούσας κατακεῖσθαι τὰς αἶγας, ἀλλ' ἀπεστραμμένας ἀπ' ἀλλήλων. Αἱ δὲ βόες καὶ νέμονται καθ' [p] ἑταιρείας καὶ συνηθείας, κἂν μία ἀποπλανηθῇ, ἀκολουθοῦσιν αἱ ἄλλαι· διὸ καὶ οἱ βουκόλοι, ἐὰν [q] μίαν [r] μὴ εὕρωσιν, εὐθὺς πάσας ἐπιζητοῦσιν. Τῶν δ' ἵππων αἱ σύννομοι, ὅταν ἡ ἑτέρα [s] ἀπόληται, ἐκτρέφουσι τὰ [t] πωλία ἀλλήλων. Καὶ ὅλως γε δοκεῖ τὸ τῶν ἵππων γένος εἶναι φύσει φιλόστοργον. Σημεῖον δέ· πολλάκις γὰρ αἱ [v] στέριφαι ἀφαιρούμεναι τὰς μητέρας τὰ πωλία αὐταὶ στέργουσι, διὰ δὲ τὸ μὴ ἔχειν γάλα διαφθείρουσιν.

5 Τῶν δ' ἀγρίων καὶ τετραπόδων ἡ ἔλαφος οὐχ ἥκιστα δοκεῖ εἶναι [w] φρόνιμον, τῷ τε τίκτειν παρὰ τὰς ὁδούς (τὰ γὰρ θηρία διὰ τοὺς ἀνθρώπους οὐ προσέρχεται), καὶ ὅταν τέκῃ, ἐσθίει τὸ [x] χόριον πρῶτον. Καὶ ἐπὶ τὴν σέσελιν δὲ τρέχουσι, καὶ φαγοῦσαι οὕτως ἔρχονται πρὸς τὰ τέκνα 2 πάλιν. [y] Ἔτι δὲ τὰ τέκνα ἄγει [z] ἐπὶ τοὺς σταθμούς, ἐθίζουσα [a] οὗ δεῖ ποιεῖσθαι τὰς ἀποφυγάς· ἔστι δὲ τοῦτο πέτρα ἀπορρώξ, μίαν ἔχουσα εἴσοδον, οὗ δὴ καὶ ἀμύνεσθαι ἤδη φασὶν ὑπομένουσαν. [u] Ἔτι δὲ ὁ ἄρρην ὅταν γένηται παχύς (γίνεται δὲ σφόδρα πίων [b] ὀπώρας οὔσης), οὐδαμοῦ ποιεῖ [c] αὑτὸν φανερὸν ἀλλ' ἐκτοπίζει ὡς διὰ τὴν παχύτητα εὐά- 3 λωτος ὤν. [t] Ἀποβάλλουσι δὲ καὶ τὰ κέρατα ἐν τόποις χαλεποῖς καὶ δυσεξευρέτοις· ὅθεν [d] καὶ ἡ παροιμία γέγονεν "οὗ αἱ ἔλαφοι τὰ κέρατα ἀποβάλλουσιν·" ὥσπερ γὰρ τὰ ὅπλα ἀποβεβληκυῖαι φυλάττονται ὁρᾶσθαι. Λέγεται δ' ὡς τὸ [e] ἀριστερὸν κέρας οὐδείς πω ἑώρακεν· [f] ἀπο-

[o] αἱ om. P.C[a].E[a]. [p] ἑταιρίας P.E[a]. [q] μίαν om. A[a].C[a]. [r] μὴ om. P. [s] ἀπολεῖται P, ἀπόλλυται A[a]. [t] πωλί' ἀπ' ἀλλήλων D[a]. [v] στεριφαὶ P.E[a], στερίφαι D[a]. [w] φρόνιμος P. [x] χωρίον D[a]. [y] ἔτι] ὅτε C[a], ὅτι A[a]. [z] παρὰ A[a]. [a] οὗ] ποῦ D[a]. [b] ὀπώρας οὔσης om. P.A[a].C[a].E[a]. [c] ἑαυτὸν A[a]. [d] καὶ ante ἡ om. A[a]. [e] ἄριστον A[a]. [f] ἀποκρύπτει P.E[a].

Digitized by Google

κρύπτειν γὰρ αὐτὸ ὡς ἔχον τινὰ φαρμακείαν. Οἱ μὲν οὖν 4
ἐνιαύσιοι οὐ φύουσι κέρατα, πλὴν ὥσπερ σημείου χάριν ἀρ-
χήν τινα· τοῦτο δ' ἐστὶ βραχὺ καὶ δασύ. Φύουσι δὲ διετεῖς
πρῶτον τὰ κέρατα εὐθέα, καθάπερ παττάλους· διὸ καὶ κα-
λοῦσι τότε [g] πατταλίας αὐτούς. Τῷ δὲ τρίτῳ ἔτει δίκρουν
φύουσι, τῷ δὲ τετάρτῳ τραχύτερον· καὶ τοῦτον τὸν τρόπον
ἀεὶ ἐπιδιδόασι μέχρι ἓξ ἐτῶν. [h] Ἀπὸ τούτου δὲ ὅμοια ἀεὶ 5
ἀναφύουσιν, ὥστε μηκέτι ἂν γνῶναι τὴν ἡλικίαν τοῖς κέρα-
σιν, ἀλλὰ τοὺς γέροντας [h] γνωρίζουσι μάλιστα δυοῖν ση-
μείοιν· ὀδόντας τε γὰρ οἱ [i] μὲν οὐκ ἔχουσιν οἱ δ' ὀλίγους,
καὶ τοὺς ἀμυντῆρας οὐκέτι φύουσιν. Καλοῦνται δ' ἀμυν- 6
τῆρες τὰ προνενευκότα τῶν φυομένων κεράτων εἰς τὸ πρό-
σθεν, οἷς ἀμύνεται· ταῦτα δ' οἱ γέροντες οὐκ ἔχουσιν, ἀλλ'
εἰς [k] τὸ ὀρθὸν γίνεται ἡ αὔξησις [l] αὐτοῖς τῶν κεράτων.
[m] Ἀποβάλλουσι δ' ἀνὰ ἕκαστον ἐνιαυτὸν τὰ κέρατα, [n] ἀπο-
βάλλουσι δὲ περὶ τὸν Θαργηλιῶνα μῆνα. [v] Ὅταν δ' ἀπο- 7
βάλωσι, κρύπτουσιν [o] αὐτοὺς τὴν ἡμέραν, ὥσπερ εἴρηται·
κρύπτουσι δ' ἐν τοῖς [p] δασέσιν, εὐλαβούμενοι τὰς [q] μυίας.
Νέμονται δὲ τὸν χρόνον τοῦτον νύκτωρ, μέχριπερ ἂν ἐκφύ-
σωσι τὰ κέρατα. Φύεται δ' ὥσπερ ἐν δέρματι τὸ πρῶτον,
καὶ γίνονται δασέα· ὅταν δ' αὐξηθῶσιν, ἡλιάζονται, ἵν'
[r] ἐκπέψωσι καὶ ξηράνωσι τὸ κέρας. [v] Ὅταν δὲ μηκέτι πο- 8
νῶσι πρὸς τὰ δένδρα κνώμενοι αὐτά, τότ' ἐκλείπουσι τοὺς
τόπους [s] τούτους διὰ τὸ θαρρεῖν ὡς ἔχοντες ᾧ [t] ἀμυνοῦνται.
[v] Ἤδη δ' εἴληπται [w] ἀχαΐνης ἔλαφος ἐπὶ τῶν κεράτων ἔχων
κιττὸν πολὺν πεφυκότα χλωρόν, ὡς ἀπαλῶν ὄντων τῶν
[x] κεράτων ἐμφύντα ὥσπερ ἐν ξύλῳ χλωρῷ. [v] Ὅταν δὲ δη- 9
χθῶσιν αἱ ἔλαφοι [y] ὑπὸ φαλαγγίου ἤ τινος τοιούτου, τοὺς

[g] ἀτταλίας Da.Ea. [h] γνωρίζουσα Aa. [i] μὲν δλως οὐκ P.Da. [k] τὸ om. Da. [l] αὐτοῖς om. P.Ea. [m] ἀνὰ] ἕνα Aa.Ca. [n] ἀποβάλλωσι P.Aa.Ca.Da. [o] ἑαυτούς Aa. [p] δάσεσιν P.Ea. [q] μύας Aa. [r] ἐκπέμ-ψωσι P.Aa.Ca.Da. [s] τούτους om. Ca. [t] ἀμυνοῦνται Sylburgius: codices ἀμύνονται. [v] εἶδη Aa. [w] ἀχαΐνης γρ. Aa, ἀχαίνης P.Ea, ἀχα-νὴς Aa, ἀχάννης Ca, ἀχαίτης Da. [x] κεράτων] ἐλάφων pr. Aa. [y] ἀπὸ P.Ca.Ea, ἀπὸ τοῦ Aa.

Digitized by Google

καρκίνους συλλέγουσαι ἐσθίουσιν· δοκεῖ δὲ καὶ ἀνθρώπῳ ἀγαθὸν εἶναι [z]τοῦτο πίνειν, ἀλλ' ἔστιν ἀηδές. Αἱ δὲ θήλειαι τῶν ἐλάφων ὅταν τέκωσιν, εὐθὺς κατεσθίουσι τὸ χόριον, καὶ οὐκ ἔστι [a]λαβεῖν· πρὸ γὰρ τοῦ χαμαὶ βαλεῖν [b]αὐταὶ ἅπτονται· δοκεῖ δὲ τοῦτ' εἶναι φάρμακον. [c]Ἁλίσκονται δὲ θηρευόμεναι αἱ ἔλαφοι συριττόντων καὶ ᾀδόντων, [c]καὶ [d]κατακλίνονται ὑπὸ τῆς ἡδονῆς. Δύο δ' ὄντων ὁ μὲν φανερῶς ᾄδει ἢ συρίττει, ὁ δ' ἐκ τοῦ ὄπισθεν βάλλει, ὅταν οὗτος [e]σημήνῃ τὸν καιρόν. [f]Ἐὰν μὲν οὖν τύχῃ ὀρθὰ τὰ [f]ὦτα ἔχουσα, ὀξὺ ἀκούει καὶ οὐκ ἔστι λαθεῖν· ἐὰν δὲ καταβεβληκυῖα τύχῃ, λανθάνει.

6 Αἱ δ' ἄρκτοι ὅταν [g]φεύγωσι, τὰ σκυμνία προωθοῦσι καὶ ἀναλαβοῦσαι φέρουσιν· ὅταν [h]δ' ἐπικαταλαμβάνωνται, ἐπὶ τὰ δένδρα ἀναπηδῶσιν. Καὶ ὅταν ἐκ τοῦ φωλεοῦ [i]ἐξέλθωσι, πρῶτον τὸ [k]ἄρον ἐσθίουσιν, ὥσπερ εἴρηται πρότερον, 2 καὶ τὰ ξύλα [l]διαμασῶνται ὥσπερ ὀδοντοφυοῦσαι. Πολλὰ δὲ καὶ τῶν ἄλλων ζῴων τῶν τετραπόδων ποιεῖ πρὸς βοήθειαν [m]αὐτοῖς φρονίμως, ἐπεὶ καὶ [n]ἐν Κρήτῃ φασὶ τὰς αἴγας τὰς ἀγρίας, ὅταν τοξευθῶσι, ζητεῖν τὸ δίκταμνον· δοκεῖ [o]δὲ τοῦτο ἐκβλητικὸν εἶναι τῶν τοξευμάτων ἐν τῷ 3 σώματι. Καὶ αἱ κύνες δ' ὅταν τι [p]πονῶσιν, ἔμετον [q]ποιοῦνται φαγοῦσαί τινα [r]πόαν. [s]Ἡ δὲ πάρδαλις ὅταν φάγῃ τὸ φάρμακον τὸ παρδαλιαγχές, ζητεῖ τὴν τοῦ ἀνθρώπου κόπρον· βοηθεῖ γὰρ αὐτῇ. Διαφθείρει δὲ τοῦτο τὸ φάρμα- 4 κον καὶ λέοντας. Διὸ καὶ οἱ κυνηγοὶ [s]κρεμαννύουσιν ἐν ἀγγείῳ ἔκ τινος δένδρου τὴν κόπρον, ὅπως μὴ ἀποχωρῇ μακρὰν τὸ θηρίον· αὐτοῦ γὰρ [t]προσαλλομένη ἡ πάρδαλις καὶ ἐλπίζουσα λήψεσθαι τελευτᾷ. Λέγουσι δὲ [v]καὶ κατανε-

[z] τοῦτο ante καὶ D^a, post πίνειν A^a. [a] βάλλειν $A^a.C^a$. [b] αὗται $A^a.C^a.D^a$. [c] καὶ κ.] ὥστε καὶ κ. D^a. [d] κατακηλοῦνται γρ. A^a. [e] σημαίνῃ A^a. [f] ὠὰ A^a. [g] τύχωσι $P.A^a.C^a.E^a$, τέκωσι γρ. A^a. [h] δὲ ἢ καταλαμβάνωνται C^a. [i] ἐξάχθωσιν A^a. [k] ἄρρον P, ἄρρεν $D^a.E^a$. [l] διαμασσῶνται $A^a.C^a$. [m] ἑαυτοῖς A^a. [n] ἐν] ἐν τῇ $A^a.C^a$. [o] δὲ] γὰρ D^a. [p] πίνωσιν ἐμετὸν A^a. [q] ποιοῦσι D^a. [r] ποίαν A^a. [s] κρεμμανύουσιν A^a. [t] προσαλλομένου A^a. [v] καὶ om. C^a.

Digitized by Google

νοηκυῖαν τὴν πάρδαλιν ὅτι τῇ ὀσμῇ αὐτῆς χαίρουσι τὰ θηρία, ἀποκρύπτουσαν ἑαυτὴν θηρεύειν· προσιέναι γὰρ ἐγγύς, καὶ λαμβάνειν οὕτω [w] καὶ τὰς ἐλάφους. Ὁ δ' ἰχνεύμων ὁ 5 ἐν Αἰγύπτῳ ὅταν [x] ἴδῃ τὸν ὄφιν τὴν ἀσπίδα καλουμένην, οὐ πρότερον ἐπιτίθεται πρὶν [y] συγκαλέσῃ βοηθοὺς ἄλλους· πρὸς δὲ τὰς πληγὰς καὶ τὰ δήγματα πηλῷ καταπλάττουσιν ἑαυτούς· [z] βρέξαντες γὰρ ἐν τῷ ὕδατι πρῶτον, οὕτω καλινδοῦνται ἐν τῇ γῇ. Τῶν δὲ κροκοδείλων χασκόντων οἱ 6 τροχίλοι καθαίρουσιν εἰσπετόμενοι τοὺς ὀδόντας, καὶ αὐτοὶ μὲν τροφὴν λαμβάνουσιν, ὁ δ' ὠφελούμενος αἰσθάνεται καὶ οὐ βλάπτει, ἀλλ' ὅταν ἐξελθεῖν βούληται, κινεῖ τὸν αὐχένα, ἵνα [a] μὴ συνδάκῃ. Ἡ δὲ χελώνη ὅταν [b] ἔχεως φάγῃ, ἐπε- σθίει [c] τὴν ὁρίγανον· καὶ τοῦτο ὦπται. Καὶ ἤδη κατιδών 7 τις τοῦτο πολλάκις ποιοῦσαν αὐτὴν καὶ [d] ὅτε σπάσαι τῆς ὀριγάνου πάλιν ἐπὶ [e] τὸν ἔχιν πορευομένην, [f] ἐξέτιλε τὴν ὁρίγανον· τούτου δὲ συμβάντος ἀπέθανεν ἡ χελώνη. Ἡ δὲ γαλῆ ὅταν ὄφει μάχηται, ἐπεσθίει τὸ πήγανον· πολεμία γὰρ ἡ ὀσμὴ τοῖς ὄφεσιν. Ὁ δὲ δράκων ὅταν ὀπωρίζῃ, τὸν 8 ὀπὸν τῆς πικρίδος ἐκροφεῖ, καὶ τοῦθ' ἑώραται ποιῶν. Αἱ δὲ κύνες ὅταν [g] ἑλμινθιῶσιν, ἐσθίουσι τοῦ σίτου τὸ λήϊον. [h] Οἱ δὲ πελαργοὶ καὶ οἱ ἄλλοι τῶν ὀρνίθων, ὅταν ἑλκωθῇ [i] τι μαχομένοις, ἐπιτιθέασι τὴν ὁρίγανον. Πολλοὶ δὲ καὶ τὴν [k] ἀκρίδα ἑωράκασιν ὅτι, [l] ὅταν μάχηται τοῖς ὄφεσι, λαμβά- νεται τοῦ τραχήλου τῶν ὄφεων. Φρονίμως δὲ δοκεῖ καὶ ἡ 9 γαλῆ [m] χειροῦσθαι τοὺς ὄρνιθας· σφάζει γὰρ ὥσπερ οἱ λύκοι τὰ πρόβατα. Μάχεται δὲ καὶ τοῖς ὄφεσι μάλιστα τοῖς [n] μυοθήραις διὰ τὸ καὶ αὐτὴν τοῦτο τὸ ζῷον θηρεύειν. Περὶ δὲ [o] τῆς τῶν ἐχίνων αἰσθήσεως συμβέβηκε πολλαχοῦ 10 τεθεωρῆσθαι ὅτι μεταβαλλόντων βορέων καὶ νότων οἱ μὲν

[w] καὶ post οὕτω om. A^a. [x] ἴδῃ om. P. [y] συγκαλέσει A^a. [z] βρέ- ξαντας A^a. [a] μὴ om. A^a: C^a. an habeat, incertum. [b] ἔχιος A^a. [c] τὴν] τὸ P.A^a.C^a.E^a. [d] ὅταν ἔσπασε A^a, ὅτε ἔσπασε C^a, ὅταν ἐγκάψῃ D^a, ὅταν ἔκαψεν P.E^a. [e] τὴν D^a. [f] ἐξέτιλλε P.D^a.E^a. [g] ἐκμιν- θιῶσιν E^a. [h] καὶ οἱ πελαργοὶ δὲ καὶ D^a. [i] τις A^a. [k] ἀσπίδα D^a. [l] ὅταν om. pr. A^a. [m] θηροῦσθαι C^a. [n] μυθήραις E^a. [o] τῆς om. E^a.

Digitized by Google

ἐν τῇ γῇ τὰς ὀπὰς αὐτῶν [p] μεταμείβουσιν, οἱ δ' ἐν ταῖς οἰκίαις τρεφόμενοι μεταβάλλουσι πρὸς τοὺς τοίχους, ὥστ' ἐν Βυζαντίῳ γέ τινά φασι προλέγοντα λαβεῖν δόξαν ἐκ τοῦ
11 κατανενοηκέναι ποιοῦντα ταῦτα τὸν ἐχῖνον. Ἡ δ' [q] ἴκτις ἔστι μὲν τὸ μέγεθος ἠλίκον [r] Μελιταῖον κυνίδιον τῶν μικρῶν, τὴν δὲ δασύτητα καὶ τὴν ὄψιν καὶ τὸ λευκὸν τὸ ὑποκάτω καὶ τοῦ ἤθους τὴν κακουργίαν ὅμοιον γαλῇ, καὶ [s] τιθασσὸν δὲ γίνεται σφόδρα, τὰ δὲ σμήνη κακουργεῖ· τῷ γὰρ μέλιτι χαίρει. Ἔστι δὲ καὶ [t] ὀρνιθοφάγον ὥσπερ αἱ αἴλουροι. Τὸ δ' αἰδοῖον αὐτῆς ἔστι μέν, ὥσπερ εἴρηται, ὀστοῦν, δοκεῖ δ' εἶναι φάρμακον στραγγουρίας τὸ τοῦ ἄρρενος· διδόασι δ' [v] ἐπιξύοντες.

7 Ὅλως δὲ περὶ τοὺς βίους πολλὰ ἂν θεωρηθείη μιμήματα τῶν ἄλλων ζῴων τῆς ἀνθρωπίνης ζωῆς, καὶ μᾶλλον ἐπὶ τῶν ἐλαττόνων [w] ἢ μειζόνων ἴδοι τις ἂν τὴν τῆς διανοίας ἀκρίβειαν, οἷον πρῶτον ἐπὶ τῶν ὀρνίθων ἡ τῆς χελιδόνος σκηνοπηγία· τῇ γὰρ περὶ τὸν πηλὸν ἀχυρώσει τὴν αὐτὴν ἔχει
2 τάξιν. Συγκαταπλέκει γὰρ τοῖς κάρφεσι [x] πηλόν· κἂν ἀπορῆται πηλοῦ, βρέχουσα αὐτὴν καλινδεῖται τοῖς πτεροῖς πρὸς τὴν κόνιν. Ἔτι δὲ [y] στιβαδοποιεῖται καθάπερ οἱ ἄνθρωποι, τὰ σκληρὰ πρῶτα ὑποτιθεῖσα καὶ τῷ μεγέθει σύμ-
3 μετρον ποιοῦσα [z] πρὸς [a] αὐτήν. Περί τε τὴν τροφὴν τῶν τέκνων [b] ἐκπονεῖται ἀμφότερα· δίδωσι δ' ἑκατέρῳ διατηροῦσά τινι συνηθείᾳ τὸ προειληφός, ὅπως [c] μὴ δὶς λάβῃ. Καὶ τὴν κόπρον τὸ [d] μὲν πρῶτον [e] αὐταὶ ἐκβάλλουσιν, ὅταν δ' αὐξηθῶσι, μεταστρέφοντας ἔξω διδάσκουσι τοὺς νεοττοὺς [f] προΐε-
4 σθαι. Περί τε τὰς περιστερὰς ἔστιν ἕτερα τοιαύτην ἔχοντα τὴν θεωρίαν· οὔτε γὰρ [g] συνδυάζεσθαι θέλουσι [h] πλείοσιν,

p μετακινοῦσιν P.D^{a}.E^{a}. q ἔκτις P. r μελιτταῖον P.C^{a}.D^{a}.E^{a}. s τιθασὸν P.D^{a}.E^{a}. t ὀρνιθοφόρον pr. A^{a}, ὀρνιθοφθόρον corr. v περιξύοντες D^{a}. w ἢ ἐπὶ τῶν μειζόνων D^{a}. x πηλόν] τὸν πηλόν D^{a}. y στιβάδη ποιεῖται P. z πρὸς] περὶ P.E^{a}. a ἑαυτήν C^{a}. b ἐκποιεῖται C^{a}. c μὴ δὶς] μηδεὶς P.E^{a}. et pr. A^{a}. d μὲν om. P.A^{a}.C^{a}.E^{a}. e αὗται A^{a}. f προΐεναι A^{a}.C^{a}. g συναύξεσθαι P.E^{a}, συναυξάνεσθαι A^{a}.C^{a}. h πλειάσιν C^{a}. et pr. A^{a}, πελειάσιν corr. A^{a}.

Digitized by Google

οὔτε [i] προαπολείπουσι τὴν κοινωνίαν, πλὴν ἐὰν χῆρος ἢ χήρα γένηται. [j] Ἔτι [k] δὲ περὶ τὴν ὠδῖνα [l] δεινὴ ἡ τοῦ ἄρρενος θεραπεία καὶ συναγανάκτησις· ἐάν [m] τ' ἀπομαλακίζηται πρὸς τὴν εἴσοδον τῆς [n] νεοττιᾶς διὰ τὴν [o] λοχείαν, τύπτει καὶ ἀναγκάζει εἰσιέναι. Γενομένων δὲ τῶν [p] νεοττῶν τῆς 5
ἁλμυριζούσης μάλιστα γῆς [q] διαμασησάμενος [r] εἰσπτύει τοῖς νεοττοῖς [s] διοιγνὺς τὸ στόμα, [t] προπαρασκευάζων [v] πρὸς τὴν [w] τροφήν. [v] Ὅταν δ' ἐκ τῆς [x] νεοττιᾶς ἐξάγειν μέλλῃ, πάντας ὁ ἄρρην ὀχεύει. [t] Ὡς μὲν οὖν [y] ἐπὶ τὸ πολὺ τοῦτον τὸν τρόπον στέργουσιν ἀλλήλας, παροχεύονται δέ ποτε καὶ τῶν τοὺς ἄρρενας ἐχουσῶν τινές. [v] Ἔστι δὲ μάχιμον τὸ ζῷον, 6
καὶ ἐνοχλοῦσιν [z] ἀλλήλαις, καὶ εἰς τὰς [a] νεοττιὰς [b] παραδύονται τὰς ἀλλήλων, ὀλιγάκις μέντοι· καὶ γὰρ ἂν [c] ἄποθεν ἧττον ᾖ, ἀλλὰ παρά γε τὴν [d] νεοττιὰν διαμάχονται ἐσχάτως. [v] Ἴδιον δὲ [e] ταῖς περιστεραῖς δοκεῖ συμβεβηκέναι καὶ ταῖς [f] φαψὶ καὶ [g] τρυγόσι τὸ μὴ ἀνακύπτειν [h] πινούσας, ἐὰν μὴ ἱκανὸν [i] πίωσιν. [v] Ἔχει δὲ τὸν ἄρρενα ἡ τρυγὼν τὸν 7
αὐτὸν καὶ φάττα, καὶ ἄλλον οὐ [k] προσίενται· καὶ ἐπῳάζουσιν ἀμφότεροι καὶ ὁ ἄρρην καὶ ἡ θήλεια. Διαγνῶναι δ' οὐ ῥᾴδιον [l] τὴν θήλειαν καὶ τὸν ἄρρενα, ἀλλ' ἢ τοῖς ἐντός. Ζῶσι δ' [m] αἱ φάτται πολὺν χρόνον· καὶ γὰρ εἴκοσιν [n] ἔτη καὶ πέντε καὶ [o] τριάκοντα ὠμμέναι εἰσίν, ἔνιαι δὲ καὶ τετταράκοντα [p] ἔτη. Πρεσβυτέρων δὲ [q] γινομένων αὐτῶν οἱ ὄνυ- 8
χες αὐξάνονται· ἀλλ' [r] ἀποτέμνουσιν οἱ τρέφοντες. [v] Ἄλλο

[i] ἀπολείπουσι D[a]. [j] ἔστι D[a]. [k] δὲ om. A[a]. [l] δεινὴ om. P.A[a]. C[a].E[a]. [m] τ' ἀπομαλακίζηται] τόπῳ μαλακίζηται A[a].C[a], τὸ πόμα λακτίζηται P.E[a]. [n] νεοττείας P.A[a].C[a].E[a]. [o] ὀχείαν D[a]. [p] νεοττῶν φροντίζει τῆς ἁρμοττούσης τροφῆς ἧς δ. D[a]. [q] διαμασησάμενος A[a]. [r] εἰσπέμπει P.A[a].C[a].E[a]. [s] διοιγεὶς A[a]. [t] προσπαρασκευάζων A[a].C[a]. [v] εἰς D[a]. [w] στροφήν E[a]. [x] νεοττείας P.A[a].C[a].D[a].E[a]. [y] ἐπὶ] ὡς ἐπὶ P. [z] ἀλλήλας P.D[a].E[a]. [a] νεοττείας P.A[a].D[a]. [b] παραλύονται A[a].C[a]. [c] ἧττον ἄποθεν D[a]. [d] νεοττείαν P.D[a], νεοτείαν A[a]. [e] δοκεῖ ταῖς περιστεραῖς D[a]. [f] φαψί τε καὶ P.C[a].E[a]. [g] τρυσὶ P.A[a].E[a]. [h] πίνοντας P.A[a].C[a].E[a], πίνοντα D[a]. [i] πίνωσιν P.A[a].C[a].E[a]. [k] προσίεται D[a]. [l] τὸν ἄρρενα καὶ τὴν θήλειαν D[a]. [m] αἱ om. A[a].C[a]. [n] καὶ πέντε ἔτη D[a]. [o] τρ. ἔτη ὠμμ. C[a].D[a].E[a]. [p] ἔτη om. D[a]. [q] γενομένων P.D[a].E[a]. [r] ἀποτείνουσιν P.A[a].C[a].E[a].

Digitized by Google

δ' οὐδὲν βλάπτονται ἐπιδήλως γηράσκουσαι. Καὶ αἱ τρυγόνες δὲ καὶ [s] αἱ περιστεραὶ ζῶσι καὶ ὀκτὼ ἔτη [s] αἱ τετυφλωμέναι ὑπὸ τῶν παλευτρίας [t] τρεφόντων αὐτάς. Ζῶσι
9 δὲ [v] καὶ οἱ πέρδικες περὶ πεντεκαίδεκ' ἔτη. Νεοττεύουσι δὲ καὶ αἱ [w] φάβες καὶ αἱ τρυγόνες ἐν τοῖς αὐτοῖς τόποις ἀεί. Πολυχρονιώτερα δ' ὅλως μέν ἐστι τὰ ἄρρενα τῶν [x] θηλέων, ἐπὶ δὲ τούτων τελευτᾶν φασί τινες [y] πρότερον τὰ ἄρρενα τῶν [z] θηλέων, τεκμαιρόμενοι ἐκ τῶν κατ' οἰκίαν τρεφομένων
10 παλευτριῶν. Λέγουσι δέ τινες καὶ [a] τῶν στρουθίων ἐνιαυτὸν μόνον ζῆν τοὺς ἄρρενας, ποιούμενοι σημεῖον ὅτι τοῦ ἔαρος οὐ φαίνονται ἔχοντες εὐθὺς τὰ περὶ τὸν πώγωνα μέλανα, ὕστερον δ' ἰσχουσιν, ὡς οὐδενὸς σωζομένου τῶν προτέρων· τὰς δὲ θηλείας μακροβιωτέρας εἶναι τῶν στρουθίων· ταύτας γὰρ ἁλίσκεσθαι ἐν τοῖς νέοις, καὶ διαδήλας εἶναι τῷ
11 ἔχειν τὰ [b] περὶ τὰ χείλη σκληρά. Διάγουσι δ' αἱ μὲν τρυγόνες τοῦ θέρους [c] ἐν τοῖς χειμερίοις, [d] τοῦ δὲ χειμῶνος ἐν τοῖς ἀλεεινοῖς, αἱ δὲ [e] σπίζαι τοῦ μὲν θέρους ἐν τοῖς ἀλεεινοῖς, τοῦ δὲ χειμῶνος ἐν τοῖς ψυχροῖς.

8 Οἱ δὲ βαρεῖς τῶν ὀρνίθων οὐ ποιοῦνται [f] νεοττιάς (οὐ συμφέρει γὰρ μὴ πτητικοῖς οὖσιν), οἷον ὄρτυγες καὶ πέρδικες καὶ τἆλλα τὰ τοιαῦτα τῶν [g] ὀρνέων· ἀλλ' ὅταν ποιήσωνται ἐν τῷ [h] λείῳ κονίστραν (ἐν ἄλλῳ γὰρ τόπῳ οὐθενὶ τίκτει), [i] ἐπηλυγασάμενοι ἄκανθάν τινα καὶ [k] ὕλην τῆς περὶ τοὺς ἱέρακας ἕνεκα καὶ τοὺς ἀετοὺς [l] ἀλεώρας, ἐνταῦθα τίκτουσι
2 καὶ ἐπῳάζουσιν. Ἔπειτα ἐκλέψαντες εὐθὺς ἐξάγουσι τοὺς νεοττοὺς διὰ τὸ μὴ δύνασθαι τῇ πτήσει πορίζειν αὐτοῖς τροφήν. Ἀναπαύονται δ' ὑφ' ἑαυτοὺς ἀγόμενοι τοὺς νεοττοὺς καὶ οἱ ὄρτυγες καὶ οἱ πέρδικες, ὥσπερ αἱ ἀλεκτορίδες. Καὶ

[s] *αἱ* secundum et tertium om. D[a]. [t] *τρεφομένων* A[a]. [v] *καὶ* ante *οἱ* om. P.A[a].C[a].E[a]. [w] *φλάβες* C[a]. [x] *θηλείων* P.D[a]. [y] *τὸν ἄρρενα πρότερον* A[a]. [z] *θηλειῶν* A[a].C[a].D[a]. [a] *τὸν στρουθίον* A[a]. [b] *παρὰ* A[a]. [c] *ἐν* om. A[a].C[a]. [d] *τοῦ δὲ—ἀλεεινοῖς* om. P.A[a].C[a].D[a].E[a]. [e] *πίζαι* C[a]. [f] *νεοττείας* P.C[a].D[a].E[a], *τὰς νεοττείας* A[a]. [g] *ὀρνίθων* A[a].C[a]. [h] *ἠλίῳ* A[a].C[a]. [i] *ἐπηλυγισάμενοι* P, *ἐπιλυγισάμενοι* E[a]. [k] *ἰλὺν* A[a]. [l] *ἀλεωρῆς* A[a].C[a].E[a].

Digitized by Google

οὐκ ἐν τῷ αὐτῷ τίκτουσι καὶ ἐπῳάζουσιν, ἵνα μή τις κατανοήσῃ τὸν τόπον πλείω χρόνον προσεδρευόντων. Ὅταν δέ 3
τις θηρεύῃ περιπεσὼν τῇ [m] νεοττιᾷ, προκυλινδεῖται ἡ πέρδιξ τοῦ θηρεύοντος ὡς ἐπίληπτος οὖσα, καὶ ἐπισπᾶται ὡς ληψόμενον [n] ἐφ' ἑαυτήν, ἕως ἂν διαδράσῃ τῶν νεοττῶν ἕκαστος· μετὰ δὲ ταῦτα ἀναπτᾶσα αὐτὴ ἀνακαλεῖται πάλιν. Τίκτει μὲν οὖν ᾠὰ [o] ἡ πέρδιξ οὐκ ἐλάττω ἢ δέκα, πολλάκις 4
[p] δ' ἐκκαίδεκα· ὥσπερ δ' εἴρηται, κακόηθες τὸ ὄρνεόν ἐστι καὶ πανοῦργον. Τοῦ δ' ἔαρος ἐκ τῆς ἀγέλης ἐκκρίνονται δι' ᾠδῆς καὶ μάχης κατὰ ζεύγη μετὰ θηλείας, ἣν ἂν λάβῃ ἕκαστος. Διὰ δὲ τὸ εἶναι [q] ἀφροδισιαστικοί, [r] ὅπως μὴ ἐπῳάζῃ 5
ἡ θήλεια, οἱ ἄρρενες τὰ ᾠὰ διακυλινδοῦσι καὶ συντρίβουσιν, ἐὰν εὕρωσιν· ἡ δὲ θήλεια ἀντιμηχανωμένη ἀποδιδράσκουσα τίκτει, καὶ πολλάκις διὰ τὸ ὀργᾶν τεκεῖν, ὅπου ἂν τύχῃ, ἐκβάλλει, ἂν [s] μὴ παρῇ ὁ ἄρρην· καὶ ὅπως σώζηται ἀθρόα, οὐκ ἔρχεται πρὸς αὐτά. Καὶ ἐὰν ὑπ' ἀνθρώπου ὀφθῇ, 6
ὥσπερ περὶ τοὺς νεοττούς, οὕτω καὶ ἀπὸ τῶν ᾠῶν [t] ὑπάγει, πρὸ ποδῶν φαινομένη [v] τοῦ ἀνθρώπου, ἕως ἂν [w] ἀπαγάγῃ. Ὅταν δ' [x] ἀποδρᾶσα [y] ἐπῳάζῃ, οἱ ἄρρενες κεκράγασι καὶ μάχονται συνιόντες· καλοῦσι δὲ τούτους χήρους. [z] Ὁ δ' ἡττηθεὶς μαχόμενος [a] ἀκολουθεῖ τῷ νικήσαντι, ὑπὸ τούτου ὀχευόμενος μόνου. [b] Ἐὰν δὲ κρατηθῇ τις ὑπὸ τοῦ δευτέρου ἢ 7
[b] ὁποιουοῦν, [c] οὗτος λάθρᾳ ὀχεύεται ὑπὸ τοῦ κρατιστεύοντος. Γίνεται δὲ τοῦτο οὐκ ἀεί, ἀλλὰ καθ' ὥραν τινὰ τοῦ ἔτους· καὶ ἐπὶ τῶν ὀρτύγων ὡσαύτως. [d] Ἐνίοτε δὲ συμβαίνει τοῦτο καὶ ἐπὶ τῶν ἀλεκτρυόνων· ἐν μὲν γὰρ τοῖς [d] ἱεροῖς, ὅπου ἄνευ θηλειῶν ἀνάκεινται, τὸν ἀνατιθέμενον πάντες εὐλόγως ὀχεύουσιν. Καὶ τῶν περδίκων [e] δ' οἱ [f] τιθασσοὶ τοὺς ἀγρί- 8

[m] νεοττείᾳ P.C[a].E[a], νεοττίᾳ A[a]. [n] ἐφ' ἑαυτήν om. P.A[a].C[a]. [o] ἡ] ὁ P.A[a].C[a].D[a].E[a]. [p] δὲ καὶ ἐκκαίδεκα D[a]. [q] ἀφροδισιαστικοὶ οἱ πέρδικες ὅπως D[a]. [r] ὥσπερ μὴ ἐπωάζει C[a]. [s] μὴ rc. C[a]: ceteri om. [t] ἀπάγει D[a]. [v] τὸν ἄνθρωπον P.D[a].E[a]. [w] ὑπαγάγῃ A[a]. [x] ἀποδράσῃ P.A[a].E[a]. [y] ἐπωάζειν A[a].C[a], ἐπωάζει P.E[a]. [z] ἀκολουθεῖ] ἀκολουθεῖ ὀχευόμενος A[a].C[a]. [a] τῷ νικήσαντι ὑπὸ τούτου om. P.E[a]. [b] ὁποιονοῦν A[a]. [c] οὗτος om. A[a].C[a]. [d] ἱεροῖς om. C[a]. [e] δ' om. A[a].C[a]. [f] τιθασσοὶ P.D[a].E[a].

Digitized by Google

ους πέρδικας ὀχεύουσι καὶ ἐπικορίζουσι καὶ ὑβρίζουσιν. [1]Ἐπὶ δὲ τὸν θηρευτὴν πέρδικα ὠθεῖται τῶν ἀγρίων ὁ ἡγεμὼν [g]ἀντάσας ὡς μαχούμενος. Τούτου δ' ἀλόντος ἐν ταῖς πηκταῖς πάλιν προσέρχεται ἄλλος, [g]ἀντάσας τὸν αὐτὸν 9 τρόπον. [1]Ἐὰν μὲν οὖν [h]ἄρρην ᾖ ὁ θηρεύων, τοῦτο ποιοῦσιν· [i]ἐὰν δὲ θήλεια ἡ θηρεύουσα ᾖ καὶ ᾄδουσα, [g]ἀντάσῃ δ' ὁ ἡγεμὼν αὐτῇ, οἱ ἄλλοι ἀθροισθέντες τύπτουσι [k]τοῦτον καὶ ἀποδιώκουσιν ἀπὸ τῆς θηλείας, ὅτι ἐκείνῃ ἀλλ' οὐκ αὐτοῖς 10 [l]προσέρχεται. [1]Ὃ δὲ πολλάκις διὰ ταῦτα σιωπῇ προσέρχεται, ὅπως μὴ ἄλλος [m]τῆς φωνῆς ἀκούσας ἔλθῃ [n]μαχούμενος αὐτῷ. [1]Ἐνίοτε δέ φασιν οἱ ἔμπειροι τὸν ἄρρενα προσιόντα τὴν θήλειαν κατασιγάζειν, ὅπως μὴ ἀκουσάντων τῶν ἀρρένων ἀναγκασθῇ διαμάχεσθαι πρὸς αὐτούς. Οὐ μόνον δ' ᾄδει ὁ πέρδιξ, ἀλλὰ καὶ τριγμὸν ἀφίησι καὶ ἄλλας 11 φωνάς. Πολλάκις δὲ καὶ ἡ θήλεια ἐπῳάζουσα ἀνίσταται, ὅταν τῇ θηρευούσῃ θηλείᾳ αἴσθηται προσέχοντα τὸν ἄρρενα, καὶ [g]ἀντάσασα ὑπομένει, ἵν' ὀχευθῇ καὶ [o]ἀποσπάσῃ ἀπὸ τῆς θηρευούσης. Οὕτω δὲ σφόδρα καὶ οἱ πέρδικες καὶ οἱ ὄρτυγες ἐπτόηνται περὶ τὴν ὀχείαν, ὥστ' εἰς τοὺς θηρεύοντας ἐμπίπτουσι καὶ πολλάκις καθιζάνουσιν ἐπὶ τὰς κεφαλάς.

12 Περὶ μὲν οὖν τὴν [p]ὀχείαν [q]καὶ θήραν τῶν περδίκων τοιαῦτα συμβαίνει, καὶ περὶ τὴν ἄλλην τοῦ ἤθους πανουργίαν. Νεοττεύουσι δ' ἐπὶ τῆς γῆς, ὥσπερ εἴρηται, οἵ τε ὄρτυγες καὶ οἱ πέρδικες καὶ τῶν ἄλλων ἔνιοι τῶν πτητικῶν. [1]Ἔτι δὲ τῶν τοιούτων ὁ μὲν [r]κόρυδος καὶ ὁ [s]σκολόπαξ καὶ ὄρτυξ 9 ἐπὶ δένδρου οὐ καθίζουσιν, ἀλλ' ἐπὶ [t]τῆς γῆς, [v]ὁ δὲ δρυοκολάπτης οὐ καθίζει ἐπὶ [t]τῆς γῆς· κόπτει δὲ τὰς ῥῖς τῶν σκωλήκων καὶ [w]σκνιπῶν ἕνεκεν, ἵν' ἐξίωσιν. [1]Ἀναλέγεται

[g] ἀντάσας ὡς μαχούμενος Schneiderus: codices ἀντιάσας ὡς μαχόμενος, qui perinde infra. [h] ἄρ.] ὁ ἄρρην Aª. [i] εἰ δὲ θήλεια ᾖ ἡ θηρεύουσα καὶ Dª. [k] καὶ ἀποδιώκουσι τοῦτον Dª. [l] προσέχει. ὁ Athenæus. [m] ἀκούσας τῆς φωνῆς Dª. [n] μαχόμενος P.Dª.Eª. [o] ἀποσπασθῇ P.Aª. Cª.Eª. [p] ὀχείαν] θήλειαν P.Eª. [q] καὶ θήραν om. Aª.Cª. [r] κορίανος Aª. [s] σκολόπωξ P. [t] τῇ γῇ utrobique Aª.Cª. [v] κόπτει δὲ τὰς ῥῖς ὁ δρυοκολάπτης, omissis δὲ et οὐ καθίζει ἐπὶ τῆς γῆς, P.Eª. [w] κνιπῶν P.Eª.

Digitized by Google

γὰρ ἐξελθόντας αὐτοὺς τῇ γλώττῃ· πλατεῖαν δ' ἔχει καὶ μεγάλην. Καὶ πορεύεται ἐπὶ τοῖς δένδρεσι [x] ταχέως πάντα 2
τρόπον, καὶ ὕπτιος, καθάπερ οἱ ἀσκαλαβῶται. Ἔχει δὲ καὶ τοὺς ὄνυχας βελτίους τῶν κολοιῶν πεφυκότας πρὸς τὴν ἀσφάλειαν τῆς [y] ἐπὶ τοῖς δένδρεσιν ἐφεδρείας· τούτους γὰρ ἐμπηγνὺς πορεύεται. Ἔστι δὲ τῶν δρυοκολαπτῶν ἓν μὲν 3
γένος ἔλαττον τοῦ κοττύφου, ἔχει δ' [z] ὑπέρυθρα μικρά, ἕτερον δὲ γένος μεῖζον ἢ κόττυφος. Τὸ δὲ τρίτον [a] γένος
αὐτῶν οὐ πολλῷ ἔλαττόν ἐστιν ἀλεκτορίδος θηλείας. Νεοττεύει δ' ἐπὶ τῶν δένδρων, ὥσπερ εἴρηται, ἐν ἄλλοις τε τῶν δένδρων καὶ ἐν ἐλαίαις. Βόσκεται δὲ τούς τε μύρμηκας καὶ 4
τοὺς σκώληκας τοὺς ἐκ τῶν δένδρων. [b] Θηρεύοντα δὲ τοὺς σκώληκας οὕτω σφόδρα φασὶ κοιλαίνειν, ὥστε καταβάλλειν τὰ δένδρα. Καὶ [c] τιθασσευόμενος δέ [d] τις ἤδη ἀμύγδαλον εἰς [e] ῥωγμὴν ξύλου ἐνθείς, ὅπως ἐναρμοσθὲν ὑπομείνειεν αὐτοῦ τὴν πληγήν, ἐν τῇ τρίτῃ πληγῇ διέκοψε καὶ κατήσθιε [f] τὸ
[g] μαλακόν.

Φρόνιμα δὲ πολλὰ καὶ περὶ τὰς γεράνους δοκεῖ συμβαί- 10
νειν· ἐκτοπίζουσί τε γὰρ μακράν, καὶ [h] εἰς [i] ὕψος [k] πέτονται πρὸς τὸ καθορᾶν τὰ πόρρω, καὶ ἐὰν ἴδωσι νέφη [l] καὶ χειμέρια, καταπτᾶσαι ἡσυχάζουσιν. Ἔτι δὲ τὸ ἔχειν ἡγεμόνα [m] τε καὶ τοὺς ἐπισυρίττοντας ἐν τοῖς ἐσχάτοις, [n] ὥστε κατακούεσθαι τὴν φωνήν. Ὅταν [o] δὲ καθίζωνται, αἱ μὲν 2
ἄλλαι ὑπὸ τῇ πτέρυγι τὴν κεφαλὴν [p] ἔχουσαι καθεύδουσιν ἐπὶ ἑνὸς ποδὸς ἐναλλάξ, ὁ δ' ἡγεμὼν γυμνὴν ἔχων τὴν κεφαλὴν [q] προορᾷ, καὶ ὅταν αἴσθηταί [r] τι, σημαίνει βοῶν. Οἱ δὲ πελεκᾶνες οἱ ἐν τοῖς ποταμοῖς γινόμενοι καταπίνουσι τὰς μεγάλας κόγχας καὶ λείας· ὅταν δ' ἐν τῷ πρὸ τῆς κοιλίας

[x] πάντα τρ. ταχέως Da. [y] περὶ τοῖς δένδροις ἐφεδρείοις Aa. [z] ὑπέρθυρα P.Ea. [a] γένος om. P.Aa.Ca.Ea. [b] θηρεύονται P.Ca, θηρεύοντας corr. Aa. [c] τιθασευόμενος Da, τιθασσευόμενα P. [d] ἤδη τις Da. [e] ῥώγμην Ca, ῥωγμὸν rc. Aa. [f] τὸ] αὐτοῦ τὸ Aa. [g] ἁπαλόν rc. Aa. [h] εἰς om. Aa.Ca. [i] ὕψος om. P.Ea. [k] αἴρονται Da. [l] καὶ post νέφη om. Ea. [m] τε om. Ca. [n] ὥστ' ἀκούεσθαι Da. [o] δὲ om. Aa. [p] ἔχουσαι—κεφαλὴν om. Aa. [q] προορῶν Aa.Ca. [r] τι om. P.Aa.Ca.Ea.

Digitized by Google

τόπῳ πέψωσιν, ἐξεμοῦσιν, ἵνα χασκουσῶν τὰ κρέα ἐξαιροῦντες [s] ἐσθίωσιν.

11 Τῶν δ' ἀγρίων ὀρνέων αἵ τ' οἰκήσεις μεμηχάνηνται πρὸς τοὺς βίους καὶ τὰς σωτηρίας τῶν τέκνων. Εἰσὶ δ' οἱ μὲν εὔτεκνοι αὐτῶν καὶ ἐπιμελεῖς τῶν τέκνων, οἱ δὲ τοὐναντίον, καὶ οἱ μὲν εὐμήχανοι πρὸς τὸν βίον, οἱ δ' ἀμηχανώτεροι. 2 Τὰς δ' οἰκήσεις οἱ μὲν περὶ τὰς χαράδρας [t] καὶ χηραμοὺς ποιοῦνται καὶ πέτρας, οἷον ὁ καλούμενος χαραδριός· [v] ἔστι δ' ὁ χαραδριὸς καὶ τὴν [w] χρόαν καὶ τὴν φωνὴν φαῦλος, φαί- 3 νεται δὲ νύκτωρ, ἡμέρας δ' ἀποδιδράσκει. [1] Ἐν ἀποτόμοις δὲ καὶ ὁ ἱέραξ νεοττεύει· ὠμοφάγος δ' ὤν, ὧν ἂν κρατήσῃ ὀρ- νέων, τὴν καρδίαν οὐ κατεσθίει· καὶ τοῦτό τινες ἑωράκασι καὶ ἐπ' ὄρτυγος καὶ ἐπὶ κίχλης καὶ ἕτεροι ἐφ' ἑτέρων. [1] Ἔτι δὲ καὶ περὶ τὸ θηρεύειν μεταβάλλουσιν· οὐ γὰρ ἁρπάζουσιν 4 ὁμοίως τοῦ θέρους. Γυπὸς δὲ λέγεται ὑπό τινων ὡς οὐδεὶς ἑώρακεν [x] οὔτε νεοττὸν οὔτε [y] νεοττιάν· ἀλλὰ διὰ τοῦτο ἔφη [1] Ἡρόδωρος ὁ [z] Βρύσωνος τοῦ σοφιστοῦ πατὴρ ἀπό τινος αὐτὸν ἑτέρας εἶναι μετεώρου γῆς, τεκμήριον τοῦτο λέγων καὶ τὸ φαίνεσθαι ταχὺ πολλούς, ὅθεν [a] δέ, μηδενὶ εἶναι δῆ- λον. Τούτου δ' [b] αἴτιον ὅτι τίκτει ἐν πέτραις [c] ἀπροσβά- 5 τοις· ἔστι δ' οὐδὲ πολλαχοῦ ἐπιχώριος [d] ὁ ὄρνις. Τίκτει δ' ἓν ᾠὸν ἢ δύο τὰ πλεῖστα. [1] Ἔνιοι δὲ τῶν ὀρνίθων ἐν τοῖς ὄρεσι καὶ τῇ ὕλῃ κατοικοῦσιν, οἷον [e] ἔποψ καὶ [f] βρένθος· οὗτος δ' ὁ ὄρνις [g] εὐβίοτος καὶ [h] ᾠδικός. [1] Ὁ δὲ [i] τροχίλος [k] καὶ λόχμας καὶ τρώγλας οἰκεῖ· [l] δυσάλωτος δὲ καὶ δραπέ- της καὶ τὸ ἦθος ἀσθενής, [g] εὐβίοτος δὲ καὶ τεχνικός. Κα- λεῖται δὲ πρέσβυς καὶ βασιλεύς· διὸ καὶ τὸν ἀετὸν αὐτῷ 12 φασὶ πολεμεῖν. Εἰσὶ δέ τινες οἳ περὶ τὴν [m] θάλατταν βι-

[s] ἐσθίουσι A[a]. [t] καὶ] οἱ δὲ D[a]. [v] ἔστι δ' ὁ χαραδριὸς om. P. [w] χροιὰν C[a]. [x] οὔτε νεοττὸν οὔτε] νεοττὸν ἢ D[a]. [y] νεοττείαν P.A[a].D[a].E[a]. [z] βρύσσωνος A[a].C[a]. [a] δέ] δὴ P, om. A[a].C[a]. [b] αἴτιος P. [c] ἀπροσ- βάτως A[a]. [d] ὁ om. P.A[a].C[a]. [e] ἔποψος A[a]. [f] βρίνθος P.D[a]. [g] εὐβίωτος utrobique P.A[a].C[a]. [h] ἰνδικός P. [i] τροχῖλος P.C[a].D[a].E[a]. [k] καὶ ante λόχμας om. D[a]. [l] δύσαλος P.A[a].C[a].D[a]. [m] θάλασσαν P.D[a].

Digitized by Google

οὖσιν, οἷον [n] κίγκλος. [o] Ἔστι δὲ τὸ ἦθος ὁ κίγκλος πανοῦργος καὶ δυσθήρατος, ὅταν δὲ ληφθῇ, [p] τιθασσότατος. Τυγχάνει δ' ὢν καὶ [q] ἀνάπηρος· ἀκρατὴς γὰρ τῶν ὄπισθέν ἐστιν. Ζῶσι δὲ [r] περὶ θάλατταν καὶ ποταμοὺς καὶ λίμνας οἱ μὲν 2
στεγανόποδες ἅπαντες· ἡ [s] γὰρ φύσις [t] αὐτὴ ζητεῖ τὸ πρόσφορον· πολλοὶ δὲ καὶ τῶν σχιζοπόδων περὶ τὰ ὕδατα καὶ τὰ ἕλη βιοτεύουσιν, οἷον [v] ἄνθος [w] περὶ τοὺς ποταμούς· ἔχει δὲ τὴν χρόαν καλὴν καὶ ἔστιν [x] εὐβίοτον. [y] Ὁ δὲ καταρ- 3
ράκτης ζῇ μὲν [z] περὶ θάλατταν, ὅταν [a] δὲ καθῇ αὐτὸν εἰς τὸ βαθύ, μένει χρόνον οὐκ ἐλάττονα [b] ἢ ὅσον πλέθρον διέλθοι τις· ἔστι δ' ἔλαττον ἱέρακος τὸ ὄρνεον. Καὶ οἱ κύκνοι δ' εἰσὶ μὲν τῶν στεγανοπόδων, καὶ βιοτεύουσι [c] περὶ λίμνας καὶ ἕλη, [d] εὐβίοτοι δὲ καὶ εὐήθεις καὶ εὔτεκνοι καὶ εὔγηροι, καὶ τὸν [e] ἀετόν, ἐὰν [f] ἄρξηται, ἀμυνόμενοι νικῶσιν, αὐτοὶ [g] δ' οὐκ ἄρχουσι μάχης. Ὠιδικοὶ δέ, καὶ περὶ τὰς τελευτὰς μάλιστα 4
ᾄδουσιν· ἀναπέτονται γὰρ καὶ εἰς τὸ πέλαγος, καί τινες ἤδη πλέοντες [h] παρὰ τὴν Λιβύην περιέτυχον ἐν τῇ θαλάττῃ πολλοῖς ᾄδουσι φωνῇ γοώδει, καὶ τούτων ἑώρων ἀποθνήσκοντας ἐνίους. Ἡ δὲ [i] κύμινδις ὀλιγάκις μὲν φαίνεται (οἰκεῖ γὰρ ὄρη), ἔστι δὲ [k] μέλαν καὶ μέγεθος ὅσον ἱέραξ [l] ὁ [m] φασσοφόνος καλούμενος, καὶ τὴν ἰδέαν μακρὸς καὶ [n] λεπτός. [o] Κύ- 5
μινδιν δὲ καλοῦσιν [p] Ἴωνες [q] αὐτήν· ἧς καὶ [r] Ὅμηρος μέμνηται ἐν τῇ Ἰλιάδι εἰπὼν

Χαλκίδα κικλήσκουσι θεοί, ἄνδρες δὲ [r] κύμινδιν.

Ἡ δ' [s] ὑβρίς, φασὶ δέ τινες [t] εἶναι τὸν αὐτὸν τοῦτον ὄρνιθα

[n] κίγχλος Ca, κίχλος P.Aa, κόχλος Ea. [o] ἔστι δὲ τὸ ἦθος ὁ κίγκλος om. P.Aa.Ca.Ea. [p] τιθασώτατος P, τιθασότατος Da.Ea. [q] ἀνάπειρος Aa. [r] περὶ] περὶ τὴν Aa. [s] γὰρ] δὲ Ea. [t] αὐτῇ Ca. [v] ἄνθους P.Ea. [w] παρὰ P.Aa.Ca.Ea. [x] εὐβίωτον P.Ca, εὐβοίωτον Aa. [y] καταράκτης P.Ca, καταράκτος Ea. [z] πρὸς Aa.Ca. [a] δὲ om. P.Ea. [b] ἢ ὅσον] εἰς ὃν Aa.Ca. [c] περὶ] δὲ περὶ Da. [d] εὐβίωτοι P.Aa.Ca, qui ita solent. [e] αἰετὸν P.Da.Ea. [f] ἄρξωνται P. [g] δ' om. Ea. [h] περὶ Aa. [i] κύβωδις P.Aa.Da.Ea. [k] μέλας Ca.Da. [l] ὁ ante καλούμενος Aa.Ca. [m] φασσόφωνος P.Da.Ea. [n] λευκός P.Aa.Ca.Ea. [o] κύβιν Aa. [p] ἰόντες P. [q] αὐτόν P.Ca.Ea. [r] κύβωδιν P.Aa.Da.Ea. [s] ὕβρις Ca.Da.Ea. [t] τὸν αὐτὸν εἶναι Aa.

Digitized by Google

τῷ [v] πτυγγί, οὗτος ἡμέρας μὲν οὖν φαίνεται διὰ τὸ μὴ βλέπειν ὀξύ, τὰς δὲ νύκτας θηρεύει ὥσπερ οἱ ἀετοί· καὶ μάχονται δὲ πρὸς τὸν ἀετὸν οὕτω σφόδρα ὥστ' ἄμφω [w] λαμβάνεσθαι
6 πολλάκις ζῶντας ὑπὸ τῶν [x] νομέων. Τίκτει μὲν οὖν δύο ᾠά, νεοττεύει δὲ καὶ οὗτος ἐν πέτραις καὶ σπηλαίοις. [y] Μάχιμοι δὲ καὶ [z] αἱ γέρανοί εἰσι πρὸς [a] ἀλλήλας οὕτω σφόδρα ὥστε καὶ λαμβάνεσθαι μαχομένας· ὑπομένουσι γάρ. Τίκτει [b] δὲ
13 γέρανος δύο ᾠά. [1] Ἡ δὲ κίττα φωνὰς μὲν μεταβάλλει πλείστας (καθ' ἑκάστην γὰρ ὡς εἰπεῖν ἡμέραν ἄλλην ἀφίησι), τίκτει δὲ περὶ ἐννέα ᾠά, ποιεῖται δὲ τὴν [c] νεοττιὰν ἐπὶ τῶν δένδρων ἐκ τριχῶν καὶ ἐρίων· ὅταν δ' ὑπολίπωσιν αἱ βάλανοι,
2 ἀποκρύπτουσα ταμιεύεται. Περὶ μὲν [d] οὖν τῶν πελαργῶν, ὅτι [e] ἀντεκτρέφονται, [f] θρυλεῖται παρὰ πολλοῖς· φασὶ δέ τινες καὶ τοὺς μέροπας ταὐτὸ τοῦτο ποιεῖν, καὶ ἀντεκτρέφεσθαι ὑπὸ τῶν [g] ἐκγόνων οὐ μόνον γηράσκοντας ἀλλὰ καὶ εὐθύς, ὅταν οἷοί τ' ὦσιν· τὸν δὲ πατέρα καὶ τὴν μητέρα μένειν
3 ἔνδον. [1] Ἡ δ' ἰδέα τοῦ ὄρνιθος τῶν πτερῶν ἐστὶ τὰ μὲν ὑποκάτω ὠχρόν, τὰ δὲ ἐπάνω ὥσπερ [h] τῆς ἀλκυόνος κυάνεον, τὰ δ' ἐπ' ἄκρων τῶν πτερυγίων ἐρυθρά. Τίκτει δὲ περὶ ἓξ ἢ ἑπτὰ ὑπὸ τὴν ὀπώραν, ἐν τοῖς κρημνοῖς τοῖς μαλακοῖς· εἰσδύεται
4 δ' [i] εἴσω καὶ τέτταρας πήχεις. [1] Ἡ δὲ καλουμένη χλωρὶς διὰ τὸ [k] τὰ κάτω ἔχειν ὠχρά, [l] ἔστι μὲν ἠλίκον κόρυδος, τίκτει δ' ᾠὰ τέτταρα ἢ πέντε, τὴν δὲ νεοττιὰν ποιεῖται μὲν ἐκ τοῦ συμφύτου [m] ἔλκουσα πρόσριζον, στρώματα δ' ὑποβάλλει τρίχας καὶ ἔρια. [n] Ταὐτὸ δὲ τοῦτο ποιεῖ καὶ ὁ κόττυφος καὶ [o] ἡ κίττα, καὶ τὰ [p] ἐντὸς τῆς νεοττιᾶς ἐκ τούτων ποιοῦν-
5 ται. Τεχνικῶς δὲ καὶ ἡ τῆς [q] ἀκανθυλλίδος ἔχει νεοττιά·

[v] πτογγί P.E[a], πωγί A[a].C[a]. [w] λαμβανέσθω πολλάκις A[a], πολλάκις λαμβάνεσθαι P.E[a]. [x] νομίων E[a]. [y] μάχιμον A[a]. [z] οἱ P.C[a].D[a]. [a] ἀλλήλους C[a]. [b] δὲ] δὲ καὶ D[a]. [c] νεοττείαν plerique. [d] οὖν om. A[a]. [e] ἐκτρέφονται A[a].C[a]. [f] θρυλλεῖται P.A[a].D[a].E[a]. [g] ἐγγόνων P.A[a].C[a]. [h] τῆς] τὸ τῆς D[a]. [i] ἔσω D[a]. [k] τὰ om. P.A[a].C[a]. [l] ἔστι μὲν] μὲν ἔστι δ' A[a].C[a]. [m] ἕλκουσα πρόρριζον A[a].D[a]. et (qui πρόριζον) C[a], ἕλους ἀπρόσριζον P.E[a]. [n] ταυτὰ δὲ τούτω D[a]. [o] ἡ κίστα A[a], ἥκιστα C[a]. [p] ἐκτὸς C[a]. [q] ἀκανθυλίδος D[a], ἀκανθιλίδος A[a].

Digitized by Google

[r] πέπλεκται γὰρ ὥσπερ σφαῖρα λινῆ, ἔχουσα τὴν εἴσδυσιν μικράν. Φασὶ δὲ καὶ τὸ [s] κιννάμωμον [t] ὄρνεον εἶναι οἱ ἐκ τῶν τόπων ἐκείνων, καὶ τὸ καλούμενον [v] κιννάμωμον [w] φέρειν ποθὲν τοῦτο τὸ ὄρνεον, καὶ τὴν νεοττιὰν ἐξ αὐτοῦ ποιεῖσθαι. Νεοττεύει δ' ἐφ' ὑψηλῶν δένδρων καὶ [x] ἐν τοῖς [y] θαλλοῖς τῶν 6
δένδρων· ἀλλὰ τοὺς ἐγχωρίους [z] μόλυβδον πρὸς τοῖς οἴστοῖς [a] προσαρτῶντας τοξεύοντας καταβάλλειν, καὶ οὕτω συνάγειν ἐκ τοῦ φορυτοῦ τὸ [v] κιννάμωμον.

[b] Ἡ δ' ἀλκυὼν ἔστι μὲν οὐ πολλῷ μείζων στρουθοῦ, τὸ δὲ 14
χρῶμα καὶ κυανοῦν ἔχει καὶ χλωρὸν καὶ ὑποπόρφυρον· μεμιγμένως δὲ τοιοῦτον τὸ σῶμα πᾶν καὶ αἱ πτέρυγες καὶ τὰ περὶ τὸν τράχηλον, οὐ χωρὶς ἕκαστον τῶν χρωμάτων· τὸ δὲ ῥύγχος ὑπόχλωρον μέν, μακρὸν δὲ καὶ λεπτόν. Τὸ μὲν οὖν 2
εἶδος ἔχει τοιοῦτον, ἡ δὲ νεοττιὰ παρομοία ταῖς σφαίραις ταῖς θαλαττίαις ἐστὶ καὶ ταῖς καλουμέναις [b] ἁλοσάχναις, πλὴν τοῦ χρώματος· τὴν δὲ χρόαν ὑπόπυρρον ἔχουσιν, τὸ δὲ σχῆμα παραπλήσιον ταῖς σικύαις ταῖς ἐχούσαις τοὺς τραχήλους μακρούς. Τὸ δὲ μέγεθος αὐτῶν ἐστὶ τῆς μεγίστης 3
[c] σπογγιᾶς μεῖζον· εἰσὶ γὰρ καὶ μείζους καὶ ἐλάττους· κατάστεγοι δέ, καὶ τὸ στερεὸν ἔχουσι συχνὸν καὶ τὸ κοῖλον. Καὶ κόπτοντι μὲν [d] σιδηρίῳ ὀξεῖ οὐ ταχὺ διακόπτεται, ἅμα δὲ κόπτοντι καὶ ταῖς χερσὶ θραύοντι παχὺ [e] διαθραύεται, ὥσπερ ἡ [b] ἁλοσάχνη. Τὸ δὲ στόμα στενὸν ὅσον εἴσδυσιν μικράν, ὥστ' οὐδ' [f] ἂν ἀνατραπῇ ἡ θάλαττα, οὐκ εἰσέρχεται. Τὰ 4
δὲ κοῖλα παραπλήσια ἔχει τοῖς τῶν σπόγγων. [g] Ἀπορεῖται δ' ἐκ τίνος συντίθησι τὴν νεοττιάν, δοκεῖ δὲ μάλιστα ἐκ τῶν ἀκανθῶν τῆς βελόνης· ζῇ γὰρ ἰχθυοφαγοῦσα. [g] Ἀναβαίνει δὲ καὶ [g] ἀνὰ τοὺς ποταμούς. Τίκτει δὲ περὶ πέντε μάλιστα ᾠά. Λοχεύεται δὲ διὰ βίου, [h] ἄρχεται δὲ τετράμηνος.

[r] πλέκεται P. [s] κινάμωμον P.A[a].D[a].E[a]. [t] ὄρνεον—κιννάμωμον om. P.A[a].C[a].E[a]. [v] κινάμωμον utrobique D[a]. [w] ποθὲν φέρειν A[a]. [x] ἐν] ἐπὶ A[a]. [y] θαλοῖς A[a].C[a]. [z] μόλιβδον P.C[a].D[a].E[a]. [a] ἐξαρτῶντας A[a]. [b] ἁλὸς ἄχναις et mox ἁλὸς ἄχνη A[a].C[a]. [c] σπογγείας C[a]. [d] σιδηρείῳ ὀξεῖ οὐ ταχεῖ A[a]. [e] διαθραύεται] θραύονται P.A[a].C[a].E[a]. [f] ἂν om. pr. A[a]. [g] ἀνὰ] ἐπὶ D[a]. [h] ἄρχεται] λοχεύεται C[a].

Digitized by Google

15 Ὁ δ' [i]ἔποψ τὴν νεοττιὰν μάλιστα ποιεῖται ἐκ τῆς ἀνθρωπίνης κόπρου· τὴν δ' ἰδέαν μεταβάλλει τοῦ θέρους καὶ τοῦ χειμῶνος, ὥσπερ καὶ τῶν ἄλλων ἀγρίων τὰ πλεῖστα.
2 Ὁ δ' [k]αἰγίθαλος τίκτει μὲν ᾠὰ πλεῖστα, ὡς φασίν. Ἔνιοι δὲ καὶ τὸν μελαγκόρυφον καλούμενόν φασι πλεῖστα τίκτειν μετά γε [l]τὸν ἐν Λιβύῃ στρουθόν· ἑώραται [m]μὲν γὰρ καὶ ἑπτακαίδεκα, τίκτει μέντοι [n]καὶ πλείω [o]ἢ εἴκοσιν. Τίκτει [p]δ' ἀεὶ [q]περιττά, ὡς φασίν. Νεοττεύει δὲ καὶ οὗτος ἐν τοῖς
3 δένδρεσι, καὶ βόσκεται τοὺς σκώληκας. Ἴδιον δὲ [r]τούτῳ καὶ ἀηδόνι [s]παρὰ [t]τοὺς ἄλλους ὄρνιθας [v]τὸ μὴ ἔχειν τῆς γλώττης τὸ ὀξύ. Ὁ δ' [w]αἴγιθος [x]εὐβίοτος καὶ πολύτεκνος, τὸν δὲ πόδα [y]χωλός ἐστιν. Χλωρίων δὲ μαθεῖν μὲν ἀγαθὸς καὶ βιομήχανος, [z]κακοπέτης δέ, καὶ χρόαν ἔχει μοχθηράν.
16 Ἡ δ' [a]ἐλέα, ὥσπερ ἄλλος τις τῶν ὀρνίθων, [b]εὐβίοτος, καὶ καθίζει θέρους μὲν ἐν προσηνέμῳ καὶ σκιᾷ, χειμῶνος δ' ἐν [c]εὐηλίῳ καὶ [d]ἐπισκεπεῖ [e]ἐπὶ τῶν δονάκων περὶ τὰ ἕλη. Ἔστι
2 δὲ τὸ μὲν μέγεθος βραχύς, φωνὴν δ' ἔχει ἀγαθήν. [f]Καὶ ὁ γνάφαλος καλούμενος τήν τε φωνὴν ἔχει ἀγαθὴν καὶ τὸ χρῶμα καλός, καὶ βιομήχανος, καὶ τὸ εἶδος εὐπρεπής. Δοκεῖ δ' εἶναι ξενικὸς ὄρνις· ὀλιγάκις γὰρ φαίνεται ἐν τοῖς μὴ οἰκείοις
17 τόποις. Ἡ δὲ κρὲξ τὸ μὲν ἦθος [g]μάχιμος, τὴν δὲ διάνοιαν εὐμήχανος πρὸς τὸν βίον, ἄλλως δὲ κακόποτμος ὄρνις. Ἡ δὲ καλουμένη [h]σίττη τὸ μὲν ἦθος [g]μάχιμος, τὴν δὲ διάνοιαν [i]εὔθικτος καὶ εὐθήμων καὶ [k]εὐβίοτος, καὶ λέγεται φαρμάκεια εἶναι διὰ τὸ πολυίδρις εἶναι· πολύγονος δὲ καὶ εὔτεκνος,
2 καὶ ζῇ ὑλοκοποῦσα. [l]Αἰγωλιὸς δ' ἐστὶ νυκτινόμος καὶ ἡμέρας ὀλιγάκις φαίνεται, [m]καὶ οἰκεῖ καὶ οὗτος πέτρας καὶ σπή-

[i] ἔπωψ P. [k] αἰγιθαλὸς A[a], αἰγίθαλλος P. [l] τὴν A[a]. [m] μὲν γὰρ] δὲ A[a]. [n] καὶ om. P.A[a].C[a].E[a]. [o] ἢ om. A[a].C[a]. [p] δ' ἀεὶ] δὲ καὶ A[a].C[a]. [q] περιστερά A[a]. [r] τοῦτο P.A[a].C[a].D[a]. [s] περὶ A[a]. [t] τὰς ἄλλας C[a].E[a]. [v] τῷ μὴ A[a].C[a]. [w] αἰγίοθος P.D[a].E[a]. [x] οὐ βιοτὸς A[a].C[a]. [y] χλωρός P. [z] κακοπετὴς P.E[a]. [a] ἐλαία A[a].C[a]. [b] εὐβίωτος A[a]. [c] ἡλίῳ E[a]. [d] ἐπισκέπει E[a], ἐπὶ σκέπει P, ἐπισκοπεῖ A[a]. [e] παρὰ P.E[a]. [f] καὶ ὁ—ἀγαθὴν om. P.A[a].C[a].E[a]. [g] μάχιμον utrobique P.A[a].C[a]. [h] σίππη D[a]. [i] εὔοικτος P.C[a].E[a], ἀνεύοιτος A[a]. [k] εὐβίωτος A[a]. [l] αἰγώλιος P.E[a]. [m] καὶ ante οἰκεῖ om. P.

Digitized by Google

λυγγας· ἔστι γὰρ δίθαλλος, τὴν δὲ διάνοιαν βιωτικὸς καὶ εὐμήχανος. Ἔστι δέ [m]τι ὀρνίθιον μικρὸν ὃ καλεῖται κέρθιος· οὗτος τὸ μὲν ἦθος θρασύς, καὶ οἰκεῖ περὶ δένδρα, καὶ ἔστι θριποφάγος, τὴν δὲ διάνοιαν [n]εὐβίοτος, καὶ τὴν φωνὴν ἔχει λαμπράν. Αἱ δ' ἀκανθίδες [o]κακόβιοι [p]καὶ κακόχροοι, φωνὴν μέντοι λιγυρὰν ἔχουσιν.

Τῶν δ' ἐρωδιῶν ὁ μὲν πέλλος, ὥσπερ εἴρηται, ὀχεύει μὲν 18
χαλεπῶς, εὐμήχανος δὲ καὶ δειπνοφόρος καὶ ἔπαγρος, ἐργάζεται δὲ τὴν ἡμέραν· τὴν μέντοι [q]χρόαν ἔχει φαύλην καὶ τὴν κοιλίαν [r]ἀεὶ ὑγράν. Τῶν δὲ λοιπῶν δύο (τρία γὰρ γένη ἐστὶν αὐτῶν) ὁ μὲν λευκὸς τήν [s]τε χρόαν ἔχει καλήν, καὶ [t]ὀχεύει ἀσινῶς, καὶ νεοττεύει καὶ τίκτει καλῶς [v]ἐπὶ τῶν δένδρων, νέμεται [w]δ' [x]ἔλη καὶ [y]λίμνας καὶ πεδία καὶ λειμῶνας. Ὁ δ' ἀστερίας ὁ ἐπικαλούμενος [z]ὄκνος μυθολογεῖται μὲν γενέσθαι ἐκ δούλων τὸ ἀρχαῖον, ἔστι δὲ κατὰ τὴν ἐπωνυμίαν τούτων ἀργότατος.

Οἱ μὲν οὖν ἐρωδιοὶ τοῦτον [a]βιοῦσι τὸν τρόπον, ἡ δὲ καλουμένη [b]φῶϋξ ἴδιον ἔχει πρὸς τἆλλα· μάλιστα γάρ ἐστι ὀφθαλμοβόρος τῶν ὀρνίθων. Πολέμιος δὲ τῇ ἄρπῃ· καὶ γὰρ ἐκείνη [c]ὁμοιοβίοτος. Τῶν δὲ κοττύφων δύο γένη 19
ἐστίν, ὁ μὲν ἕτερος μέλας [d]καὶ πανταχοῦ ὤν, ὁ δ' ἕτερος [e]ἔκλευκος, τὸ δὲ μέγεθος ἴσος ἐκείνῳ, καὶ ἡ [f]φωνὴ παραπλησία ἐκείνῳ· ἔστι δ' οὗτος ἐν [g]Κυλλήνῃ τῆς [h]Ἀρκαδίας, ἄλλοθι δ' οὐδαμοῦ. [h]Τούτων ὅμοιος τῷ μέλανι κοττύφῳ ἐστὶ [i]λαιός, [k]τὸ μέγεθος μικρῷ ἐλάττων· οὗτος ἐπὶ τῶν πετρῶν καὶ ἐπὶ τῶν κεράμων τὰς διατριβὰς ποιεῖται, τὸ δὲ ῥύγχος [l]οὐ φοινικοῦν ἔχει καθάπερ ὁ κόττυφος. Κιχλῶν 20

[m] τι] τὸ A[a].C[a]. [n] εὐβίωτος A[a]. [o] κακόβιοι] καὶ κωβιοὶ P.A[a].C[a].E[a]. [p] καὶ om. P. [q] χροιὰν P.D[a].E[a]. [r] ἀεὶ] ἔχει A[a]. [s] τε om. A[a].C[a]. [t] ὀχεύουσιν ὡς καὶ P.C[a].E[a]. [v] ἐπί τῳ τῶν C[a]. [w] δ'] δ' ἐν P.A[a].C[a]. [x] ἔλει A[a].C[a]. [y] λίμναις καὶ πεδίῳ A[a]. [z] ὀκνὸς P.E[a]. [a] τὸν τρόπον βιοῦσιν P.C[a].D[a].E[a]. [b] φώϋξ P.C[a], θῶϋξ D[a]. [c] ὁμοιοβίωτος P.C[a], ὁμοιοβίωτον E[a], ὁμοιοβοίωτος A[a]. [d] καὶ] τε καὶ D[a]. [e] λευκὸς A[a].C[a]. [f] φώκη A[a]. [g] κυλλήνῃ A[a].C[a].E[a]. [h] τούτων] τούτων δ' A[a]. [i] λαιός] δὲ βαιός P.D[a].E[a]. [k] τὸ] τὸ δὲ D[a]. [l] οὐ om. A[a].

Digitized by Google

δ' εἴδη τρία, ἡ μὲν [m] ἰξοβόρος· αὕτη δ' οὐκ ἐσθίει ἀλλ' [n] ἢ ἰξὸν καὶ [o] ῥητίνην, τὸ δὲ μέγεθος ὅσον κίττα ἐστίν. [p] Ἑτέρα τριχάς· αὕτη δ' ὀξὺ φθέγγεται, τὸ δὲ μέγεθος ὅσον κόττυφος. [q] Ἄλλη δ' [r] ἣν καλοῦσί τινες ἰλιάδα, ἐλαχίστη [s] τε τούτων καὶ ἥττον ποικίλη.

21 [t] Ἔστι δέ τις πετραῖος ᾧ ὄνομα [t] κύανος· οὗτος ὁ ὄρνις [v] ἐν Νισύρῳ μάλιστά ἐστι, ποιεῖται δ' ἐπὶ τῶν πετρῶν τὰς διατριβάς. Τὸ δὲ μέγεθος κοττύφου μὲν [w] ἐλάττων, σπίζης δὲ [x] μείζων μικρῷ. Μεγαλόπους δέ, καὶ πρὸς τὰς πέτρας προσαναβαίνει. [y] Κυανοῦς ὅλος· τὸ δὲ ῥύγχος ἔχει [z] λεπτὸν

22 [a] καὶ μακρόν, σκέλη δὲ βραχέα [b] τῇ πίπῳ παρόμοια. [c] Ὁ δὲ χλωρίων χλωρὸς [c] ὅλος· οὗτος τὸν χειμῶνα οὐχ ὁρᾶται, περὶ δὲ [d] τὰς τροπὰς τὰς θερινὰς φανερὸς μάλιστα γίνεται, ἀπαλλάττεται δ' ὅταν [e] Ἀρκτοῦρος ἐπιτέλλῃ. Τὸ δὲ μέ-2 γεθός ἐστιν ὅσον τρυγών. [f] Ὁ δὲ [e] μαλακοκρανεὺς ἀεὶ ἐπὶ τὸ αὐτὸ καθιζάνει, καὶ ἁλίσκεται ἐνταῦθα. Τὸ δὲ εἶδος, [f] κεφαλὴ μὲν μεγάλη χονδρότυπος, τὸ δὲ μέγεθος [w] ἐλάττων κίχλης μικρῷ· στόμα δ' εὔρωστον, μικρόν, στρογγύλον· τὸ δὲ χρῶμα σποδοειδὴς [g] ὅλος· [h] εὔπους δὲ καὶ κακόπτερος. [f] Ἁλίσκεται δὲ μάλιστα γλαυκί.

23 [u] Ἔστι δὲ [i] καὶ [k] πάρδαλος. Τοῦτο δὲ τὸ ὄρνεόν ἐστιν ἀγελαῖον ὡς ἐπὶ τὸ πολύ, καὶ οὐκ ἔστι κατὰ ἕνα ἰδεῖν· τὸ [l] δὲ χρῶμα σποδοειδὴς ὅλος, μέγεθος δὲ [m] παραπλήσιος ἐκείνοις, εὔπους [n] δὲ καὶ οὐ κακόπτερος, φωνὴ δὲ πολλὴ καὶ 2 οὐ βαρεῖα. [o] Κολλυρίων δὲ τὰ αὐτὰ ἐσθίει τῷ κοττύφῳ· τὸ δὲ μέγεθος καὶ τούτου ταὐτὸν τοῖς [p] πρότερον· ἁλίσκεται δὲ

[m] ἰξόβολος A^a. [n] ἢ om. $A^a.C^a$. [o] ῥυτίνην D^a. [p] ἑτέρα τριχάς] ἄνευ τριχός $A^a.C^a$. [q] ἄλλην E^a. [r] ἣν] ἣν ἂν A^a. [s] τε τούτων om. A^a. [t] κυανός A^a. [v] ἐννὶ σύρῳ A^a, ἐν σκύρῳ D^a. [w] ἔλαττον P.$A^a.C^a.D^a.E^a$. et mox c. 22, 2. [x] μείζον μικρῷ P.D^a, μικρῷ μείζον C^a, μικρῷ μὲν μείζον A^a. [y] κυανὸς $A^a.C^a$. [z] χαλεπὸν C^a. [a] καὶ μακρὸν om. A^a. [b] τῇ πίπῳ] τοῖς ἵπποις $A^a.C^a$. [c] ὅλος post οὗτος A^a, om. D^a. [d] τὰς ante τρ. om. C^a. [e] μαλακοκρανὲς E^a. [f] κεφαλὴν μὲν μεγάλην P.E^a. [g] ὅλως P. [h] ἄπους A^a. εὔπους—σποδοειδὴς ὅλος om. C^a. [i] καὶ] καὶ ὁ $C^a.D^a$. [k] παρδαλός A^a. [l] χρῶμα δὲ P. [m] παραπλήσιον P.$A^a.C^a.D^a$. [n] δὲ ante καὶ om. P.$A^a.E^a$. [o] κορυλλίων A^a. [p] προτέροις D^a.

Digitized by Google

κατὰ χειμῶνα μάλιστα. Ταῦτα δὲ πάντα [q] διὰ παντὸς φανερά ἐστιν. Ἔτι δὲ [r] τὰ κατὰ πόλεις εἰωθότα μάλιστα ζῆν, κόραξ καὶ κορώνη· καὶ γὰρ ταῦτ' [s] ἀεὶ φανερά, καὶ οὐ μεταβάλλει τοὺς τόπους οὐδὲ φωλεύει.

Κολοιῶν δ' ἐστὶν εἴδη τρία, ἓν μὲν ὁ κορακίας· οὗτος ὅσον 24
κορώνη, φοινικόρυγχος· ἄλλος [t] ὁ λύκος καλούμενος· [v] ἔτι
[w] δ' ὁ μικρός, ὁ βωμολόχος. [u] Ἔστι [x] δὲ καὶ [y] ἄλλο γένος
κολοιῶν περὶ [z] τὴν Λυδίαν καὶ Φρυγίαν, ὃ στεγανόπουν
ἐστίν. [a] Κορυδάλων δ' ἐστὶ δύο γένη, ἡ μὲν ἑτέρα ἐπίγειος 25
καὶ λόφον [b] ἔχουσα, ἡ δ' ἑτέρα ἀγελαία καὶ οὐ [c] σποράς
ὥσπερ ἐκείνη, τὸ μέντοι χρῶμα ὅμοιον τῇ ἑτέρᾳ ἔχουσα, τὸ
δὲ μέγεθος [d] ἔλαττον· καὶ λόφον οὐκ ἔχει· ἐσθίεται δέ.
[e] Ἀσκαλώπας δ' ἐν τοῖς [f] κήποις ἁλίσκεται ἔρκεσιν· τὸ μέ- 26
γεθος ὅσον ἀλεκτορίς, [g] τὸ ῥύγχος μακρόν, τὸ χρῶμα ὅμοιον
[h] ἀτταγῆνι· τρέχει δὲ ταχύ, καὶ φιλάνθρωπόν ἐστιν ἐπιεικῶς. [i] Ὁ δὲ [i] ψάρος ἐστὶ ποικίλος· μέγεθος δ' [k] ἐστὶν ἡλίκον κόττυφος. Αἱ δ' ἴβιες [l] αἱ ἐν Αἰγύπτῳ εἰσὶ μὲν [m] διτ- 27
ταί, αἱ μὲν λευκαὶ αὐτῶν, αἱ δὲ [n] μέλαιναι. [l] Ἐν μὲν οὖν τῇ
ἄλλῃ Αἰγύπτῳ αἱ λευκαί εἰσι, πλὴν ἐν Πηλουσίῳ οὐ γίνονται· αἱ δὲ μέλαιναι ἐν τῇ ἄλλῃ Αἰγύπτῳ οὐκ εἰσίν, ἐν Πηλουσίῳ δ' εἰσίν. Σκῶπες δ' οἱ μὲν ἀεὶ πᾶσαν [o] ὥραν εἰσί, 28
καὶ καλοῦνται [p] ἀεισκῶπες, καὶ οὐκ ἐσθίονται διὰ τὸ ἄβρωτοι
εἶναι· ἕτεροι δὲ γίνονται ἐνίοτε τοῦ φθινοπώρου, φαίνονται
δ' ἐφ' ἡμέραν μίαν ἢ δύο τὸ πλεῖστον, καὶ εἰσὶν εὐώδιμοι καὶ
σφόδρα εὐδοκιμοῦσιν. Καὶ διαφέρουσι τῶν ἀεισκωπῶν κα- 2
λουμένων οὗτοι [q] ἄλλῳ μὲν ὡς εἰπεῖν οὐδενί, τῷ δὲ πάχει·
καὶ οὗτοι μέν εἰσιν ἄφωνοι, ἐκεῖνοι δὲ φθέγγονται. Περὶ

[q] διὰ] οὐ διὰ Da. [r] τὰ om. P.Aa.Ca.Ea. [s] ἀεὶ] εἰσὶ Aa. [t] ὁ] δὲ ὁ Aa.Ca. [v] ἔστι P.Ca.Ea. [w] δ' ὁ] ὁ Ea, om. P.Aa.Ca. [x] δὲ] δέ τι P.Ea. [y] ἄλλο] ἄλλο τι Da. [z] τὴν om. Ea. [a] κορυδάλλων P.Aa.Ca. [b] ἔχουσα] οὐκ ἔχουσα Aa.Ca. [c] σποράδην Aa.Ca. [d] ἐλάττων C. [e] ἀσκάλωπας P.Ea, ἀσκόλοπας Ca, ἀσκολόπας Aa. [f] κήπων rc. Aa, κόλποις P. [g] τὸ δὲ ῥύγχος Aa. [h] ἀτταλῆνι· τρέχει δὲ καὶ ταχύ Aa. [i] ψὰρ Da. [k] ἐστὶν om. Da. [l] αἱ ante ἐν om. Ea. [m] διττά Aa. [n] μέλανες P. [o] ὥραν] τὴν ὥραν Aa.Ca. [p] ἀεὶ σκῶπες Ca. [q] ἀλλ' ὁ μὲν ὡς εἰπεῖν οὐθὲν Aa.

Digitized by Google

δὲ γενέσεως αὐτῶν ἥτις ἐστίν, οὐθὲν ὦπται, πλὴν [r] ὅτι τοῖς ζεφυρίοις [s] φαίνονται· τοῦτο δὲ φανερόν.

29 [t] Ὁ δὲ κόκκυξ, ὥσπερ εἴρηται ἐν ἑτέροις, οὐ ποιεῖ [t] νεοττιάν, ἀλλ' ἐν ἀλλοτρίαις τίκτει [t] νεοττιαῖς, μάλιστα μὲν ἐν ταῖς [v] τῶν [w] φαβῶν καὶ ἐν [x] ὑπολαΐδος καὶ κορύδου χαμαί, ἐπὶ δένδρου δ' [y] ἐν τῇ τῆς χλωρίδος καλουμένης [t] νεοττιᾷ.

2 Τίκτει μὲν οὖν ἓν ᾠόν, ἐπῳάζει δ' οὐκ αὐτός, ἀλλ' ἐν οὗ αν τέκῃ νεοττιᾷ, οὗτος ὁ ὄρνις [z] ἐκκολάπτει καὶ τρέφει, καὶ [a] ὡς φασίν, ὅταν αὐξάνηται ὁ τοῦ κόκκυγος νεοττός, ἐκβάλλει τὰ αὐτῆς, καὶ [b] ἀπόλλυνται οὗτως. Οἱ δὲ λέγουσιν ὡς [c] καὶ ἀποκτείνασα [c] ἡ τρέφουσα δίδωσι [d] καταφαγεῖν· διὰ [e] γὰρ τὸ καλὸν εἶναι τὸν [f] τοῦ κόκκυγος νεοττὸν ἀποδοκιμάζει τὰ

3 αὐτῆς. Τὰ μὲν οὖν πλεῖστα τούτων ὁμολογοῦσιν αὐτόπται γεγενημένοι τινές· περὶ δὲ τῆς φθορᾶς τῆς τῶν νεοττῶν τῆς ὄρνιθος οὐχ ὡσαύτως πάντες λέγουσιν, ἀλλ' οἱ μέν φασιν αὐτὸν ἐπιφοιτῶντα τὸν κόκκυγα κατεσθίειν τὰ τῆς ὑποδεξαμένης ὄρνιθος [g] νεόττια, οἱ δὲ διὰ τὸ τῷ μεγέθει ὑπερέχειν τὸν νεοττὸν τοῦ κόκκυγος [h] ὑποκάπτοντα τὰ προσφερόμενα φθάνειν, ὥστε λιμῷ τοὺς ἑτέρους ἀπόλλυσθαι νεοττούς, οἱ δὲ [i] κρείττω ὄντα [k] ἀποκτιννύναι συντρεφόμενον αὐτοῖς. Δοκεῖ δ' ὁ κόκκυξ φρόνιμον ποιεῖσθαι τὴν τέκνωσιν· διὰ γὰρ τὸ συνειδέναι αὑτῷ τὴν δειλίαν καὶ ὅτι οὐκ ἂν δύναιτο βοηθῆσαι, διὰ τοῦτο ὥσπερ ὑποβολιμαίους [l] ποιεῖ τοὺς ἑαυτοῦ νεοττούς, ἵνα σωθῶσιν. Τὴν γὰρ δειλίαν ὑπερβάλλει τοῦτο τὸ ὄρνεον· τίλλεται γὰρ ὑπὸ τῶν μικρῶν ὀρνέων, καὶ φεύγει

30 αὐτά.

Οἱ δ' ἄποδες, οὓς καλοῦσί τινες [m] κυψέλους, ὅτι μὲν

[r] ὅτι] ἔτι P.A[a].C[a].E[a]. [s] φαίνονται τοῦτο δὲ] φαίνεται δὲ τοῦτο A[a].C[a]. [t] νεοττείαν et mox νεοττείαις et infra νεοττείᾳ A[a]. [v] τῶν om. C[a]. [w] φάβων P, βαφῶν A[a]. [x] ὑπολλίδος P.E[a]. [y] ἐν] ἐπὶ D[a]. [z] ἐγκολάπτει E[a]. [a] ὡς om. P.A[a].C[a].E[a]. [b] ἀπόλλυται A[a].C[a]. [c] καὶ et mox ἡ τρέφουσα om. P.A[a].C[a].E[a]. [d] φαγεῖν D[a]. [e] τὸ γὰρ P. [f] τοῦ om. C[a]. [g] νεοττίᾳ P. [h] ὑποκάμπτοντα P.D[a].E[a], om. A[a]. [i] κρείττον' C[a], κρεῖττον A[a]. [k] ἀποτιννύναι P. [l] ποιεῖν A[a]. [m] κυψέλους et mox κυψελλίσιν A[a].

Digitized by Google

ὅμοιοι ταῖς χελιδόσιν εἰσίν, εἴρηται πρότερον· οὐ γὰρ ῥᾴδιον γνῶναι πρὸς τὴν χελιδόνα, πλὴν τῷ τὴν κνήμην ἔχειν δασεῖαν. Οὗτοι νεοττεύουσιν ἐν [m]κυψελίσιν ἐκ [n]πηλοῦ πεπλασμέναις [o]μακραῖς, ὅσον [p]εἴσδυσιν ἐχούσαις. [1]Ἐν στεγνῷ δὲ ποιεῖται τὰς [q]νεοττιὰς ὑπὸ πέτραις καὶ σπηλαίοις, ὥστε καὶ τὰ θηρία καὶ τοὺς ἀνθρώπους διαφεύγειν. [2]Ὁ δὲ καλούμενος αἰγοθήλας ἔστι μὲν ὀρεινός, τὸ [r]δὲ μέγεθος κοττύφου [s]μὲν [t]μικρῷ [v]μείζων, κόκκυγος δ' [v]ἐλάττων. Τίκτει μὲν οὖν ᾠὰ δύο ἢ τρία τὸ πλεῖστον, τὸ δὲ ἦθός ἐστι [w]βλακικός. Θηλάζει δὲ τὰς αἶγας προσπετόμενος, ὅθεν [3] καὶ τοὔνομ' εἴληφεν· φασὶ δ', ὅταν θηλάσῃ τὸν [x]μαστόν, ἀποσβέννυσθαί τε καὶ τὴν αἶγα ἀποτυφλοῦσθαι. [4]Ἔστι δ' οὐκ [y]ὀξυωπὸς τῆς ἡμέρας, ἀλλὰ τῆς νυκτὸς βλέπει. [31] Οἱ δὲ κόρακες ἐν τοῖς μικροῖς χωρίοις, καὶ ὅπου μὴ ἱκανὴ τροφὴ πλείοσι, δύο [z]μόνοι γίνονται· καὶ τοὺς ἑαυτῶν νεοττούς, ὅταν οἱοί τ' ὦσιν ἤδη πέτεσθαι, τὸ μὲν πρῶτον ἐκβάλλουσιν, ὕστερον δὲ καὶ ἐκ τοῦ τόπου [a]ἐκδιώκουσιν. Τίκτει δ' ὁ κόραξ καὶ τέτταρα καὶ πέντε. [2]Περὶ δὲ τοὺς χρόνους ἐν [b]οἷς ἀπώλοντο οἱ [c]Μηδίου ξένοι ἐν Φαρσάλῳ, ἐρημία ἐν τοῖς τόποις τοῖς περὶ [1]Ἀθήνας καὶ [d]Πελοπόννησον ἐγένετο κοράκων, ὡς ἐχόντων αἴσθησίν [e]τινα τῆς παρ' ἀλλήλων [f]δηλώσεως.

Τῶν δ' ἀετῶν ἐστὶ πλείονα γένη, [32] ἓν μὲν ὁ καλούμενος πύγαργος· οὗτος κατὰ τὰ πεδία καὶ τὰ ἄλση καὶ περὶ τὰς πόλεις γίνεται· ἔνιοι δὲ καλοῦσιν νεβροφόνον αὐτόν. [g]Πέτεται δὲ καὶ εἰς τὰ ὄρη καὶ εἰς τὴν ὕλην διὰ τὸ θάρσος· τὰ δὲ λοιπὰ γένη ὀλιγάκις εἰς πεδία καὶ εἰς ἄλση φοιτᾷ. [2]Ἕτερον δὲ γένος [h]ἀετοῦ ἐστὶν ὁ [i]πλάγγος καλεῖται, δεύτερος

[n] πολλοῦ P. [o] μακρὰς C^a. [p] εἰσδύσεις $A^a.C^a$. [q] νεοττείας $P.A^a.D^a$. [r] δὲ om. P. [s] μὲν om. $P.A^a.C^a.E^a$. [t] μικροῦ C^a. [v] μεῖζον et mox ἔλαττον A^a. [w] βαλακκικός P. [x] μασθὸν $P.A^a$. [y] ὀξυωπὸς $P.D^a$. [z] μόνοι] μὲν οἷον $A^a.C^a$. [a] διώκουσι D^a [b] ᾧ P.D^a. [c] μηδείου $P.E^a$. [d] πελοπόνησον D^a. [e] τινα om. E^a. [f] δηδώσεως E^a. [g] πέταται P, πετᾶται $A^a.C^a$. [h] αὐτοῦ P. [i] πλάνος A^a.

Digitized by Google

μεγέθει καὶ ῥώμῃ· οἰκεῖ δὲ [k] βήσσας καὶ [l] ἄγκη καὶ λίμνας, ἐπικαλεῖται δὲ [m] νηττοφόνος καὶ [n] μορφνός· οὗ καὶ [v] Ὅμηρος μέμνηται ἐν τῇ τοῦ Πριάμου ἐξόδῳ. [v] Ἕτερος δὲ μέλας τὴν χρόαν καὶ μέγεθος ἐλάχιστος, [o] κράτιστος τούτων· οὗτος οἰκεῖ ὄρη καὶ ὕλας, καλεῖται δὲ [p] μελαναέτος καὶ [q] λαγωφόνος.
3 Ἐκτρέφει δὲ [r] μόνος [s] τὰ τέκνα οὗτος καὶ ἐξάγει. [u] Ἔστι δὲ ὠκυβόλος καὶ εὐθήμων καὶ ἄφθονος καὶ ἄφοβος καὶ μάχιμος καὶ εὔφημος· οὐ γὰρ μινυρίζει οὐδὲ [t] λέληκεν. [v] Ἔτι δ' ἕτερον γένος [w] περκνόπτερος, [x] λευκὴ κεφαλή, μεγέθει δὲ μέγιστος, πτερὰ δὲ βραχύτατα καὶ [y] οὐροπύγιον πρόμηκες, γυπὶ
4 ὅμοιος· [z] ὀρειπέλαργος καλεῖται καὶ [a] ὑπάετος. Οἰκεῖ δ' ἄλση, τὰ μὲν [b] κακὰ ταὐτὰ ἔχων τοῖς ἄλλοις, τῶν δ' ἀγαθῶν οὐδέν· ἁλίσκεται γὰρ καὶ διώκεται ὑπὸ κοράκων καὶ τῶν ἄλλων· βαρὺς γὰρ καὶ κακόβιος καὶ τὰ τεθνεῶτα φέρων, [c] πεινῇ δ' [d] ἀεὶ καὶ [e] βοᾷ καὶ μινυρίζει. [v] Ἕτερον δὲ γένος ἐστὶν ἀετῶν
5 οἱ καλούμενοι [f] ἁλιάετοι. Οὗτοι δ' ἔχουσιν αὐχένα τε μέγαν καὶ παχὺν καὶ πτερὰ καμπύλα, [y] οὐροπύγιον δὲ πλατύ· οἰκοῦσι δὲ περὶ θάλατταν καὶ ἀκτάς, ἁρπάζοντες δὲ καὶ οὐ δυνάμενοι φέρειν πολλάκις καταφέρονται εἰς βυθόν. [u] Ἔτι δ'
6 ἄλλο γένος ἐστὶν [g] ἀετῶν οἱ καλούμενοι γνήσιοι. Φασὶ [h] δὲ [i] τούτους μόνους καὶ τῶν ἄλλων ὀρνίθων γνησίους εἶναι· τὰ γὰρ ἄλλα γένη [k] μέμικται καὶ μεμοίχευται ὑπ' ἀλλήλων, καὶ τῶν [g] ἀετῶν καὶ [l] τῶν ἱεράκων καὶ τῶν ἐλαχίστων. [u] Ἔστι δ' οὗτος μέγιστος τῶν [g] ἀετῶν ἁπάντων, μείζων [m] τε τῆς φήνης, τῶν δ' ἀετῶν καὶ ἡμιόλιος, χρῶμα ξανθός. Φαίνεται
7 δ' ὀλιγάκις, ὥσπερ [n] ἡ καλουμένη [o] κύμινδις. [v] Ὥρα δὲ τοῦ

[k] βόσσας P. [l] ἄγγη Da. [m] νοττοφόνος Ea. [n] μορφός vel μόρφος P.Aa.Ca.Ea. [o] κράτιστος] καὶ κράτιστος Da. [p] μελαναετὸς P.Ea, μελαιναετὸς Da. [q] λαγοφόνος P.Ea. [r] μόνον Aa. [s] οὗτος τὰ τέκνα Da. [t] λέλυκεν Aa. [v] ἔστι P.Aa.Da. [w] περκόπτερος P.Aa.Da.Ea. [x] λευκῇ κεφαλῇ Aa.Ca. [y] utrobique οὐρροπύγιον Ca, ὀρροπύγιον P.Da.Ea. [z] ὀρειπελαργὸς P.Da. [a] ὑπαιετός P.Da. [b] κατὰ P.Ca.Ea. [c] πείνη Ca, πίνει Aa, πονεῖ P.Da.Ea. [d] ἂν Ea. [e] βία Aa.Ca. [f] ἁλιαετοὶ P.Da.Ea, ἁλιαίετοι Aa.Ca. [g] αἰετῶν P.Da.Ea. [h] δὲ om. Ea. [i] τοὺς Aa. [k] μικτὰ Aa.Ca. [l] τῶν ante ἱερ. om. Ca. [m] τε om. Da. [n] ἡ] καὶ ἡ Da. [o] κύβινδις P.Ca.Da.Ea, κύβινδος Aa.

Digitized by Google

ἐργάζεσθαι ἀετῷ καὶ πέτεσθαι ἀπ' ἀρίστου μέχρι δείλης· τὸ γὰρ ἔωθεν κάθηται μέχρι ἀγορᾶς πληθυούσης. Γηράσκουσι δὲ τοῖς ἀετοῖς τὸ ῥύγχος αὐξάνεται τὸ ἄνω γαμψούμενον ἀεὶ μᾶλλον, καὶ τέλος λιμῷ ἀποθνήσκουσιν. [p]Ἐπιλέγεται δέ τις καὶ μῦθος, ὡς τοῦτο πάσχει διότι ἄνθρωπός ποτ' ὢν ἠδίκησε ξένον. [q]Ἀποτίθεται δὲ τὴν περιττεύουσαν 8
τροφὴν τοῖς [q]νεοττοῖς· διὰ [r]γὰρ [s]τὸ μὴ εὔπορον [t]εἶναι καθ' ἑκάστην ἡμέραν αὐτὴν πορίζεσθαι, ἐνίοτε οὐκ ἔχουσιν ἔξωθεν κομίζειν. Τύπτουσι δὲ ταῖς πτέρυξι καὶ τοῖς ὄνυξιν ἀμύττουσιν, ἄν τινα λάβωσι σκευωρούμενον περὶ τὰς νεοττιάς. Ποιοῦνται δ' αὐτὰς οὐκ ἐν πεδινοῖς τόποις ἀλλ' ἐν ὑψηλοῖς, 9
μάλιστα μὲν ἐν πέτραις ἀποκρήμνοις, οὐ μὴν ἀλλὰ καὶ ἐπὶ δένδρων. Τρέφουσι δὲ τοὺς νεοττοὺς ἕως ἂν δυνατοὶ γένωνται πέτεσθαι· τότε δ' ἐκ τῆς νεοττιᾶς αὐτοὺς ἐκβάλλουσι καὶ ἐκ τοῦ τόπου τοῦ περὶ [v]αὐτὴν παντὸς ἀπελαύνουσιν. [w]Ἐπέχει γὰρ ἓν ζεῦγος ἀετῶν πολὺν τόπον· διό[w]περ οὐκ ἐᾷ πλησίον [x]αὐτῶν ἄλλους αὐλισθῆναι. Τὴν δὲ θήραν [y]ποιεῖ- 10
ται οὐκ ἐκ τῶν σύνεγγυς τόπων τῆς νεοττιᾶς, ἀλλὰ συχνὸν [z]ἀποπτάς. [v]Ὅταν δὲ [a]κυνηγήσῃ καὶ ἄρῃ, τίθησι καὶ οὐκ εὐθὺς φέρει, ἀλλ' [b]ἀποπειραθεὶς τοῦ βάρους ἀφίησιν. Καὶ τοὺς δασύποδας δ' οὐκ εὐθὺς λαμβάνει, ἀλλ' εἰς τὸ πεδίον ἐάσας προελθεῖν· καὶ καταβαίνει [c]δ' οὐκ εὐθὺς εἰς τὸ ἔδαφος, ἀλλ' ἀεὶ ἀπὸ τοῦ μείζονος [d]ἐπὶ τὸ ἔλαττον κατὰ μικρόν. [u]Ἀμφω 11
δὲ ταῦτα [e]ποιεῖ πρὸς ἀσφάλειαν τοῦ μὴ ἐνεδρεύεσθαι. Καὶ ἐφ' [f]ὑψηλῶν καθίζει διὰ τὸ βραδέως αἴρεσθαι ἀπὸ τῆς γῆς. [x]Ὑψοῦ δὲ [g]πέτεται, ὅπως ἐπὶ πλεῖστον τόπον [h]καθορᾷ· διόπερ θεῖον [i]οἱ ἄνθρωποι φασιν εἶναι μόνον τῶν ὀρνέων.

[p] λέγεται D^a. [q] νεοττοῖς ἐν ταῖς νεοττείαις· διὰ $A^a.C^a$. [r] γὰρ om. D^a. [s] μὴ τὸ P. [t] εἶναι καὶ καθ' $A^a.C^a$. [v] αὐτὸν $P.C^a.D^a.E^a$, αὐτῶν A^a. [w] περ om. A^a. [x] αὐτοῦ ἄλλους ἀλισθῆναι A^a. [y] ποιοῦνται $P.A^a.C^a.D^a.E^a$. [z] αὐτόπτας A^a, αὐτόπταις C^a. [a] κινήσῃ $P.A^a.C^a.E^a$. [b] προπειραθεὶς E^a. [c] δ' om. $P.C^a.D^a$. [d] ἐπὶ] εἰς $A^a.C^a$. [e] ποιεῖ om. D^a. [f] ὑψηλοῦ D^a. [g] πετᾶται C^a. [h] καθορᾶται C^a. [i] φασιν οἱ ἄνθρωποι A^a.

Digitized by Google

12 Πάντες δ' οἱ γαμψώνυχοι [k] ἥκιστα [l] καθιζάνουσιν ἐπὶ [m] πέτραις διὰ τὸ τῇ γαμψότητι ἐμπόδιον εἶναι τὴν σκληρότητα. Θηρεύει δὲ [n] λαγὼς καὶ νεβροὺς καὶ ἀλώπεκας καὶ τὰ λοιπά, ὅσων κρατεῖν οἷός [o] τ' ἐστίν. Μακρόβιος δ' ἐστίν· δῆλον δὲ τοῦτο ἐκ [p] τοῦ τὴν νεοττιὰν τὴν [q] αὐτῶν [r] ἐπὶ πολὺ διαμένειν.

33 Ἐν δὲ [s] Σκύθαις [t] ὀρνίθων γένος ἐστὶν [v] οὐκ ἔλαττον ὠτίδος· τοῦτο τίκτει δύο νεοττούς, οὐκ ἐπικάθηται δέ, ἀλλ' ἐν δέρματι λαγωοῦ ἢ ἀλώπεκος ἐγκρύψαν ἐᾷ· ἐπ' ἄκρῳ δὲ τῷ δένδρῳ φυλάττει, ὅταν μὴ τύχῃ θηρεύων· [w] κἂν τις ἀναβαίνῃ, μάχεται καὶ τύπτει ταῖς πτέρυξιν, ὥσπερ οἱ ἀετοί.

34 Γλαῦκες δὲ καὶ νυκτικόρακες, καὶ τὰ λοιπὰ ὅσα τῆς ἡμέρας ἀδυνατεῖ βλέπειν, τῆς νυκτὸς μὲν θηρεύοντα τὴν τροφὴν αὐτοῖς [x] πορίζεται, οὐ κατὰ πᾶσαν δὲ τὴν νύκτα τοῦτο ποιεῖ, ἀλλ' [y] ἄχρι ἑσπερίου καὶ περὶ ὄρθρον· θηρεύει δὲ μῦς καὶ
2 σαύρας καὶ [z] σφονδύλας καὶ τοιαῦτ' ἄλλα ζῳδάρια. Ἡ δὲ καλουμένη φήνη ἐστὶν εὔτεκνος καὶ [a] εὐβίοτος καὶ δειπνοφόρος καὶ ἤπιος, καὶ τὰ τέκνα [b] ἐκτρέφει καὶ τὰ αὐτῆς καὶ [c] τὰ τοῦ ἀετοῦ. Καὶ γὰρ ταῦθ' ὅταν [d] ἐκβάλλῃ [e] ἐκεῖνος, ἀναλαβοῦσα τρέφει· ἐκβάλλει γὰρ ὁ ἀετὸς πρὸ ὥρας, ἔτι βίου δεό-
3 μενα καὶ οὔπω δυνάμενα πέτεσθαι. Ἐκβάλλειν δὲ δοκεῖ ὁ ἀετὸς τοὺς νεοττοὺς διὰ φθόνον· φύσει γάρ ἐστι φθονερὸς καὶ ὀξύπεινος, ἔτι δὲ ὀξυλαβής. Λαμβάνει δὲ μέγα, ὅταν λάβῃ. Φθονεῖ οὖν τοῖς [f] νεοττοῖς ἀδρυνομένοις, ὅτι φαγεῖν
4 ἀγαθοὶ γίνονται, καὶ σπᾷ τοῖς ὄνυξιν. Μάχονται δὲ καὶ οἱ νεοττοὶ [g] ἑαυτοῖς περὶ τῆς ἕδρας καὶ τῆς τροφῆς· ὁ δ' ἐκ-

k ἥκιστα] οὐχ ἥκιστα P. l καθίζουσιν Ea. m πέτρᾳ P.Da. n λαγοὺς P. o τ' ἐστίν] τ' ἦ Aa, τ' ἦν Ca, τ' ὦν P. p τοῦ πολὺν χρόνον τὴν Da. q αὐτὴν P.Da. r ἐπὶ πολὺ] δὴ P.Ea, om. Da. s σκυθίαις P.Aa.Ca.Ea. t γένος ἐστὶν ὀρνίθων Da. v οὐκ ἔλαττον ὠτίδος] αἱ ὠτίδες Ea, αἱ ὀτίδες P. w κἂν] καὶ κἂν Ca. x πορίζονται Da. y μέχρι Aa.Ca. Athenæus ἀλλὰ τὴν ἀρχέσπερον, Schneiderus ἀλλὰ τὴν ἀκρέσπερον. z σφοδύλας Ea. a εὐβίωτος Aa. b ἐκτρέφει] εὖ τρέφει Aa. c τὰ om. Aa. d ἐκβάλῃ Ca. e ἐκείνη P.Aa.Ca.Ea. f νεοττοῖς καὶ ἀδρ. P.Aa.Ca.Ea. g ἑαυτοῖς rc. Aa, καὶ ἑαυτοῖς Da, καὶ αὑτοῖς P.Ea, καὶ αὐτοῖς Aa.Ca.

Digitized by Google

βάλλει καὶ κόπτει αὐτούς· οἱ δ' ἐκβαλλόμενοι βοῶσι, καὶ
h οὕτως ὑπολαμβάνει αὐτοὺς ἡ φήνη. i Ἡ δὲ φήνη ἐπάργεμός 5
τ' ἐστὶ καὶ πεπήρωται τοὺς ὀφθαλμούς· ὁ δ' k ἁλιάετος
l ὀξυωπέστατος μέν ἐστι, καὶ τὰ τέκνα ἀναγκάζει ἔτι ψιλὰ
ὄντα πρὸς τὸν ἥλιον βλέπειν, καὶ τὸν μὴ βουλόμενον κόπτει
καὶ στρέφει, m καὶ ὁποτέρου ἂν ἔμπροσθεν οἱ ὀφθαλμοὶ δα-
κρύσωσιν, τοῦτον ἀποκτείνει, τὸν δ' ἕτερον ἐκτρέφει. Διατρί- 6
βει δὲ περὶ n θάλατταν, καὶ ζῇ θηρεύων τοὺς περὶ τὴν o θά-
λατταν ὄρνιθας, ὥσπερ εἴρηται. Θηρεύει δ' ἀπολαμβάνων
καθ' ἕνα, παρατηρῶν ἀναδυόμενον ἐκ τῆς θαλάττης. p Ὅταν
δ' ἴδῃ ὁ ὄρνις ἀνακύπτων τὸν ἁλιάετον, πάλιν φοβηθεὶς κα-
ταδύεται ὡς q ἑτέρᾳ ἀνακύψων· ὁ δὲ διὰ τὸ ὀξὺ ὁρᾶν ἀεὶ
πέτεται, ἕως ἂν ἀποπνίξῃ ἢ λάβῃ μετέωρον. r Ἀθρόαις γὰρ
οὐκ ἐπιχειρεῖ· s ῥαίνουσαι γὰρ ἀπερύκουσι ταῖς πτέρυξιν.

Οἱ δὲ t κέπφοι ἁλίσκονται τῷ ἀφρῷ· t κάπτουσι γὰρ 35
αὐτόν, διὸ προσραίνοντες θηρεύουσιν. u Ἔχει δὲ τὴν μὲν
ἄλλην σάρκα εὐώδη, τὸ δὲ πυγαῖον μόνων v θινὸς ὄζει. Γί-
νονται δὲ πίονες.

Τῶν δ' ἱεράκων κράτιστος μὲν ὁ τριόρχης, δεύτερος w δ' 36
ὁ αἰσάλων, τρίτος ὁ x κίρκος. y Ὁ δὲ ἀστερίας καὶ ὁ φασσο-
φόνος καὶ ὁ y πτέρνις ἀλλοῖοι. Οἱ δὲ z πλατύτεροι ἱέρακες
ὑποτριόρχαι καλοῦνται, ἄλλοι δὲ a πέρκοι καὶ σπιζίαι, οἱ δὲ
λεῖοι καὶ οἱ φρυνολόγοι· οὗτοι εὐβιώτατοι καὶ χθαμαλο-
πτῆται. Γένη δὲ τῶν ἱεράκων φασί τινες εἶναι οὐκ ἐλάττω 2
τῶν δέκα, διαφέρουσι b δ' ἀλλήλων· οἱ μὲν γὰρ αὐτῶν ἐπὶ
c τῆς γῆς καθημένην τύπτουσι τὴν περιστερὰν καὶ συναρπά-
ζουσι, πετομένης δ' οὐ θιγγάνουσιν· οἱ δ' ἐπὶ δένδρου μὲν ἤ
τινος ἄλλου καθημένην θηρεύουσιν, ἐπὶ τῆς γῆς δ' οὖσης ἢ με-

h οὕτως om. P.A^a.C^a.E^a. i ἡ δὲ φήνη ἐπάργεμος] πεπηρωμένος A^a.C^a. k ἀετὸς P.D^a.E^a. l ὀξυπετέστατος A^a. m καὶ ὁπ.—ἐκτρέφει om. C^a. n θάλασσαν D^a. o θάλασσαν P. p ἕτερα C^a. q γὰρ] δὲ D^a. r νέουσαι A^a.C^a. s κέμφοι P.A^a.C^a.E^a. t κόπτουσι P.D^a.E^a. v θίνος C^a. w δὲ σάλων P.A^a.C^a.E^a. x κίρχος P. y πτερνὶς A^a.C^a, πτέρνης E^a. z πλατυτεροπτέρακες ὑπ. A^a. a πέρκαι καὶ σπίζαι A^a, b δ'] δὲ καὶ A^a. c τῆς om. E^a.

Digitized by Google

τεώρου οὐχ ἅπτονται· οἱ δ' οὔτ' ἐπὶ τῆς γῆς οὔτ' ἐπ' ἄλλου καθημένης θιγγάνουσιν, ἀλλὰ πετομένην πειρῶνται λαμβά-
3 νειν. Φασὶ δὲ καὶ τὰς περιστερὰς γινώσκειν ἕκαστον τούτων τῶν γενῶν, ὥστε [d] προσπετομένων, ἐὰν μὲν ᾖ τῶν μετεωροθήρων, μένειν ὅπου ἂν καθήμεναι τύχωσιν, ἐὰν δ' ᾖ τῶν χαμαιτύπων ὁ [e] προσπετόμενος, οὐχ ὑπομένειν ἀλλ' ἀναπέτε-
4 σθαι. Ἐν δὲ Θρᾴκῃ τῇ καλουμένῃ ποτὲ [f] Κεδρειπόλει ἐν τῷ ἕλει θηρεύουσιν οἱ ἄνθρωποι τὰ ὀρνίθια κοινῇ μετὰ τῶν ἱεράκων· οἱ μὲν γὰρ ἔχοντες ξύλα σοβοῦσι τὸν κάλαμον [g] καὶ τὴν ὕλην, ἵνα πέτωνται τὰ ὀρνίθια, οἱ δ' ἱέρακες ἄνωθεν ὑπερφαινόμενοι καταδιώκουσιν· ταῦτα δὲ φοβούμενα κάτω [h] πέτονται πάλιν πρὸς τὴν γῆν· οἱ δ' ἄνθρωποι τύπτοντες τοῖς ξύλοις λαμβάνουσι, [i] καὶ τῆς θήρας μεταδιδόασιν αὐ-
5 τοῖς· ῥίπτουσι γὰρ τῶν ὀρνίθων, οἱ δὲ ὑπολαμβάνουσιν. Καὶ περὶ τὴν Μαιῶτιν δὲ λίμνην τοὺς λύκους φασὶ συνήθεις εἶναι τοῖς ποιουμένοις τὴν θήραν τῶν ἰχθύων· ὅταν δὲ μὴ [k] μεταδιδῶσι, διαφθείρειν αὐτῶν τὰ δίκτυα ξηραινόμενα ἐν τῇ γῇ.

Τὰ μὲν οὖν περὶ [l] τοὺς ὄρνιθας τοῦτον ἔχει τὸν τρόπον·
37 ἔστι δὲ καὶ ἐν τοῖς θαλαττίοις ζῴοις πολλὰ τεχνικὰ θεωρῆσαι πρὸς τοὺς ἑκάστων βίους. Τά τε γὰρ θρυλούμενα περὶ τὸν βάτραχον τὸν [m] ἁλιέα καλουμένον ἔστιν ἀληθῆ, καὶ [n] τὰ περὶ
2 τὴν νάρκην. Ὁ μὲν γὰρ βάτραχος τοῖς πρὸ τῶν ὀφθαλμῶν ἀποκρεμαμένοις, ὧν τὸ μὲν μῆκός ἐστι τριχοειδές, ἐπ' ἄκρου δὲ στρογγύλον, ὥσπερ προσκείμενον ἑκατέρῳ δελέατος χάριν· ὅταν [o] οὖν ἐν τοῖς ἀμμώδεσιν ἢ θολώδεσιν ἀναταράξας κρύψῃ ἑαυτόν, ἐπαίρει τὰ τριχώδη, κοπτόντων δὲ τῶν ἰχθυδίων
3 συγκατάγει μέχριπερ [p] ἂν πρὸς τὸ στόμα προσαγάγῃ. Ἡ τε νάρκη ναρκᾶν ποιοῦσα ὧν ἂν κρατήσειν μέλλῃ [q] ἰχθύων,

[d] προπετομένων P.A[a].C[a].E[a]. [e] προπετόμενος A[a].C[a]. [f] κέδρει πόλει A[a].C[a], κέδρει πόλιος E[a], κεδρειπόλιος P, κεδρειπολιὸς D[a]. [g] καὶ] κατὰ P.A[a].C[a].E[a]. [h] πέταται P.C[a]. [i] καὶ—ὑπολαμβάνουσιν om. P.A[a].C[a].E[a]. [k] διδῶσι C[a].E[a], δίδωσι A[a]. [l] τοὺς] τὰς C[a]. [m] ἁλία C[a], ἀλία P. [n] τὰ om. P.A[a].C[a]. [o] οὖν om. D[a]. [p] ἂν] ἂν οὗ P.A[a].C[a].E[a]. [q] ἰχθυδίων D[a].

Digitized by Google

τῷ τρόπῳ ὃν ἔχει ἐν τῷ στόματι λαμβάνουσα, τρέφεται τούτοις, κατακρύπτεται δ' εἰς τὴν ἄμμον καὶ πηλόν, λαμβάνει δὲ τὰ ἐπινέοντα, ὅσα ἂν ναρκήσῃ ἐπιφερόμενα τῶν ἰχθύων· καὶ τούτου αὐτόπται γεγένηνταί τινες. Κατακρύπτει δὲ καὶ ἡ τρυγὼν [r] αὐτήν, πλὴν οὐχ ὁμοίως. Σημεῖον δ' ὅτι τοῦτον τὸν τρόπον ζῶσιν· ἁλίσκονται γὰρ ἔχοντες κεστρέας πολλάκις [s] ὄντες αὐτοὶ βραδύτατοι, τὸν τάχιστον τῶν ἰχθύων. Ἔπειτα ὁ [t] μὲν βάτραχος, ὅταν [v] μηκέτ' ἔχῃ τὰ ἐπὶ ταῖς θριξίν, ἁλίσκεται λεπτότερος· ἡ δὲ νάρκη φανερά ἐστι καὶ τοὺς ἀνθρώπους ποιοῦσα ναρκᾶν. Καθαμμίζουσι δ' [w] ἑαυτὰ καὶ ὄνος καὶ [x] βάτος καὶ ψῆττα καὶ ῥίνη, καὶ ὅταν ποιήσῃ ἑαυτὰ [y] ἄδηλα, εἶτα [z] ῥαβδεύεται τοῖς ἐν τῷ στόματι, ἃ καλοῦσιν οἱ ἁλιεῖς ῥαβδία· [a] προσέρχονται δ' [b] ὡς πρὸς φυκία ἀφ' ὧν τρέφονται. Ὅπου δ' ἂν ἀνθίας [c] ὁραθῇ, οὐκ ἔστι θηρίον· ᾧ καὶ σημείῳ χρώμενοι κατακολυμβῶσιν οἱ σπογγεῖς, καὶ καλοῦσιν ἱεροὺς ἰχθῦς τούτους· ἔοικε δὲ συμπτώματι, καθάπερ ὅπου ἂν ᾖ κοχλίας, σῦς οὐκ ἔστιν οὐδὲ πέρδιξ· κατεσθίουσι γὰρ [d] ἄμφω τοὺς κοχλίας. Ὁ δ' ὄφις ὁ θαλάττιος τὸ μὲν χρῶμα παραπλήσιον ἔχει τῷ γόγγρῳ καὶ τὸ σῶμα, πλήν ἐστιν [e] ἀμαυρότερος καὶ σφοδρότερος· ἐὰν δὲ [f] ληφθῇ καὶ ἀφεθῇ, εἰς τὴν ἄμμον καταδύεται ταχὺ τῷ ῥύγχει διατρυπήσας· ἔχει δ' ὀξύτερον τὸ στόμα τῶν ὄφεων. Ἡν δὲ καλοῦσι σκολόπενδραν, ὅταν καταπίῃ τὸ ἄγκιστρον, [g] ἐκτρέπεται τὰ ἐντὸς ἐκτός, ἕως ἂν [h] ἐκβάλῃ τὸ ἄγκιστρον· εἶθ' οὕτως [i] εἰστρέπεται πάλιν ἐντός. Βαδίζουσι δ' αἱ σκολόπενδραι πρὸς τὰ [k] κνισώδη, ὥσπερ καὶ αἱ χερσαῖαι. Τῷ μὲν οὖν στόματι οὐ δάκνουσι, τῇ δὲ [l] ἄψει καθ' ὅλον τὸ σῶμα, ὥσπερ αἱ καλούμεναι [m] κνῖδαι. Τῶν δ' ἰχθύων αἱ ὀνομαζόμεναι ἀλώπεκες

[r] ἑαυτὴν Da. [s] αὐτοὶ ὄντες Da. [t] μὲν om. Da. [v] μηκέτ' ἔχῃ τὰ] μὴ κατέχηται Aa.Ca. [w] αὐτὰ P.Ea, αὐτὰ Aa.Ca. [x] βάτος Plinius : codices βάτραχος. [y] δῆλα P.Ea. [z] ῥάβδεται Ca. [a] προσέρχονται δ'] τὰ δὲ μικρὰ ἰχθύδια προσέρχονται Da. [b] ὥσπερ πεφυκυῖαι Aa, ὡς προσπεφυκυῖαι Ca.Ea, ὡς προσπεφυκέναι P. [c] ὁραθῇ] ᾖ Da. [d] ἄμφω] πάντας rc. Aa, πάντες P.Aa. Ca.Ea. [e] μυουρότερος Da. [f] ληφθῇ Gaza, φοβηθῇ P.Aa.Ca.Da.Ea. [g] ἐντρέπεται Aa.Ca. [h] ἐκβάλλῃ P.Da. [i] ἐκτρέπεται P.Ea. [k] κνισσώδη Aa.Ca. [l] ἄψει Gaza : codices ὄψει. [m] κνίγαι P.Aa.Ea, κνεῖγαι Ca.

Digitized by Google

ὅταν αἴσθωνται [n] ὅτι τὸ ἄγκιστρον [o] καταπεπώκασι, βοηθοῦσι πρὸς τοῦτο ὥσπερ καὶ ἡ σκολόπενδρα· ἀναδραμοῦσαι γὰρ ἐπὶ πολὺ [p] πρὸς τὴν ὁρμιὰν ἀποτρώγουσιν [q] αὐτῆς· [r] ἁλίσκονται [s] γὰρ περὶ ἐνίους τόπους πολυαγκίστροις ἐν ῥοώδεσι καὶ βαθέσι τόποις. Συστρέφονται δὲ καὶ αἱ ἅμιαι, ὅταν τι θηρίον ἴδωσι, καὶ κύκλῳ [t] αὐτῶν περινέουσιν αἱ μέγισται, κἂν ἅπτηταί τινος, ἀμύνουσιν· [v] ἔχουσι δ' ὀδόντας ἰσχυρούς, καὶ ἤδη ὤπται καὶ ἄλλα καὶ [w] λάμια ἐμπεσοῦσα καὶ καθελκωθεῖσα. Τῶν δὲ ποταμίων ὁ [x] γλάνις ὁ ἄρρην περὶ [y] τὰ τέκνα ποιεῖται ἐπιμέλειαν πολλήν· ἡ [z] μὲν γὰρ θήλεια τεκοῦσα ἀπαλλάττεται, ὁ δ' ἄρρην, οὗ ἂν πλεῖστον συστῇ τοῦ κνήματος, ᾠοφυλακεῖ παραμένων, οὐδεμίαν ὠφέλειαν ἄλλην παρεχόμενος πλὴν ἐρύκων τἆλλα ἰχθύδια μὴ διαπάσωσι τὸν γόνον· καὶ τοῦτο ποιεῖ ἡμέρας καὶ τετταράκοντα καὶ πεντήκοντα, ἕως ἂν αὐξηθεὶς ὁ γόνος δύνηται διαφεύγειν ἀπὸ τῶν ἄλλων ἰχθύων. Γινώσκεται δ' ὑπὸ τῶν ἁλιέων οὗ ἂν τύχῃ ᾠοφυλακῶν· ἐρύκων γὰρ τὰ ἰχθύδια ἄττει καὶ ἦχον ποιεῖ καὶ [a] μυγμόν. Οὕτω δὲ φιλοστόργως μένει πρὸς τοῖς ᾠοῖς, ὥστε οἱ ἁλιεῖς ἐκάστοτε, ἐὰν [b] ἐν βαθείαις ῥίζαις τὰ ᾠὰ προσῇ, ἀνάγουσιν ὡς ἂν δύνωνται εἰς βραχύτατον· [c] ὁ δ' [d] ὁμοίως οὐκ ἀπολείπει τὸν γόνον, ἀλλ' ἐὰν μὲν τύχῃ, ταχέως ὑπὸ τοῦ ἀγκίστρου ἑάλω διὰ τὸ ἁρπάζειν τὰ προσιόντα τῶν [e] ἰχθυδίων, ἐὰν δ' ᾖ συνήθης καὶ ἀγκιστροφάγος, λείπει μὲν οὐδ' ὡς τὸν γόνον, τῷ [f] δ' ὀδόντι τῷ σκληροτάτῳ συνδάκνων [g] διαφθείρει τὰ ἄγκιστρα. [h] Ἅπαντα δὲ [i] καὶ τὰ [k] πλωτὰ καὶ τὰ [l] μόνιμα τούτους νέμεται τοὺς τόπους ἐν οἷς ἂν φυῶσι, καὶ τοὺς ὁμοίους τούτοις· ἡ γὰρ οἰκεία τροφὴ ἑκάστων ἐν τούτοις [m] ἐστίν. Πλανᾶται δὲ μάλιστα τὰ σαρκοφάγα·

[n] ὅτι] διατί P.A[a].C[a].E[a], ὡς corr. A[a]. [o] καταπεπτώκασι E[a]. [p] πρὸς om. E[a]. [q] αὐτό C[a]. [r] ἁλώσκονται A[a]. [s] γὰρ] δὲ D[a]. [t] αὐτὸ D[a]. [v] ἔχει P. [w] ἅμια D[a]. [x] γλανὶς C[a], γλανὴς A[a]. [y] τὰ om. P.A[a].C[a]. [z] μὲν om. P.A[a].C[a].E[a]. [a] νυγμόν P.C[a].E[a], νηγμόν A[a]. [b] ἐν om. A[a]. [c] ὁ om. A[a]. [d] ὅμως Sylburgius. [e] ἰχθύων C[a]. [f] δὲ σκληροτάτῳ ὀδόντι σ. D[a]. [g] διαφέρει A[a]. [h] πάντα A[a].C[a]. [i] καὶ om. E[a]. [k] πλοτὰ P, ποτὰ E[a]. [l] νόμιμα E[a]. [m] εἰσί A[a].

Digitized by Google

[n] πάντα δὲ σχεδόν ἐστι σαρκοφάγα πλὴν ὀλίγων, οἷον κεστρέως καὶ [o] σάλπης καὶ τρίγλης καὶ χαλκίδος. [p] Τῇ δὲ καλουμένῃ [q] φωλίδι ἡ μύξα, ἣν ἀφίησι, περιπλάττεται περὶ αὐτὴν καὶ γίνεται καθάπερ θαλάμη. Τῶν δ' ὀστρακοδέρμων καὶ ἀπόδων ὁ κτεὶς μάλιστα καὶ πλεῖστον κινεῖται δι' [r] αὑτοῦ πετόμενος· ἡ γὰρ πορφύρα ἐπὶ [s] μικρότατον προέρχεται, καὶ τὰ ὅμοια ταύτῃ. [t] Ἐκ δὲ τοῦ εὐρίπου [t] τοῦ ἐν [v] Πύρρᾳ [w] οἱ ἰχθύες [x] χειμῶνος μὲν ἐκπλέουσιν ἔξω, πλὴν κωβιοῦ, διὰ τὸ ψῦχος (ψυχρότερος γάρ [y] ἐστιν ὁ εὔριπος), ἅμα δὲ τῷ ἔαρι πάλιν εἰσπλέουσιν. Οὐ γίνεται δ' ἐν τῷ εὐρίπῳ οὔτε [z] σκάρος οὔτε [a] θρίττα οὔτε ἄλλο τῶν ἀκανθηροτέρων οὐθέν, οὐδὲ γαλεοὶ οὐδὲ ἀκανθίαι οὐδὲ κάραβοι οὐδὲ πολύποδες οὐδὲ [b] βολίταιναι οὐδ' ἄλλ' ἄττα· τῶν δ' ἐν τῷ εὐρίπῳ φυομένων οὐκ ἔστι [c] πελάγιος ὁ λευκὸς κωβιός. [d] Ἀκμάζουσι δὲ τῶν ἰχθύων οἱ μὲν ᾠοφόροι τοῦ ἔαρος, μέχρι οὗ ἂν [d] ἐκτέκωσιν, οἱ δὲ ζωοτόκοι τοῦ μετοπώρου, καὶ πρὸς τούτοις κεστρεῖς καὶ τρίγλαι καὶ τἆλλα [e] τὰ τοιαῦτα πάντα. [f] Περὶ δὲ τὴν Λέσβον καὶ τὰ πελάγια [f] πάντα καὶ τὰ εὐριπώδη τίκτει ἐν τῷ εὐρίπῳ· ὀχεύονται [g] μὲν γὰρ τοῦ μετοπώρου, τίκτουσι δὲ τοῦ ἔαρος. [h] Ἔστι δὲ καὶ τὰ σελάχη κατὰ μὲν τὸ μετόπωρον ἀναμὶξ τὰ ἄρρενα τοῖς θήλεσι κατὰ τὴν ὀχείαν, τοῦ δ' ἔαρος εἰσπλέουσι διακεκριμένα, μέχρι [h] οὗ ἂν ἐκτέκωσιν· κατὰ δὲ τὴν ὀχείαν ἁλίσκεται πολλὰ [i] συνεζευγμένα. Τῶν δὲ μαλακίων [k] πανουργότατον μὲν ἡ σηπία, καὶ [l] μόνον χρῆται τῷ [m] θόλῳ κρύψεως χάριν, καὶ οὐ μόνον φοβουμένη· ὁ δὲ πολύπους καὶ ἡ τευθὶς διὰ φόβον ἀφίησι τὸν θόλον. [n] Ἀφίησι δὲ ταῦτα πάντα οὐδέποτε ἀθρόον τὸν θόλον· καὶ ὅταν ἀφῇ,

[n] πάντα—σαρκοφάγα om. A[a].C[a]. [o] σάρπης P.A[a].C[a].E[a]. [p] τὴν δὲ καλουμένην P.A[a].D[a].E[a]. [q] φωλίδα P.D[a].E[a]. [r] ἑαυτοῦ D[a]. [s] μικρὸν D[a]. [t] τοῦ ἐν] τὰ ἐν A[a]. [v] ἐκπυρίᾳ A[a].C[a], ἐκπυρὶ P, ἐκπὺρι E[a]. [w] οἱ] οἷον A[a]. [x] χειμῶνα A[a]. [y] ἐστιν om. C[a]. [z] σάργος C[a], σαργὸς A[a]. [a] θρίσσα P.D[a].E[a]. [b] βολιταῖναι P.D[a]. [c] πελάγιον P.A[a].C[a].E[a]. [d] τέκωσιν A[a].C[a]. [e] τὰ om. A[a].C[a]. [f] περὶ et τὴν Λέσβον et πάντα om. D[a]. [g] μὲν γὰρ] δὲ P.A[a].C[a].E[a]. [h] οὗ om. D[a]. [i] συζευγνύμενα A[a].C[a]. [k] πανουργότερον P. [l] μόνῳ A[a].D[a]. [m] θορῷ et mox θορόν A[a].C[a]. [n] ἀφεῖ P. ἀφίησι—θόλον om. A[a].C[a].

Digitized by Google

20 αὐξάνεται πάλιν. Ἡ δὲ σηπία, ὥσ[o]περ εἴρηται, τῷ [p] τε [q] θόλῳ [r] πολλάκις χρῆται κρύψεως χάριν, καὶ προδείξασα εἰς τὸ πρόσθεν ἀναστρέφεται εἰς τὸν [s] θόλον· [t] ἔτι δὲ θηρεύει τοῖς μακροῖς τοῖς ἀποτείνουσιν οὐ μόνον τὰ μικρὰ τῶν
21 ἰχθυδίων, ἀλλὰ [v] καὶ κεστρέας πολλάκις. Ὁ δὲ πολύπους ἀνόητον μέν ἐστι (καὶ γὰρ πρὸς τὴν χεῖρα βαδίζει τοῦ ἀνθρώπου καθιεμένην), οἰκονομικὸς δ' ἐστίν· πάντα [w] γὰρ συλλέγει μὲν εἰς τὴν θαλάμην, οὗ [x] τυγχάνει κατοικῶν, ὅταν δὲ καταναλώσῃ τὰ χρησιμώτατα, ἐκβάλλει τὰ ὄστρακα καὶ τὰ κελύφια τῶν καρκίνων καὶ κογχυλίων καὶ τὰς ἀκάνθας τῶν ἰχθυδίων· καὶ θηρεύει τοὺς ἰχθῦς τὸ χρῶμα μεταβάλλων καὶ
22 ποιῶν ὅμοιον οἷς ἂν [y] πλησιάζῃ λίθοις. Τὸ δ' αὐτὸ τοῦτο ποιεῖ καὶ φοβηθείς. Λέγεται δ' ὑπό τινων ὡς [z] καὶ ἡ σηπία τοῦτο ποιεῖ· παρόμοιον γὰρ φασι τὸ χρῶμα [a] ποιεῖν τὸ αὐτῆς τῷ τόπῳ περὶ ὃν διατρίβει. Τῶν δ' ἰχθύων τοῦτο ποιεῖ [b] μόνον ῥίνη· μεταβάλλει γὰρ τὴν χρόαν ὥσπερ ὁ
23 πολύπους. Τὸ μὲν οὖν πλεῖστον γένος τῶν πολυπόδων οὐ διετίζει· καὶ γὰρ φύσει συντηκτικόν ἐστιν· σημεῖον δ' ἐστίν,
24 [c] πιλούμενος γὰρ ἀφίησιν ἀεί τι καὶ τέλος [d] ἀφανίζεται. Αἱ [e] δὲ θήλειαι μετὰ τὸν τόκον τοῦτο πάσχουσι μᾶλλον, καὶ γίνονται μωραί, καὶ οὔτε κυματιζόμεναι αἰσθάνονται, λαβεῖν τε τῇ χειρὶ κατακολυμβήσαντα ῥᾴδιον· [f] βλεννώδεις τε γίνονται, καὶ οὐδὲ θηρεύουσιν ἔτι [g] προσκαθήμεναι. Οἱ δ' ἄρ-
25 ρενες [h] σκυτώδεις [i] τε γίνονται καὶ γλίσχροι. Σημεῖον δὲ δοκεῖ εἶναι τοῦ μὴ διετίζειν, ὅτι μετὰ τὴν γένεσιν τῶν πολυποδίων ἔν γε τῷ θέρει [k] καὶ πρὸς τὸ φθινόπωρον μέγαν [l] πολύπουν [m] οὐκέτι ῥᾴδιόν ἐστιν ἰδεῖν, μικρὸν δὲ πρὸ τούτου

[o] περ om. A[a]. [p] τε om. A[a].C[a]. [q] θορῷ C[a]. [r] χρῆται πολλάκις D[a]. [s] θορόν A[a].C[a]. [t] ὅτι P. [v] καὶ om. C[a]. [w] μὲν γὰρ συλλέγει D[a]. [x] τυγχ. δὴ κατ. A[a].C[a]. [y] πλησιάσῃ A[a]. [z] καὶ ante ὡς P.C[a].D[a].E[a], om. A[a]. [a] ποιεῖ A[a].C[a]. [b] μόνον ἡ ῥίνη D[a]. [c] πηλούμενος P.C[a].D[a].E[a]. [d] ἀφανίζεται] ἀφίησιν P.A[a].C[a].E[a]. [e] δὲ] γὰρ A[a]. [f] βλεννῶδές τε γίγνεται P.A.[a]C[a].E[a]. [g] προκαθήμεναι E[a]. [h] κυτώδεις A[a].C[a], κητώδεις P.E[a]. [i] τε om. A[a].C[a]. [k] καὶ om. P.A[a].C[a].E[a]. [l] πολύπουν om. A[a]. [m] οὐκ ἔστι ῥάδιον ἰδεῖν P.C[a].

Digitized by Google

τοῦ καιροῦ μέγιστοί εἰσιν οἱ πολύποδες. Ὅταν δὲ τὰ ᾠὰ 26
ἐκτέκωσιν, οὕτω καταγηράσκειν καὶ ἀσθενεῖς γίνεσθαι ἀμφο-
τέρους φασὶν [n] ὥστε ὑπὸ τῶν ἰχθυδίων κατεσθίεσθαι καὶ ῥᾳ-
δίως ἀποσπᾶσθαι ἀπὸ τῶν [o] φωλεῶν· πρότερον δὲ [p] τοιοῦτον
οὐδὲν [q] πάσχειν. Ἔτι δὲ τοὺς μικροὺς καὶ νέους τῶν πολυ-
πόδων μετὰ τὴν γένεσιν [r] οὐθέν φασι τοιοῦτον πάσχειν, ἀλλ'
ἰσχυροτέρους εἶναι τῶν μειζόνων. Οὐ διετίζουσι δ' οὐδ' αἱ 27
σηπίαι. Εἰς δὲ τὸ [s] ξηρὸν [t] ἐξέρχεται μόνον τῶν μαλακίων
ὁ πολύπους· πορεύεται δ' ἐπὶ τοῦ τραχέος, τὸ δὲ λεῖον φεύ-
γει. Ἔστι δὲ τὰ μὲν ἄλλα ἰσχυρὸν τὸ ζῷον, τὸν δὲ τρά-
χηλον ἀσθενές, ὅταν [v] πιεσθῇ. Περὶ μὲν οὖν [w] τῶν μαλα- 28
κίων τοῦτον ἔχει τὸν τρόπον· τὰς δὲ κόγχας φασὶ τὰς
λεπτὰς καὶ τραχείας ποιεῖσθαι περὶ [x] αὐτὰς οἷον θώρακα
σκληρόν, καὶ τοῦτον μείζονα, ὅταν γίνωνται μείζους, καὶ ἐκ
τούτου ἐξιέναι ὥσπερ ἐκ φωλεοῦ τινὸς [y] ἢ οἰκίας. Ἔστι δὲ 29
καὶ ὁ ναυτίλος πολύπους τῇ τε φύσει καὶ οἷς ποιεῖ [z] περιτ-
τός· [a] ἐπιπλεῖ γὰρ ἐπὶ τῆς θαλάττης, τὴν ἀναφορὰν ποιη-
σάμενος [b] κάτωθεν ἐκ τοῦ βυθοῦ, καὶ ἀναφέρεται μὲν κατε-
στραμμένῳ τῷ ὀστράκῳ, ἵνα ῥᾷόν γε ἀνέλθῃ καὶ [c] κενῷ ναυ-
τίλληται, ἐπιπολάσας δὲ μεταστρέφει. Ἔχει δὲ μεταξὺ 30
τῶν πλεκτανῶν ἐπί τι [d] συνυφές, ὅμοιον τοῖς στεγανόποσι
τὸ μεταξὺ τῶν δακτύλων· πλὴν ἐκείνοις μὲν παχύ, τούτοις δὲ
λεπτὸν τοῦτο καὶ [e] ἀραχνιῶδές ἐστιν. Χρῆται δ' αὐτῷ, ὅταν
[f] πνεῦμά τι ᾖ, ἱστίῳ· ἀντὶ πηδαλίων δὲ τῶν πλεκτανῶν παρα-
καθίησιν· [g] ἂν δὲ φοβηθῇ, καταδύνει τῆς θαλάττης μεστώσας
τὸ ὄστρακον. Περὶ δὲ γενέσεως καὶ [h] συναυξήσεως τοῦ ὀστρά- 31
κου ἀκριβῶς μὲν οὔπω ὥπται, δοκεῖ δ' οὐκ ἐξ οἰκείας γίνεσθαι,
ἀλλὰ φύεσθαι ὥσπερ τἆλλα κογχύλια. Οὐ δῆλον δέ πω
οὐδ' εἰ [i] ἀποδυόμενος δύναται ζῆν.

[n] ὥστε καὶ ὑπὸ Da. [o] πετρῶν Da. [p] τοιοῦτ' Da.Ea. [q] πάσχει Ca.
[r] οὐδένα Da, ὅθεν P. [s] ξηρὸν] σηπίον Aa. [t] ἐξέρχονται Aa.Ca, ἐξέρ-
χεται μὲν P.Da.Ea. [v] πιασθῇ Ca. [w] τὰ μαλάκια P.Da.Ea. [x] αὐ-
ταῖς Ca. [y] ἢ] καὶ Da. [z] περιττῶς Da. [a] ἐπὶ πλεῖον Aa. [b] κά-
ποθεν P. [c] κυνῶν Aa. [d] συνηφὲς Aa.Ca. [e] ἀραχνῶδές P.Da.
[f] πνευμάτιον ᾖ Da. [g] ἐὰν Ca. [h] αὐξήσεως Da. [i] ἀπολυόμενος Ca.

Digitized by Google

38 Τῶν δ' ἐντόμων [k] ἐργατικώτατον ζῴων ἐστί, σχεδὸν δὲ καὶ πρὸς τἆλλα [l] συγκρίνεσθαι πάντα, τό τε τῶν μυρμήκων γένος καὶ [m] τὸ τῶν μελιττῶν, ἔτι δ' [n] ἀνθρῆναι καὶ σφῆκες καὶ πάνθ' ὡς εἰπεῖν τὰ συγγενῆ τούτοις. Εἰσὶ δὲ καὶ τῶν ἀραχνίων οἱ [o] γλαφυρώτατοι καὶ [p] λαγαρώτατοι καὶ [q] τεχνι-
2 κώτεροι περὶ τὸν βίον. Ἡ μὲν οὖν τῶν μυρμήκων ἐργασία πᾶσίν ἐστιν ἐπιπολῆς ἰδεῖν, καὶ ὡς [r] ἀεὶ μίαν [s] ἀτραπὸν πάντες βαδίζουσι, καὶ τὴν ἀπόθεσιν τῆς τροφῆς καὶ [t] ταμιείαν·
39 ἐργάζονται γὰρ καὶ [v] τὰς νύκτας τὰς πανσελήνους. Τῶν δ' ἀραχνίων καὶ τῶν φαλαγγίων ἔστι [w] μὲν πολλὰ γένη, τῶν [x] μὲν δηκτικῶν φαλαγγίων δύο, τὸ [y] μὲν ἕτερον ὅμοιον τοῖς καλουμένοις λύκοις, μικρὸν καὶ ποικίλον καὶ ὀξὺ καὶ πηδητικόν· καλεῖται δὲ ψύλλα· τὸ δ' ἕτερον μεῖζον, τὸ μὲν χρῶμα μέλαν, [z] τὰ δὲ σκέλη τὰ πρόσθια μακρὰ ἔχον, καὶ τῇ κινήσει
2 νωθρὸν καὶ βαδίζον ἠρέμα καὶ οὐ κρατερὸν καὶ οὐ πηδῶν. Τὰ δ' ἄλλα πάντα, ὅσα παρατίθενται οἱ [a] φαρμακοπῶλαι, τὰ μὲν οὐδεμίαν τὰ δ' ἀσθενῆ ποιεῖ τὴν δῆξιν. [u]Αλλο δ' ἐστὶ τῶν καλουμένων λύκων γένος. Τοῦτο μὲν οὖν τὸ μικρὸν οὐχ ὑφαίνει ἀράχνιον, τὸ δὲ μεῖζον [b] τραχὺ καὶ φαῦλον πρὸς τῇ γῇ καὶ ταῖς αἱμασιαῖς· ἐπὶ τοῖς στομίοις δ' ἀεὶ ποιεῖ τὸ ἀράχνιον, καὶ ἔνδον [c] ἔχον τὰς ἀρχὰς τηρεῖ, ἕως ἂν ἐμπεσόν
3 τι κινηθῇ· ἔπειτα προσέρχεται. Τὸ δὲ ποικίλον ὑπὸ τοῖς δένδρεσι ποιεῖται μικρὸν καὶ φαῦλον ἀράχνιον. [v]Αλλο δ' ἐστὶ τρίτον τούτων σοφώτατον καὶ γλαφυρώτατον· ὑφαίνει γὰρ πρῶτον μὲν διατείναν πρὸς τὰ [d] πέρατα πανταχόθεν, εἶτα [e] στημονίζεται ἀπὸ τοῦ μέσου (λαμβάνει δὲ τὸ μέσον ἱκανῶς), ἐπὶ δὲ [f] τούτοις ὥσπερ κρόκας ἐμβάλλει, εἶτα συνυ-

[k] ζώων ἐργατικώτατα σχεδόν ἐστι καὶ D^a. ἐργατικώτατα etiam $P.E^a$. [l] πάντα συγκρίνεσθαι D^a. [m] τὸ om. D^a. [n] ἀνθρῆναι D^a. [o] γλαφυρώτεροι D^a. [p] λαγαρώτεροι A^a. [q] τεχνικώτατοι D^a. [r] ἀεὶ] ἂν corr. D^a. [s] ἀτραπὸν πάντες] ἀνατρέποντες $A^a.C^a$. [t] ταμεῖα C^a, τὰ ταμιεῖα A^a. [v] ταῖς νυξὶ ταῖς πανσελήνοις D^a. [w] μὲν om. D^a. [x] μὲν] δὲ C^a. [y] μὲν] δὲ $P.C^a.E^a$. [z] τὰ om. A^a. [a] φαρμακοπωλῖται A^a, φαρμακοπωλίται C^a. [b] παχὺ D^a. [c] ἔχον] ἔχει $A^a.C^a$. [d] κέρατα $A^a.C^a$. [e] μονίζεται post lacunam P. [f] τούτοις om. P. in lacuna.

Digitized by Google

φαίνει. Τὴν μὲν οὖν κοίτην καὶ τὴν ἀπόθεσιν τῆς θήρας [g]ἄλ- 4
λοθι ποιεῖται, τὴν δὲ [h]θήραν ἐπὶ τοῦ μέσου [i]τηροῦσα· [k]κἄπειθ' ὅταν ἐμπέσῃ [l]τι, κινηθέντος τοῦ μέσου πρῶτον [m]μὲν περιδεῖ καὶ περιελίττει τοῖς ἀραχνίοις, ἕως ἂν ἀχρεῖον ποιήσῃ, μετὰ δὲ ταῦτ' [n]ἀπήνεγκεν ἀραμένη, καὶ ἐὰν μὲν τύχῃ πεινῶσα, ἐξεχύλισεν (αὕτη γὰρ ἡ [o]ἀπόλαυσις), εἰ δὲ μή, πάλιν ὁρμᾷ πρὸς τὴν θήραν, [p]ἀκεσαμένη πρῶτον τὸ διερρωγός· ἐὰν δέ τι μεταξὺ ἐμπέσῃ, πρῶτον ἐπὶ τὸ μέσον βαδίζει, κἀκεῖθεν ἐπανέρχεται πρὸς τὸ ἐμπεσὸν ὥσπερ ἀπ' ἀρχῆς. [1]Ἐὰν δέ τις [q]λυμήνηται τοῦ ἀραχνίου, πάλιν ἄρχεται τῆς 5
ὑφῆς καταφερομένου τοῦ ἡλίου ἢ ἀνατέλλοντος διὰ τὸ μάλιστα ἐν ταύταις ταῖς ὥραις ἐμπίπτειν τὰ θηρία. [1]Ἐργάζεται δὲ καὶ θηρεύει ἡ θήλεια· ὁ δ' ἄρρην συναπολαύει. Τῶν δ' ἀραχνίων τῶν γλαφυρῶν καὶ ὑφαινόντων ἀράχνιον πυκνὸν δύο [r]ἐστὶ γένη, τὸ μὲν μεῖζον τὸ δ' ἔλαττον. Τὸ μὲν οὖν 6
μακροσκελέστερον [s]κάτωθεν κρεμάμενον τηρεῖ, ὅπως ἂν μὴ φοβούμενα τὰ θηρία εὐλαβῆται ἀλλ' [t]ἐμπίπτῃ ἄνω (διὰ γὰρ τὸ μέγεθος οὐκ [v]εὐκρυφές ἐστι), τὸ δὲ συμμετρότερον ἄνωθεν [w]ἐπηλυγισάμενον τοῦ ἀραχνίου ὀπὴν μικράν. [x]Δύ- 7
νανται δ' ἀφιέναι οἱ ἀράχναι τὸ ἀράχνιον εὐθὺς γενόμενοι, [y]οὐκ ἔσωθεν [z]ὡς ὂν περίττωμα, καθάπερ [a]φησὶ Δημόκριτος, ἀλλ' ἀπὸ τοῦ σώματος οἷον φλοιόν, [b]ἢ τὰ βάλλοντα ταῖς θριξίν, οἷον αἱ [c]ὕστριχες. · Περιτίθεται δὲ καὶ [d]περιελίττεται καὶ τοῖς μείζοσι ζώοις, ἐπεὶ καὶ ταῖς [e]σαύραις ταῖς μικραῖς ἐπιβάλλον περὶ τὸ στόμα περιθέον ἀφίησιν, ἕως ἂν συλλάβῃ [f]τὸ στόμα· [g]τότε δ' ἤδη δάκνει [h]προσελθόν.

g ἀλλαχόθι A^a. h θύραν P. i τηροῦσα] τη P, om. E^a. k ἔπειθ' P.D^a. l τι om. C^a.E^a. m μὲν περιδ περιελίττει P. n ἤνεγκεν E^a, ἠνεγκεν P. o ἀπόλυσις P.A^a.C^a.E^a. p ἀκεσάμενον P.A^a.E^a. q λυμαίνηται A^a. r γένη ἐστί D^a. s κάτωθεν om. A^a. t ἐμπίπτει A^a. v εὔκρυφά D^a, εὐφυές A^a. w ἐπιλυγησάμενον P.C^a. x δύνανται] οὐ δύνανται D^a. y οὐκ] ᾧ οὐκ A^a.C^a, οὐδ' D^a. z ὡς ὂν] ὅσον D^a. a φησὶν ὁ δημόκριτος D^a. b ἢ τὰ βάλλοντα] μεταβάλλονται D^a, εἶτα βάλλονται A^a.C^a. c ὗς τρίχες A^a. d περιελίττει P.A^a.C^a.E^a. e αὖραις A^a.C^a. f τῷ στόματι A^a.C^a. g τὸ δ' ἤδη P.E^a, ὁ δὴ A^a.C^a. h προελθόν E^a.

Digitized by Google

Καὶ περὶ [i]μὲν [k]τούτων [l]τῶν ζώων τοῦτον ἔχει τὸν τρό-
40 πον. [u]Ἔστι δέ τι γένος τῶν ἐντόμων, ὃ ἐνὶ μὲν ὀνόματι
[m]ἀνώνυμόν ἐστιν, ἔχει δὲ [n]πάντα τὴν μορφὴν συγγενικήν·
ἔστι δὲ ταῦτα ὅσα κηριοποιά, οἷον [o]μέλιτται [p]καὶ τὰ παρα-
2 πλήσια τὴν μορφήν. Τούτων δ' ἐστὶ γένη ἐννέα, ὧν τὰ μὲν
ἐξ ἀγελαῖα, μέλιττα, [q]βασιλεῖς τῶν μελιττῶν, κηφὴν ὁ ἐν
ταῖς μελίτταις, σφὴξ ὁ ἐπέτειος, ἔτι δ' [r]ἀνθρήνη καὶ [s]τεν-
θρηδών· [t]μοναδικὰ δὲ τρία, [v]σειρὴν ὁ μικρός, [w]φαιός, ἄλλος
[v]σειρὴν ὁ μείζων, ὁ μέλας καὶ ποικίλος, τρίτος δ' ὁ καλού-
3 μενος βομβύλιος, μέγιστος τούτων. Οἱ μὲν οὖν μύρμηκες
θηρεύουσι μὲν οὐδέν, τὰ δὲ πεποιημένα συλλέγουσιν· οἱ δ'
ἀράχναι ποιοῦσι μὲν οὐδὲν οὐδ' ἀποτίθενται, θηρεύουσι δὲ
μόνον τὴν τροφήν· τῶν δ' ἐννέα γενῶν τῶν εἰρημένων περὶ
μὲν τῶν λοιπῶν ὕστερον λεχθήσεται, αἱ δὲ [x]μέλιτται θη-
ρεύουσι μὲν οὐδέν, [y]αὐταὶ δὲ ποιοῦνται καὶ ἀποτίθενται· ἔστι
4 γὰρ αὐταῖς τὸ μέλι τροφή. Δῆλον δὲ ποιοῦσιν, ὅταν τὰ
κηρία ἐπιχειρῶσιν οἱ [z]μελιττουργοὶ [a]ἐξαιρεῖν· θυμιώμεναι
[b]γὰρ καὶ σφόδρα πονοῦσαι ὑπὸ τοῦ καπνοῦ τότε μάλιστα
τὸ μέλι ἐσθίουσιν, ἐν δὲ τῷ ἄλλῳ χρόνῳ οὐ σφόδρα ὁρῶνται,
5 ὡς φειδόμεναι καὶ ἀποτιθέμεναι τροφῆς χάριν. [u]Ἔστι δ'
[c]αὐταῖς καὶ ἄλλη τροφή, ἣν καλοῦσί τινες [d]κήρινθον· ἔστι
δὲ τοῦτο ὑποδεέστερον καὶ γλυκύτητα συκώδη ἔχον, κομί-
ζουσι δὲ [e]τοῦτο τοῖς σκέλεσι καθάπερ καὶ τὸν κηρόν. [u]Ἔστι
[f]δὲ περὶ τὴν ἐργασίαν αὐτῶν καὶ τὸν [g]βίον πολλὴ ποικιλία.
6 [t]Ἐπειδὰν γὰρ παραδοθῇ αὐταῖς καθαρὸν τὸ σμῆνος, οἰκοδο-
μοῦσι τὰ κηρία, φέρουσαι τῶν [h]τ' ἄλλων ἀνθέων καὶ ἀπὸ
τῶν δένδρων [i]τὰ δάκρυα, ἰτέας τε καὶ πτελέας καὶ ἄλλων

[i] μὲν] μὲν οὖν P.A[a]. [k] τούτων om. A[a]. [l] τῶν om. P. [m] ἀνώνυμον Gaza: P.A[a].C[a].D[a].E[a]. ὁμώνυμον. [n] πᾶσαν C[a]. [o] μέλιττα P. [p] καὶ— μέλιττα om. A[a]. [q] βασιλεῖς τῶν μελιττῶν om. P.A[a].C[a].D[a].E[a]. [r] ἀνθρίνη P.D[a]. [s] τῶν θρηδῶν A[a]. [t] νομαδικὰ A[a].C[a]. [v] εἶρην utrobique A[a].C[a]. [w] φαλός P.D[a]. [x] μέλισσαι P.A[a].D[a]. [y] αὗται A[a]. [z] μελιτουργοὶ D[a].E[a]. [a] ἐξαίρειν plerique. [b] γὰρ om. C[a]. [c] ταύταις A[a].C[a]. [d] κύρωθον C[a], κόριθον P. [e] τοῦτο om. E[a]. [f] δὲ καὶ περὶ P. [g] βίον αὐτῶν πολυποικιλία A[a]. [h] δ' A[a]. [i] τὸ δάκρυον P.

Digitized by Google

τῶν κολλωδεστάτων. Τούτῳ δὲ καὶ τὸ ἔδαφος [k] διαχρίουσι τῶν ἄλλων θηρίων ἕνεκεν· καλοῦσι δ' οἱ [l] μελιττουργοὶ τοῦτο [m] κόνισιν. Καὶ τὰς εἰσόδους δὲ παροικοδομοῦσιν, ἐὰν εὐρεῖαι ὦσιν. Πλάττουσι [n] δὲ κηρία πρῶτον ἐν οἷς αὐταὶ γίνονται, 7 εἶτ' ἐν οἷς οἱ καλούμενοι βασιλεῖς καὶ τὰ κηφήνια. Τὰ μὲν οὖν αὐτῶν ἀεὶ πλάττουσι, τὰ δὲ τῶν βασιλέων ὅταν ᾖ πολυγονία, τὰ δὲ κηφήνια [o] ἐὰν μέλιτος [p] ἀφθονία ἐπισημαίνῃ. Πλάττουσι δὲ τὰ μὲν τῶν βασιλέων πρὸς τοῖς αὐτῶν (μικρὰ 8 δ' ἐστὶ ταῦτα), τὰ δὲ κηφήνια πρὸς αὐτά· ἐλάττω δ' ἐστὶ ταῦτα τῷ μεγέθει τῶν μελιττίων. [v] Ἄρχονται δὲ τῶν ἱστῶν ἄνωθεν ἀπὸ τῆς ὀροφῆς τοῦ σμήνους, καὶ κάτω [q] συνυφεῖς ποιοῦσιν ἕως τοῦ ἐδάφους ἱστοὺς πολλούς. Αἱ δὲ θυρίδες 9 καὶ αἱ τοῦ μέλιτος καὶ τῶν σχαδόνων ἀμφίστομοι· περὶ γὰρ μίαν βάσιν δύο θυρίδες εἰσίν, ὥσπερ ἡ τῶν ἀμφικυπέλλων, ἡ μὲν ἐντὸς ἡ δ' ἐκτός. Αἱ δὲ περὶ τὰς ἀρχὰς τῶν κηρίων πρὸς τὰ σμήνη [r] συνύφειαι, ὅσον ἐπὶ δύο ἢ τρεῖς στίχους κύκλῳ, βραχεῖαι καὶ κεναὶ μέλιτος· πληρέστερα δὲ τῶν κηρίων τὰ μάλιστα τῷ κηρῷ καταπεπλασμένα. Περὶ δὲ τὸ στόμα 10 τοῦ σμήνους τὸ μὲν πρῶτον τῆς εἰσδύσεως περιαλήλιπται [s] μίτυϊ· τοῦτο δ' ἐστὶ μέλαν ἱκανῶς, ὥσπερ ἀποκάθαρμ' αὐταῖς τοῦ κηροῦ, καὶ τὴν ὀσμὴν δριμύ, φάρμακον δ' ἐστὶ [t] τυμμάτων καὶ τῶν τοιούτων [v] ἐμπυημάτων· ἡ δὲ συνεχὴς ἀλοιφὴ τούτῳ πισσόκηρος, ἀμβλύτερον καὶ ἧττον φαρμακῶδες τῆς [s] μίτυος. Λέγουσι δέ τινες τοὺς κηφῆνας κηρία μὲν πλάττειν 11 καθ' αὑτοὺς καὶ ἐν τῷ αὐτῷ σμήνει καὶ ἐν τῷ [w] ἑνὶ κηρίῳ [x] μεριζομένους πρὸς τὰς μελίττας, [y] μελιττουργεῖν μέντοι οὐθέν, ἀλλὰ τρέφεσθαι [z] τῷ τῶν μελιττῶν καὶ αὐτοὺς καὶ τοὺς νεοττούς. Διατρίβουσι δ' οἱ κηφῆνες τὰ μὲν πολλὰ 12

[k] διαχρίουσαι P. [l] μελιτουργοὶ A[a].E[a]. [m] κώνησιν P, κύνισιν D[a], κόμμωσιν Plinius. [n] δὲ] δὲ καὶ A[a].C[a]. [o] ὅταν A[a]. [p] ἀφθονία Sylburgius: codices ἀφθονίαν. [q] συνυφὲς (συνηφὲς A[a].) ποιοῦσί τε ἕως (ὡς A[a].C[a].) P.A[a].C[a].D[a].E[a]. correxit Turnebus. [r] συνυφεῖαι P.C[a].E[a], συνηφεῖαι A[a], συνυφῖαι D[a]. [s] μήτυϊ et mox μήτυος A[a].C[a]. [t] τριμμάτων P. [v] ἐμποιημάτων A[a].C[a]. [w] ἑνὶ om. A[a].C[a]. [x] μυριζομένους P. [y] μελιτουργεῖν D[a].E[a]. [z] τὸ P.D[a].

Digitized by Google

ἔνδον, ἐὰν δ' ἐκπετασθῶσι, προσφέρονται [a] ῥύβδην ἄνω πρὸς τὸν οὐρανόν, ἐπιδινοῦντες αὐτοὺς καὶ ὥσπερ ἀπογυμνάζοντες· ὅταν δὲ τοῦτο [b] δράσωσι, πάλιν εἰσελθόντες εὐωχοῦνται. Οἱ δὲ βασιλεῖς οὐ πέτονται ἔξω, ἐὰν μὴ μετὰ ὅλου τοῦ ἐσμοῦ,
13 οὔτ' ἐπὶ βοσκὴν οὔτ' ἄλλως. Φασὶ δὲ καὶ ἐὰν ἀποπλανηθῇ [c] ὁ ἀφεσμός, ἀνιχνευούσας [d] μεταθεῖν ἕως ἂν εὕρωσι τὸν ἡγεμόνα τῇ ὀσμῇ. Λέγεται δὲ καὶ φέρεσθαι [e] αὐτὸν ὑπὸ τοῦ ἐσμοῦ, ὅταν πέτεσθαι μὴ δύνηται· καὶ ἐὰν [f] ἀπόληται, [g] ἀπόλλυσθαι τὸν ἀφεσμόν· ἐὰν δ' ἄρα χρόνον τινὰ [h] διαμείνωσι καὶ [i] κηρία ποιήσωσι, μέλι οὐκ ἐγγίνεσθαι καὶ αὐτὰς ταχὺ
14 [k] ἀπόλλυσθαι. Τὸν δὲ κηρὸν [l] ἀναλαμβάνουσιν αἱ μέλισσαι [m] ἀριχώμεναι πρὸς τὰ βρύα ὀξέως [n] τοῖς [o] ἔμπροσθεν ποσί· τούτους δ' [p] ἐκμάττουσιν εἰς τοὺς μέσους, τοὺς δὲ μέσους εἰς τὰ [q] βλαισὰ τῶν ὀπισθίων· καὶ οὕτω [r] γεμισθεῖσαι ἀποπέ-
15 τονται, καὶ δῆλαί [s] εἰσι βαρυνόμεναι. Καθ' ἑκάστην [t] δὲ πτῆσιν οὐ βαδίζει ἡ μέλιττα ἐφ' ἕτερα τῷ εἴδει ἄνθη, οἷον ἀπὸ ἴου ἐπὶ ἴον, καὶ οὐ θιγγάνει ἄλλου γε, ἕως ἂν εἰς τὸ σμῆνος [v] εἰσπετασθῇ. [v] Ὅταν δ' εἰς τὸ σμῆνος ἀφίκωνται, [w] ἀποσείονται, καὶ παρακολουθοῦσιν [x] ἑκάστῃ τρεῖς ἢ τέττα-
16 ρες. Τὸ δὲ λαμβανόμενον οὐ ῥᾴδιόν ἐστιν ἰδεῖν· [y] οὐδὲ τὴν ἐργασίαν [z] ὅντινα τρόπον ποιοῦνται, οὐκ ὦπται· τοῦ δὲ κηροῦ ἡ ἀνάληψις τεθεώρηται ἐπὶ τῶν ἐλαιῶν, διὰ πυκνότητα τῶν φύλλων ἐν ταὐτῷ διαμενουσῶν πλείω χρόνον. Μετὰ [a] δὲ τοῦτο νεοττεύουσιν. Οὐθὲν δὲ κωλύει ἐν τῷ [b] αὐτῷ [c] κη-
17 ρίῳ εἶναι νεοττοὺς καὶ μέλι καὶ κηφῆνας. [1] Ἐὰν μὲν οὖν ὁ ἡγεμὼν ζῇ, χωρὶς φασι τοὺς κηφῆνας γίγνεσθαι, εἰ δὲ μή,

[a] ῥύδην Aa.Ca. [b] δρῶσι Aa. [c] ὁ αὐτῶν ἐσμός Aa.Ca. [d] μεταθεῖναι ὡς Aa, μετανθεῖν ἕως Ea. [e] αὐτὴν Da. [f] ἀπόλληται Aa.Da. [g] ἀπολύεσθαι αὐτῶν τὸν ἐσμόν Aa, ἀπόλλυσθαι τὸν αὐτῶν ἐσμόν Ca. [h] διαμένωσι Ea. [i] κηρία οὐ π. Da. [k] ἀπολύεσθαι Aa. [l] ἀναλαμβάνουσαι Aa. [m] ἀρχόμεναι Aa.Ca, ἀρυόμεναι Da. [n] τοῖς] πρὸς τοῖς Da. [o] ἔμπροσθε Ca. [p] αἱμάττουσιν Da. [q] βλαισσὰ Ea. [r] χωσθεῖσαι Da, σθεῖσαι r.Ea. [s] εἰσι] δέ εἰσι Da. [t] δὲ om. Ea. [v] εἰσπετασθῇ. ὅταν δ' εἰς τὸ σμῆνος om. P.Aa.Ca.Ea. [w] ἀποσείοντα Aa. [x] ἑκάστοτε P. [y] οὐδὲ] οὗ δὲ Aa.Ca, ἡ Da. [z] ὅντινα] τίνα Da, ἢ τινὰ P.Aa.Ca. [a] τοῦτο δὲ Aa. [b] αὐτῷ om. P.Ea. [c] κηρίῳ intpp: κηρῷ P.Ca.Da, καιρῷ Aa.

Digitized by Google

ἐν τοῖς τῶν μελιττῶν κυττάροις [d] γεννᾶσθαι ὑπὸ τῶν μελιττῶν, καὶ γίγνεσθαι τούτους θυμικωτέρους· διὸ καὶ καλεῖσθαι κεντρωτούς, οὐκ ἔχοντας [e] κέντρον, ἀλλ' ὅτι βούλονται μὲν οὐ δύνανται δὲ βάλλειν. Εἰσὶ δὲ μείζους οἱ τῶν κηφήνων 18
κύτταροι. [f] Ἀναπλάττουσι δὲ ὁτὲ μὲν καὶ αὐτὰ καθ' αὑτὰ τὰ κηρία [g] τὰ τῶν κηφήνων, ὡς [h] ἐπὶ τὸ πολὺ δ' ἐν τοῖς τῶν μελιττῶν· διὸ καὶ ἀποτέμνουσιν. Εἰσὶ δὲ γένη τῶν μελιτ- 19
τῶν πλείω, καθάπερ εἴρηται πρότερον, [i] δύο μὲν ἡγεμόνων, ὁ [j] μὲν βελτίων πυρρός, ὁ δ' ἕτερος μέλας καὶ ποικιλώτερος, τὸ δὲ μέγεθος διπλάσιος τῆς χρηστῆς μελίττης· ἡ δ' ἀρίστη μικρά, στρογγύλη καὶ ποικίλη, ἄλλη μακρά, ὁμοία τῇ [k] ἀνθρήνῃ. [l] Ἕτερος ὁ φὼρ καλούμενος, μέλας, πλατυγάστωρ. 20
[m] Ἔτι δ' ὁ κηφήν· οὗτος μέγιστος πάντων, ἄκεντρος δὲ καὶ νωθρός. Διαφέρουσι δ' αἱ γινόμεναι τῶν μελιττῶν αἵτ' ἀπὸ τῶν τὰ ἥμερα νεμομένων καὶ ἀπὸ τῶν τὰ ὀρεινά· εἰσὶ [n] γὰρ αἱ ἀπὸ τῶν ὑλονόμων δασύτεραι καὶ ἐλάττους καὶ ἐργατικώτεραι καὶ χαλεπώτεραι. [o] Αἱ μὲν οὖν χρησταὶ μέλιτται 21
ἐργάζονται τά τε κηρία ὁμαλὰ καὶ τὸ ἐπιπολῆς κάλυμμα πᾶν λεῖον, [p] ἔτι δ' ἓν εἶδος τοῦ κηρίου, οἷον ἅπαν μέλι ἢ νεοττοὺς ἢ κηφῆνας· [q] ἂν δὲ συμβῇ ὥστ' ἐν τῷ αὐτῷ κηρίῳ ἅπαντα ποιεῖν αὐτά, ἔσται ἐφεξῆς [r] ἓν εἶδος εἰργασμένον δι' ἀντλίας. Αἱ δὲ [s] μακραὶ τά τε κηρία ποιοῦσιν ἀνώμαλα καὶ τὸ 22
κάλυμμα ἀνῳδηκός, ὅμοιον [t] τῷ τῆς [v] ἀνθρήνης, ἔτι δὲ τὸν γόνον καὶ [w] τἆλλα οὐ τεταγμένα ἀλλ' ὡς ἂν τύχῃ· γίνονται δ' ἐξ [x] αὐτῶν οἵ τε πονηροὶ ἡγεμόνες καὶ [y] κηφῆνες πολλοὶ καὶ οἱ [z] φῶρες καλούμενοι, μέλι [a] δ' ἢ πάνυ βραχὺ ἢ οὐδέν. Ἐπικάθηνται δ' [b] ἐπὶ τοῖς κηρίοις αἱ μέλιτται καὶ συμπέτ- 23
τουσιν· ἐὰν δὲ τοῦτο μὴ ποιῶσι, φθείρεσθαί φασι τὰ [c] κηρία

[d] γενέσθαι $A^a.C^a.$ [e] κέντρον om. $P.A^a.C^a.E^a.$ [f] τὰ ante τῶν om. $A^a.$ [g] ἐπὶ om. $A^a.C^a.E^a.$ [h] δύο ὁ μὲν ἡγεμὼν ὢν ὁ $A^a.C^a.$ [i] μὲν] δὲ $A^a.$ [k] ἀρθρήνῃ $C^a.$ [l] ὁ ἕτερος ὁ $A^a.$ [m] ἔτι om. $A^a.C^a.$ [n] γὰρ] δὲ $A^a.C^a.$ [o] αἱ om. $A^a.C^a.$ [p] ἔστι $P.C^a.D^a.E^a.$ [q] ἐὰν $C^a.$ [r] ἑνὶ $A^a.$ [s] μικραὶ $D^a.$ [t] τὸ P. [v] ἀνθρίνης $P.D^a.$ [w] τἆλλα τεταγμένα ὡς $P.A^a.C^a.D^a.E^a.$ [x] αὐτῆς $A^a.$ [y] πολλοὶ κηφῆνες $P.A^a.C^a.$ [z] φλῶρες P. [a] δ' ἢ] δὴ $A^a.C^a.E^a.$, δὲ $P.D^a.$ [b] ἐπὶ] ἐν $D^a.$ [c] θηρία $A^a.$

Digitized by Google

καὶ ἀραχνιοῦσθαι. Καὶ ἐὰν μὲν τὸ λοιπὸν δύνωνται κατέχειν ἐπικαθήμεναι, τοῦθ' ὥσπερ ἔκβρωμα γίνεται, εἰ δὲ μή, [d]ἀπόλλυται ὅλα. Γίνεται δὲ σκωλήκια ἐν τοῖς φθειρομένοις, ἃ
24 [e]πτερούμενα ἐκπέταται. Καὶ τὰ πίπτοντα [f]δὲ τῶν κηρίων ὀρθοῦσιν αἱ μέλιτται, καὶ ὑφιστᾶσιν [g]ἐρείσματα, ὅπως [h]ἂν δύνωνται ὑπιέναι· ὅταν γὰρ μὴ ἔχωσιν ὁδὸν ᾗ [i]προσπορεύσονται, οὐ προσκαθίζουσιν, εἶτ' [k]ἀραχνιοῦται. Τοῦ δὲ φωρὸς καὶ [l]κηφῆνος [m]γενομένων οὐδέν [n]ἐστιν ἔργον, τὰ δὲ τῶν ἄλλων βλάπτουσιν. [r]Ἁλισκόμενοι δὲ θνήσκουσιν ὑπὸ τῶν
25 χρηστῶν μελιττῶν. [o]Κτείνουσι δ' αὗται σφόδρα καὶ τῶν ἡγεμόνων τοὺς πολλούς, καὶ μᾶλλον τοὺς πονηρούς, ἵνα [p]μὴ [q]πολλοὶ ὄντες διασπῶσι τὸν ἐσμόν. Κτείνουσι δὲ μάλιστα, ὅταν μὴ πολύγονον ᾖ τὸ σμῆνος μηδὲ ἀφέσεις μέλλωσι γίγνεσθαι· ἐν γὰρ τούτοις τοῖς καιροῖς καὶ τὰ κηρία διαφθείρουσι τὰ τῶν βασιλέων, ἐὰν ᾖ παρεσκευασμένα, ὡς ἐξα-
26 γωγέων ὄντων. Διαφθείρουσι δὲ καὶ τὰ τῶν κηφήνων, [r]ἐὰν [s]ὑποφαίνῃ [t]ἀπορία μέλιτος καὶ [v]μὴ εὐμελιτῇ τὰ σμήνη· καὶ τοῖς ἐξαιροῦσι περὶ τοῦ μέλιτος τότε μάχονται μάλιστα, καὶ τοὺς ὑπάρχοντας τῶν κηφήνων ἐκβάλλουσι, καὶ πολλάκις
27 ὁρῶνται ἐν τῷ τεύχει ἀποκαθήμενοι. Πολεμοῦσι δὲ σφόδρα [w]αἱ μικραὶ τῷ γένει τῷ μακρῷ, καὶ πειρῶνται ἐκβάλλειν ἐκ τῶν σμηνῶν· κἂν ἐπικρατήσωσι, τοῦτο δοκεῖ [x]ὑπερβολῇ γίγνεσθαι ἀγαθὸν σμῆνος. Αἱ δ' ἕτεραι αν γένωνται αὗται ἐφ' [y]ἑαυτῶν, ἀργοῦσί τε καὶ τέλεως οὐθὲν ποιοῦσιν ἀγαθόν,
28 ἀπόλλυνται δὲ καὶ αὗται πρὸ τοῦ φθινοπώρου. [v]Οσας δὲ κτείνουσιν αἱ χρησταὶ μέλιτται, πειρῶνται μὲν ἔξω τοῦ σμήνους τοῦτο πράττειν· ἐὰν δ' ἔσω τις ἀποθάνῃ, ἐξάγουσιν ὁμοίως. Οἱ δὲ φῶρες καλούμενοι [z]κακουργοῦσι μὲν καὶ τὰ

[d] ἀπόλλυνται Da. [e] πτεραιούμενα Aa. [f] δὲ τῶν δὲ κηρίων Aa. [g] ἐρύματα P.Aa.Ca.Ea. [h] ἂν om. P.Da. [i] προσπορεύονται Da. [k] ἀραχνι ται P. [l] κηφήνου Aa. [m] γενομένου Ca. [n] ἐστιν] δὴ Ca, δεῖ Aa. [o] κτείνουσαι Ea. [p] μὴ om. Ca. [q] πολλοὶ ὄντες] πονηροὶ ὦσι καὶ Aa. [r] ἂν P.Ca. [s] ὑποφαίνῃ] ᾖ Da. [t] ἀπομοιρία Aa.Ca. [v] μὴ εὐμέλιττα σμήνη Ca, μὴ οὐ μέλιτα σμῆνα Aa, μὴ εὐμελιττῆ τὰ σμνήνη Da. [w] αἱ om. Aa. [x] ὑπερβολῇ γίγνεσθαι] ὑπερβαλέσθαι Aa. [y] αὐτῶν P. [z] κακουργοῦσι] καὶ κακουργοῦσι Aa.Ca.

Digitized by Google

παρ' [a] αὐτοῖς κηρία, εἰσέρχονται δέ, ἐὰν λάθωσι, καὶ [b] εἰς τὰ ἀλλότρια· ἐὰν δὲ [c] ληφθῶσι, θνήσκουσιν. [d]Ἔργον δ' ἐστὶ 29
[d] λαθεῖν· ἐπί τε [e] γὰρ εἰσόδῳ ἑκάστῃ φύλακές εἰσιν, αὐτός τε ἐὰν εἰσελθὼν λάθῃ, διὰ τὸ [f] ὑπερπεπλῆσθαι οὐ δύναται πέτεσθαι, ἀλλὰ πρὸ τοῦ σμήνους κυλίεται, ὥστ' ἔργον ἐστὶν αὐτῷ ἐκφυγεῖν. Οἱ δὲ βασιλεῖς αὐτοὶ μὲν οὐχ ὁρῶνται ἔξω ἄλλως ἢ μετ' ἀφέσεως· ἐν δὲ ταῖς ἀφέσεσιν αἱ λοιπαὶ περὶ τοῦτον συνεσπειραμέναι φαίνονται. [v]Οταν δ' ἄφεσις μέλλῃ 30
γίγνεσθαι, φωνὴ μονῶτις καὶ ἴδιος γίνεται ἐπί τινας ἡμέρας, καὶ πρὸ δύο ἢ τριῶν ἡμερῶν ὀλίγαι πέτονται περὶ τὸ σμῆνος· εἰ δὲ γίνεται καὶ ὁ βασιλεὺς ἐν ταύταις, οὐκ ὤπταί [g] πω διὰ τὸ μὴ ῥᾴδιον εἶναι. [v]Οταν δ' ἀθροισθῶσιν, [h] ἀποπέτον- 31
ται καὶ χωρίζονται καθ' ἕκαστον τῶν βασιλέων [i] αἱ ἄλλαι· ἐὰν δὲ τύχωσιν ὀλίγαι πολλαῖς ἐγγὺς καθεζόμεναι, μετανίστανται αἱ ὀλίγαι πρὸς τὰς πολλάς, καὶ τὸν βασιλέα ὃν ἀπέλιπον, ἐὰν συνακολουθήσῃ, διαφθείρουσιν. Τὰ μὲν οὖν περὶ τὴν ἀπόλειψιν καὶ ἄφεσιν τοῦτον συμβαίνει γίνεσθαι τὸν τρόπον. Εἰσὶ δ' αὐταῖς τεταγμέναι ἐφ' ἕκαστον τῶν 32
ἔργων, οἷον αἱ μὲν ἀνθοφοροῦσιν, [k] αἱ δ' ὑδροφοροῦσιν, αἱ δὲ λεαίνουσι καὶ κατορθοῦσι τὰ κηρία. Φέρει δ' ὕδωρ, ὅταν τεκνοτροφῇ. Πρὸς σάρκα δ' οὐθενὸς καθίζει, οὐδ' [l] ὀψοφαγεῖ. Χρόνος δ' αὐταῖς οὐκ ἔστιν εἰθισμένος ἀφ' ὅτου ἄρ- 33
χονται [m] ἐργάζεσθαι· ἀλλ' ἐὰν [n] τἀπιτήδεια [o] ἔχωσι καὶ [p] εὖ διάγωσι, μᾶλλον ἐν ὥρᾳ τοῦ ἔτους ἐγχειροῦσι τῇ ἐργασίᾳ, καὶ ὅταν εὐδία ᾖ, συνεχῶς ἐργάζονται. Καὶ εὐθὺς δὲ νέα οὖσα, ὅταν [q] ἐκδύῃ, ἐργάζεται τριταία, ἐὰν ἔχῃ τροφήν. Καὶ ὅταν ἐσμὸς προκάθηται, [r] ἀποτρέπονται ἔνιαι ἐπὶ τρο- 34
φήν, εἶτ' ἐπανέρχονται πάλιν. [s]Εν δὲ τοῖς [s] εὐθηνοῦσι τῶν

[a] αὐτῶν A^a. [b] εἰς] καὶ εἰς D^a. [c] ληφθῶσιν] ληφθῶσιν εἰς τὰ ἀλλότρια P.D^a. [d] λαβεῖν D^a. [e] εἰσόδῳ γὰρ D^a. [f] ὑπερπλησθῆναι D^a. [g] πω] οὔπω P.A^a.C^a.D^a.E^a. [h] ἀποπέτανται P.A^a.C^a.E^a. [i] αἱ δ' ἄλλαι ἐὰν (κἂν A^a.) τύχωσιν A^a.C^a. [k] αἱ δὲ ὑδροφοροῦσιν om. P.D^a. [l] ὀψοφαγῇ A^a. [m] ἐνστάζεσθαι A^a.C^a. [n] τ' ἐπιτήδεια P. [o] ἔχῃ P.A^a.C^a.E^a. [p] εὖ διάγουσι P, εὐδίαι ὦσι D^a. [q] ἐκδοίη A^a. [r] ἀποπέτονται D^a. [s] εὐσθενοῦσι A^a.C^a.

Digitized by Google

σμηνῶν ἐκλείπει ὁ γόνος τῶν μελιττῶν περὶ τετταράκονθ'
35 ἡμέρας μόνον τὰς μετὰ χειμερινὰς τροπάς. [t]Ἐπειδὰν δ' [v]ηὐξημένοι ὦσιν οἱ νεοττοί, τροφὴν αὐτοῖς παραθεῖσαι [w]καταχρίουσιν· ὅταν δ' ᾖ [x]δυνατός, αὐτὸς διελὼν τὸ κάλυμμα ἐξέρχεται. Τὰ δὲ γινόμενα θηρία ἐν τοῖς σμήνεσι [y]καὶ λυμαινόμενα τὰ κηρία αἱ μὲν χρησταὶ μέλιτται ἐκκαθαίρουσιν, αἱ δ' ἕτεραι διὰ κακίαν περιορῶσιν ἀπολλύμενα τὰ [z]ἔργα.
36 [v]Ὅταν δὲ τὰ κηρία ἐξαιρῶσιν οἱ [a]μελιττουργοί, ἀπολείπουσιν αὐταῖς τροφὴν διὰ [b]χειμῶνος, ἢ ἐὰν μὲν [c]διαρκὴς ᾖ, σώζεται τὸ σμῆνος, [d]εἰ δὲ μή, ἐὰν μὲν χειμὼν ᾖ, αὐτοῦ θνήσκουσιν, εὐδιῶν δ' οὐσῶν ἐκλείπουσι τὸ σμῆνος. Τροφῇ δὲ χρῶνται μέλιτι καὶ θέρους καὶ χειμῶνος· τίθενται δὲ καὶ ἄλλην τροφὴν ἐμφερῆ τῷ κηρῷ τὴν σκληρότητα, ἣν ὀνομά-
37 ζουσί τινες σανδαράκην. [t]Ἀδικοῦσι δ' αὐτὰς μάλιστα [e]οἵ τε σφῆκες καὶ οἱ [f]αἰγίθαλοι καλούμενοι τὰ ὄρνεα, ἔτι δὲ χελιδὼν καὶ μέροψ. Θηρεύουσι δὲ καὶ οἱ τελματιαῖοι βάτραχοι πρὸς τὸ ὕδωρ αὐτὰς ἀπαντώσας· διόπερ καὶ τούτους οἱ μελισσεῖς ἐκ τῶν τελμάτων, ἀφ' ὧν ὑδρεύονται αἱ μέλιτται, θηρεύουσι, καὶ τὰς σφηκίας καὶ τὰς χελιδόνας τὰς πλησίον
38 τῶν σμηνῶν ἐξαιροῦσι, καὶ τὰς τῶν μερόπων [g]νεοττιάς. Οὐδὲν δὲ φεύγουσι τῶν ζῴων ἀλλ' ἢ ἑαυτάς. [t]Ἡ δὲ μάχη αὐτῶν ἐστὶ [h]καὶ πρὸς [i]αὐτὰς καὶ [k]πρὸς [l]τοὺς σφῆκας· καὶ ἔξω μὲν οὔτε ἀλλήλας ἀδικοῦσιν οὔτε τῶν ἄλλων οὐθέν, [m]τὰ
39 δὲ πρὸς τῷ σμήνει ἀποκτείνουσιν, ὧν ἂν κρατήσωσιν. Αἱ δὲ τύπτουσαι ἀπόλλυνται διὰ τὸ μὴ δύνασθαι τὸ κέντρον ἄνευ τοῦ ἐντέρου ἐξαιρεῖσθαι· πολλάκις γὰρ σώζεται, ἐὰν ὁ πληγεὶς ἐπιμελῆται καὶ τὸ κέντρον ἐκθλίψῃ· τὸ δὲ κέντρον [n]ἀποβαλοῦσα [o]ἡ μέλιττα ἀποθνήσκει. Κτείνουσι δὲ βάλ-

[t] ἐὰν P.C[a]. [v] αὐξημένοι A[a]. [w] κατακλείουσιν D[a]. [x] ἀδύνατος P.A[a].C[a].E[a]. [y] καὶ] καὶ τὰ P.A[a].C[a].E[a]. [z] ἔργα αὐτῶν. ὅταν A[a].C[a]. [a] μελιτουργοὶ D[a]. [b] χειμῶνα καὶ ἐὰν δ. D[a]. [c] διαρκὲς ᾖ P, διαρκέσῃ A[a].C[a]. [d] εἰ] ἐὰν A[a]. εἰ—σμῆνος om. E[a]. [e] αἵ P.A[a].C[a]. [f] αἰγιθαλοὶ A[a].C[a], αἰγίθαλλοι P. [g] νεοττείας P.A[a].C[a].D[a].E[a]. [h] καὶ om. P.A[a] C[a].E[a]. [i] ἑαυτὰς D[a]. [k] πρὸς om. P.A.C.E[a]. [l] τὰς P. [m] τὰς D[a]. [n] ἀποβαλοῦσι A[a], ἀποβάλλουσα P.D[a].E[a]. [o] ἡ—βάλλουσαι om. A[a].C[a].

Digitized by Google

λουσαι τὰ μεγάλα τῶν ζῴων, [p] καὶ ἵππος ἤδη ἀπέθανεν ὑπὸ μελιττῶν. [v] Ἥκιστα δὲ [q] χαλεπαίνουσιν οἱ ἡγεμόνες καὶ 40
τύπτουσιν. Τὰς δ' ἀποθνησκούσας τῶν μελιττῶν ἐκκομίζουσιν ἔξω. Καὶ τἆλλα δὲ [r] καθαριώτατόν ἐστι [s] τὸ ζῷον· [t] διὸ καὶ τὸ περίττωμα πολλάκις [v] ἀφιᾶσιν ἀποπετόμεναι, διὰ τὸ δυσῶδες εἶναι. Δυσχεραίνουσι δ', ὥσπερ εἴρηται, ταῖς δυσώδεσιν ὀσμαῖς καὶ ταῖς τῶν μύρων· διὸ καὶ τοὺς χρωμένους αὐτοῖς τύπτουσιν. [t] Ἀπόλλυνται δὲ διά τε ἄλλα συμπτώ- 41
ματα, καὶ ὅταν οἱ ἡγεμόνες πολλοὶ γενόμενοι ἕκαστος αὐτῶν μέρος [w] ἀπαγάγῃ. [t] Ἀπόλλυσι δὲ καὶ ὁ φρῦνος τὰς μελίττας· ἐπὶ τὰς εἰσόδους γὰρ ἐλθὼν [x] φυσᾷ τε καὶ ἐπιτηρῶν ἐκπετομένας κατεσθίει· ὑπὸ μὲν οὖν τῶν μελιττῶν οὐθὲν [y] κακὸν δύναται πάσχειν, ὁ δ' [z] ἐπιμελόμενος τῶν σμηνῶν κτείνει αὐτόν. [a] Τὸ δὲ γένος τὸ τῶν μελιττῶν [b] ὃ εἴρηται ὅτι 42
πονηρόν [b] τε καὶ [c] τραχέα τὰ κηρία [d] ἐργάζεται, [e] εἰσί τινες τῶν [f] μελιττουργῶν οἳ φασι [g] τὰς νέας μάλιστα τοῦτο ποιεῖν δι' ἀνεπιστημοσύνην· νέαι δ' εἰσὶν αἱ ἐπέτειοι. Οὐχ ὁμοίως [h] δ' οὐδὲ κεντοῦσιν αἱ νέαι· διὸ [i] οἱ ἐσμοὶ φέρονται· εἰσὶ γὰρ νέων μελιττῶν. [v] Ὅταν δ' ὑπολίπῃ τὸ μέλι, τοὺς κηφῆνας ἐκ- 43
βάλλουσι, καὶ παραβάλλουσι σῦκα καὶ τὰ γλυκέα αὐταῖς. Τῶν δὲ [k] μελιττῶν αἱ μὲν πρεσβύτεραι [l] τὰ εἴσω ἐργάζονται, καὶ δασεῖαί εἰσι διὰ τὸ εἴσω [m] μένειν, αἱ δὲ νέαι [n] ἔξωθεν φέρουσι καὶ εἰσὶ λειότεραι. Καὶ τοὺς κηφῆνας δὲ ἀποκτείνουσιν, 44
ὅταν μηκέτι χωρῇ αὐταῖς ἐργαζομέναις· εἰσὶ [o] δ' ἐν μυχῷ τοῦ σμήνους. [v] Ἤδη δὲ νοσήσαντός τινος σμήνους ἦλθόν τινες ἐπ' ἀλλότριον, καὶ μαχόμεναι νικῶσαι ἐξέφερον τὸ μέλι· ἐπεὶ δ' ἀπέκτεινεν ὁ [p] μελιττουργός, οὕτως [q] ἐπεξῆσαν αἱ ἕτεραι

[p] καὶ] οἷον $A^a.C^a.E^a$, om. P. [q] λ παίνουσιν P. [r] καθαρειότατόν E^a, καθαρώτατόν $P.A^a.C^a$. [s] τῶν ζώων $P.A^a.C^a.E^a$. [t] διὸ καὶ] δι' οὗς A^a. [v] ἀφίησιν $P.A^a.C^a$. [w] ἀπαγάγῃ πη. ἀπόλλυσι $P.C^a.E^a$. [x] φύσαι A^a. [y] κακὸν] δεινὸν E^a. [z] ἐπιμελούμενος A^a. [a] τὸ δὲ] διὰ τὸ $A^a.C^a$. [b] τε om. E^a. [c] τραχεῖα $A^a.C^a$. [d] ἀπεργάζεται A^a. [e] εἰσὶ δέ τινες $A^a.C^a$. [f] μελιτουργῶν D^a E^a. [g] μάλιστα τὰς νέας $P.C^a.D^a.E^a$. [h] δ' οὐδὲ] δὲ D^a. [i] οἱ om. A^a. [k] μελισσῶν $P.C^a.D^a.E^a$. [l] τὰ εἴσω] ἔξω D^a. [m] μένειν] μὲν εἶναι $A^a.C^a$. [n] ἔξωθεν] ἔξωθεν μὲν A^a. [o] δ'] γὰρ $P.C^a.D^a.E^a$. [p] μελιτουργὸς E^a. [q] ἐπεξίεσαν P, ἐξίεσαν pr. E^a.

Digitized by Google

45 καὶ ἡμίνοντο, καὶ τὸν ἄνθρωπον οὐκ ἔτυπτον. Τὰ δὲ νοσήματα [r] ἐμπίπτει [s] μάλιστα εἰς τὰ εὐθηνοῦντα τῶν σμηνῶν, ὅ τε καλούμενος [t] κλῆρος· [v] τοῦτο γίνεται ἐν τῷ ἐδάφει σκωλήκια μικρά, ἀφ' ὧν [w] αὐξανομένων ὥσπερ ἀράχνια κατίσχει ὅλον τὸ σμῆνος, καὶ σήπεται τὰ κηρία· ἄλλο δὲ νόσημα οἷον ἀργία τις γίνεται τῶν μελιττῶν καὶ δυσωδία τῶν σμηνῶν.
46 Νομὴ δὲ [x] τῶν μελιττῶν τὸ θύμον· ἄμεινον δὲ τὸ λευκὸν τοῦ ἐρυθροῦ. Τόπος δ' [y] ἐν τῷ πνίγει μὴ ἀλεεινός, [z] ἐν δὲ τῷ χειμῶνι ἀλεεινός. Νοσοῦσι δὲ μάλιστα, ὅταν ἐρυσιβώδη ἐργάζωνται ὕλην. [v] Ὅταν δ' ἄνεμος ᾖ μέγας, φέρουσι λίθον ἐφ'
47 [a] ἑαυταῖς ἕρμα πρὸς τὸ πνεῦμα. Πίνουσι δ', ἂν μὲν ᾖ ποταμὸς πλησίον, [b] οὐδαμόθεν ἄλλοθεν ἢ ἐντεῦθεν, θέμεναι τὸ ἄχθος πρῶτον· ἐὰν δὲ μὴ ᾖ, ἐτέρωθεν πίνουσαι [c] ἀνεμοῦσι τὸ μέλι, καὶ [d] εὐθὺς ἐπ' ἔργον πορεύονται. Τῇ δὲ τοῦ μέλιτος ἐργασίᾳ διττοὶ καιροί εἰσίν, ἔαρ καὶ μετόπωρον· ἥδιον
[e] δὲ καὶ λευκότερον καὶ τὸ σύνολον [f] κάλλιόν ἐστι τὸ ἐαρινὸν
48 τοῦ μετοπωρινοῦ. Μέλι δὲ [g] κάλλιον γίνεται [h] ἐκ νέου [i] κηροῦ καὶ ἐκ μόσχου· τὸ δὲ πυρρὸν αἴσχιον διὰ τὸ κηρίον· διαφθείρεται γὰρ ὥσπερ οἶνος ὑπ' ἀγγείου· διὸ δεῖ ξηραίνειν αὐτό. [v] Ὅταν δὲ τὸ θύμον ἀνθῇ καὶ πλῆρες γίνηται τὸ κηρίον, οὐ [k] πήγνυται τοῦτο. [v] Ἔστι δὲ καλὸν τὸ χρυσοειδές· τὸ δὲ λευκὸν οὐκ ἐκ θύμου εἰλικρινοῦς, ἀγαθὸν δὲ πρὸς [l] ὀφθαλ-
49 μοὺς καὶ ἕλκη. Τοῦ δὲ μέλιτος τὸ μὲν ἀσθενὲς [m] ἀεὶ ἄνω ἐπιπολάζει, ὃ δεῖ ἀφαιρεῖν, τὸ δὲ καθαρὸν κάτω. [v] Ὅταν δ' ἡ ὕλη ἀνθῇ, κηρὸν ἐργάζονται· διὸ ἐκ τοῦ σίμβλου τότ' ἐξαιρετέον τὸν κηρόν· ἐργάζονται γὰρ εὐθύς. Ἀφ' ὧν δὲ φέρουσιν, ἔστι τάδε, [n] ἀτρακτυλλίς, μελίλωτον, [o] ἀσφόδελος,

[r] ἐκπίπτει C[a]. [s] μᾶλλον εἰς τὰ εὐσθενοῦντα A[a]. [t] κληρὸς C[a], σκληρὸς A[a], σκλῆρος D[a].E[a]. et postposito καλούμενος P. [v] τοῦτο] τότε rc. A[a], τοῦτο δὲ C[a].D[a]. [w] αὐξομένων D[a]. [x] ταῖς μελίτταις A[a].C[a]. [y] ἐν] ἔν τε D[a]. [z] ἐν δὲ] καὶ ἐν A[a].C[a].E[a]. ἐν—ἀλεεινός om. P. [a] ἑαυτοῖς A[a]. [b] οὐδαμοῖς A[a]. [c] ἀνιμοῦσι E[a]. [d] ἐπ' ἔργον εὐθὺς D[a]. [e] δὲ om. A[a].C[a]. [f] κάλλιόν] καὶ λεῖόν C[a], λεῖόν A[a]. [g] κάλλιστον D[a]. [h] ἐκ] τὸ ἐκ A[a]. [i] καιροῦ P. [k] πήγνυνται P.E[a]. [l] ὀφθαλμὸν A[a]. [m] ἀεὶ om. E[a]. [n] ἀτρακοτυλὶς A[a]. [o] ἀσφοδελὸς A[a].C[a].

Digitized by Google

[p] μυρρίνη, φλεώς, ἄγνος, [q] σπάρτον. [v]Οταν δὲ τὸ θύμον 50
ἐργάζωνται, ὕδωρ μιγνύουσι πρὶν τὸ κηρίον [r] καταλείφειν.
[1]Αφοδεύουσι δ' [s] αἱ μέλιτται πᾶσαι ἢ ἀποπετόμεναι, ὥσπερ
εἴρηται, ἢ εἰς ἓν κηρίον. Εἰσὶ δ' αἱ μικραὶ ἐργάτιδες μᾶλλον
τῶν μεγάλων, ὥσπερ εἴρηται, ἔχουσι δὲ τὰ πτερὰ περιτε-
τριμμένα καὶ χροιὰν μέλαιναν, καὶ [t] ἐπικεκαυμέναι· αἱ δὲ
φαναὶ καὶ λαμπραί, ὥσπερ γυναῖκες ἀργαί. Δοκοῦσι δὲ 51
χαίρειν αἱ μέλιτται καὶ τῷ κρότῳ, διὸ καὶ [v] κροτοῦντές φασιν
ἀθροίζειν αὐτὰς εἰς τὸ σμῆνος ὀστράκοις τε καὶ [w] ψήφοις·
ἔστι μέντοι ἄδηλον ὅλως [x] εἰ ἀκούουσιν, καὶ πότερον δι' ἡδο-
νὴν τοῦτο ποιοῦσιν ἢ διὰ φόβον. [1]Εξελαύνουσι [y] δὲ καὶ τὰς
ἀργὰς αἱ μέλιτται καὶ τὰς [z] μὴ φειδομένας. Διήρηνται δὲ 52
τὰ ἔργα, ὥσπερ εἴρηται πρότερον, καὶ αἱ μὲν κηρία ἐργά-
ζονται, αἱ δὲ τὸ μέλι, αἱ δ' [a] ἐριθάκην· καὶ αἱ μὲν πλάττουσι
κηρία, αἱ δὲ ὕδωρ φέρουσιν εἰς τοὺς κυττάρους καὶ μιγνύουσι
τῷ μέλιτι, αἱ δ' ἐπ' ἔργον ἔρχονται. [1]Ορθριαι δὲ σιωπῶσιν, 53
ἕως [b] ἂν μία ἐγείρῃ βομβήσασα δὶς ἢ [c] τρίς· τότε δ' ἐπ'
ἔργον ἀθρόαι πέτονται, καὶ ἐλθοῦσαι πάλιν θορυβοῦσι τὸ
πρῶτον, κατὰ μικρὸν [d] δ' ἧττον, ἕως ἂν μία περιπετομένη
βομβήσῃ, ὥσπερ σημαίνουσα καθεύδειν· εἶτ' ἐξαπίνης σιω-
πῶσιν. Διαγινώσκεται δ' ἰσχύειν τὸ σμῆνος τῷ [e] τὸν ψό- 54
φον εἶναι πολὺν καὶ κινεῖσθαι ἐξιούσας καὶ εἰσιούσας· τότε
γὰρ [f] σχαδόνας ἐργάζονται. [g]Πεινῶσι δὲ μάλισθ' ἡνίκ'
[h] ἂν ἄρχωνται ἐκ τοῦ χειμῶνος. [1]Αργότεραι δὲ γίνονται,
ἐὰν πλεῖόν τις καταλίπῃ μέλι [i] βλίττων· ἀλλὰ δεῖ πρὸς τὸ
πλῆθος [k] καταλείπειν τὰ κηρία· [l] ἀθυμότερον δ' ἐργάζονται
κἂν ἐλάττω καταλειφθῇ. [1]Αργότεραι δὲ γίνονται κἂν μέγα 55

[p] μυρίνη φλεὸς ἀγνός A[a]. [q] σπάργον C[a]. [r] καταληφθῇ A[a], κατα-
λειφθείη C[a]. [s] al om. P.D[a].E[a]. [t] ἐπικεκαμμέναι P.A[a]. [v] κροτοῦντα
φησὶν P. [w] ψόφοις P.A[a].D[a]. [x] εἰ] εἴτε E[a], εἴ τι P. et corr. A[a],
ἔτι A[a], ἄρα C[a]. [y] δὲ] γὰρ A[a]. [z] μὴ om. E[a]. [a] ῥιθάκην plerique.
[b] ἂν om. P.C[a].E[a]. [c] τρεῖς. τὸ δ' A[a]. [d] δ' ἧττον] διττὸν A[a].C[a].
[e] τὸν om. P.D[a].E[a]. [f] σχαδόνες P, σχάλωνες A[a], σχάλωνας C[a], χλα-
δόνας pr. E[a]. [g] πίνουσι P.D[a].E[a], πονοῦσι Scaliger. [h] ἂν om. C[a].
[i] βλήττων P.D[a], βλῆττον A[a].C[a], βλάπτων E[a]. [k] καταλιπεῖν P.D[a].
[l] ἀθυμότερον—κυψέλιον ἢ om. A[a].

Digitized by Google

τὸ [m] κυψέλιον ἢ· ἀθυμότερον [n] γὰρ πονοῦσιν. [o] Βλίττεται δὲ σμῆνος [p] χοᾶ [q] ἢ τρία ἡμίχοα, τὰ δ' εὐθηνοῦντα δύο χοᾶς
56 ἢ πέντε ἡμίχοα· τρεῖς δὲ χοᾶς ὀλίγα. Πολέμιον δὲ [r] πρόβατον ταῖς μελίτταις, καὶ οἱ σφῆκες, ὥσπερ εἴρηται καὶ πρότερον· θηρεύουσι δὲ τούτους καὶ οἱ [s] μελιττουργοί, λοπάδα τιθέντες καὶ [t] κρέας εἰς αὐτὴν [v] ἐμβάλλοντες· ὅταν δὲ πολλοὶ
57 ἐμπίπτωσιν, [w] ἐπὶ τὸ πῦρ πωμάσαντες ἐπιτιθέασιν. Κηφῆνες δ' ὀλίγοι ἐνόντες ὠφελοῦσι τὸ σμῆνος· ἐργατικωτέρας [x] γὰρ ποιοῦσι τὰς μελίττας. Προγινώσκουσι δὲ καὶ χειμῶνα καὶ ὕδωρ αἱ μέλιτται· σημεῖον δέ, οὐκ ἀποπέτονται γὰρ ἀλλ' ἐν τῇ εὐδίᾳ αὐτοῦ ἀνειλοῦνται, [y] ᾧ γινώσκουσιν οἱ
58 [z] μελιττουργοὶ ὅτι χειμῶνα προσδέχονται. [v]Οταν δὲ [a] κρέμωνται ἐξ ἀλλήλων ἐν τῷ σμήνει, σημεῖον γίνεται τοῦτο ὅτι ἀπολείψει τὸ σμῆνος. [t]Αλλὰ καταφυσῶσι τὸ σμῆνος οἴνῳ γλυκεῖ ὁ [z] μελιττουργοί, ὅταν τοῦτ' αἴσθωνται. Φυτεύειν δὲ συμφέρει [b] περὶ [c] τὰ σμήνη ἀχράδας, κυάμους, πόαν Μηδικήν, [de] Συρίαν, ὤχρους, μυρρίνην, μήκωνα, [f] ἕρπυλλον, [g] ἀμυ-
59 γδαλῆν. Γινώσκουσι δέ τινες τῶν [z] μελιττουργῶν τὰς ἑαυτῶν ἐν τῷ [h] νομῷ ἄλευρα [i] καταπάσαντες. [t]Εὰν [k] δ' ἔαρ [l] ὄψιον γένηται ἢ αὐχμός, καὶ ὅταν ἐρυσίβη, [m] ἔλαττον ἐργάζονται αἱ μέλιτται τὸν γόνον.

Τὰ μὲν οὖν περὶ τὰς μελίττας τοῦτον ἔχει τὸν τρόπον,
41 τῶν δὲ σφηκῶν ἐστὶ δύο γένη. Τούτων [n] δ' οἱ μὲν ἄγριοι σπάνιοι, γίνονται δ' ἐν τοῖς [o] ὄρεσι, καὶ τίκτουσιν οὐ κατὰ γῆς ἀλλ' ἐν ταῖς δρυσί, τὴν μὲν μορφὴν μείζους καὶ προμηκέστεροι καὶ [p] μελαγχρῶτες τῶν [q] ἑτέρων μᾶλλον, ποικίλοι

[m] κυψέλλιον Aa.Ca.Da. [n] γὰρ] δὲ Aa. [o] βλήττεται P.Aa.Ca.Da.Ea. [p] χοὰς Ea, χοαὶ P, χοαῖς Aa.Ca. [q] ἢ om. Aa.Ca. [r] πρόβατα P.Da, πρόβατι Aa. [s] μελιτουργοὶ Aa.Ea. [t] κρέα Aa. [v] ἐμβαλόντες Ca. [w] εἰς Aa.Da. [x] γὰρ] δὲ Aa. [y] ὃ P.Da.Ea. [z] utrobique μελιτουργοί, et mox μελιτουργῶν Ea. [a] κρέμμανται Ca. [b] παρὰ P.Da.Ea. [c] τὰ om. Aa. [d] Συρίαν] πόαν συρίαν Da. [e] Συρίαν ὤχρους] συρίαν ὤχρας Ea, συριανόχρους P. [f] ἑρπύλλωνα Aa. [g] ἀμυγδάλην P.Da, μυγάλην Aa.Ca. [h] νόμῳ P.Ea. [i] κατασπάσαντες P.Ca.Ea. [k] δ' om. Aa. [l] ὄψιμον P. [m] ἐλάττονα Da. [n] δ' om. Da. [o] ἄρρεσι Aa. [p] μελαγχρῶντες Ca, μελανοχρῶτες Aa. [q] ἐντέρων Aa.

Digitized by Google

δὲ καὶ ἔγκεντροι πάντες καὶ ἀλκιμώτεροι, καὶ τὸ πλῆγμα ὀδυνηρότερον αὐτῶν ἢ ἐκείνων· καὶ [r]γὰρ τὸ κέντρον ἀνάλογον μεῖζον τὸ τούτων. Οὗτοι μὲν οὖν διετίζουσι, καὶ [s]ὁρῶνται 2 [t]καὶ τοῦ χειμῶνος ἐκ δρυῶν κοπτομένων ἐκπετόμενοι, ζῶσι δὲ [v]φωλοῦντες τὸν χειμῶνα· ἡ δὲ διατριβὴ ἐν τοῖς ξύλοις. Εἰσὶ δ' αὐτῶν οἱ μὲν μῆτραι οἱ δ' ἐργάται, ὥσπερ καὶ τῶν ἡμερωτέρων· [w]τίς δ' ἡ φύσις τοῦ ἐργάτου καὶ τῆς μήτρας, ἐπὶ τῶν ἡμερωτέρων ἔσται δῆλον. [u]Εστι γὰρ καὶ τῶν ἡμέρων σφη- 3 κῶν [x]δύο γένη, οἱ μὲν ἡγεμόνες, οὓς καλοῦσι μήτρας, οἱ δ' ἐργάται. Εἰσὶ δὲ μείζους οἱ ἡγεμόνες πολὺ καὶ πραότεροι. Καὶ οἱ μὲν ἐργάται οὐ διετίζουσιν, ἀλλὰ πάντες ἀποθνή- 4 σκουσιν, ὅταν χειμὼν ἐπιπέσῃ (φανερὸν δ' ἐστὶ τοῦτο· τοῦ γὰρ χειμῶνος ἀρχομένου μὲν μωροὶ γίνονται οἱ ἐργάται αὐτῶν, περὶ [y]τροπὰς δ' οὐ φαίνονται ὅλως), οἱ δ' ἡγεμόνες οἱ καλούμενοι μῆτραι ὁρῶνται δι' ὅλου τοῦ χειμῶνος καὶ κατὰ γῆς φωλεύουσιν· ἀροῦντες γὰρ καὶ σκάπτοντες ἐν τῷ χει- μῶνι μήτρας μὲν πολλοὶ ἑωράκασιν, ἐργάτας δ' οὐθείς. [y]Η 5 δὲ γένεσις τῶν σφηκῶν [z]ἐστὶ τοιάδε. Οἱ ἡγεμόνες ὅταν λάβωσι τόπον [a]εὔσκοπον [b]ἐπιόντος τοῦ θέρους, πλάττονται τὰ κηρία καὶ συνίστανται οὓς καλοῦσι σφηκωνεῖς τοὺς μι- κρούς, οἷον τετραθύρους ἢ ἐγγὺς τούτων, ἐν οἷς σφῆκες γί- νονται καὶ οὐ μῆτραι. Τούτων δ' αὐξηθέντων πάλιν μετὰ 6 τούτους ἄλλους [c]μείζους [d]συνίστανται, καὶ πάλιν τούτων αὐξηθέντων ἑτέρους, ὥστε τοῦ μετοπώρου τελευτῶντος πλεῖ- στα καὶ μέγιστα γίνεσθαι σφηκία, ἐν οἷς ὁ ἡγεμών, ἡ καλου- μένη μήτρα, οὐκέτι σφῆκας γεννᾷ ἀλλὰ μήτρας. Γίνονται 7 δ' οὗτοι ἄνω ἐπὶ τοῦ σφηκίου ἐπιπολῆς μείζους σκώληκες ἐν θυρίσι συνεχέσι [e]τέτταρσιν ἢ μικρῷ πλείοσιν, παραπλησίως δ' ὥσπερ ἐν τοῖς κηρίοις τὰ τῶν ἡγεμόνων. [t]Επειδὰν δὲ 8 γένωνται οἱ ἐργάται σφῆκες ἐν τοῖς κηρίοις, οὐκέτι οἱ ἡγε-

[r] γὰρ om. D^a. [s] ὁρῶνται] ὁρῶν P.E^a. [t] καὶ om. D^a. [v] φωλεοῦντες A^a. [w] τίς—ἡμερωτέρων om. A^a.C^a. [x] γένη δύο A^a.D^a. [y] δὲ τροπὰς A^a.C^a. [z] ἐστὶ om. P.A^a.C^a.E^a. [a] ἄσκοπον A^a. [b] εἰπόντες P.E^a, πονοῦντος A^a, πονοῦντες C^a. [c] μείζους] μείζους ἱστοὺς D^a. [d] συνίσταται C^a. [e] τέσσαρσιν D^a.

Digitized by Google

μόνες ἐργάζονται, ἀλλ' οἱ ἐργάται [f]αὐτοῖς τὴν τροφὴν εἰσφέρουσιν· φανερὸν δ' ἐστὶ [g]τοῦτο τῷ μηκέτι τοὺς ἡγεμόνας [h]ἐκπέτεσθαι τῶν ἐργατῶν, ἀλλ' ἔνδον [i]μένοντας
9 ἡσυχάζειν. Πότερον δ' οἱ [k]περυσινοὶ ἡγεμόνες, ὅταν νέους ποιήσωσιν ἡγεμόνας, ἀποθνήσκουσιν [l]ὑπὸ τῶν νέων σφηκῶν, καὶ τοῦθ' ὁμοίως συμβαίνει, ἢ καὶ πλείω χρόνον [m]δύνανται ζῆν, οὐδὲν ὤπταί πω· [n]οὐδὲ γῆρας [o]οὔτε μήτρας οὔτε τῶν ἀγρίων σφηκῶν οὐδείς πω ὤπται ἑωρακώς, οὐδ' ἄλλο [p]τοι-
10 οῦτον οὐδὲν πάθος. [q]Ἔστι δ' ἡ μήτρα [q]πλατὺ καὶ βαρύ, καὶ [r]παχύτερον καὶ μεῖζον τοῦ σφηκός, καὶ πρὸς τὴν πτῆσιν διὰ τὸ βάρος οὐκ ἄγαν ἰσχυρόν· οὐδὲ δύνανται ἐπὶ τὸ πολὺ πέτεσθαι· διὸ [s]καὶ κάθηνται ἐν τοῖς σφηκίοις [t]ἀεί, συμπλάττουσαι καὶ διοικοῦσαι [v]τὰ ἔνδον. [q]Ἐν δὲ τοῖς πλείστοις
11 [w]σφηκίοις [x]ἔνεισιν αἱ μῆτραι καλούμεναι. [q]Ἀμφισβητεῖται δὲ πότερον ἔγκεντροί εἰσιν ἢ ἄκεντροι· ἐοίκασι δ', ὥσπερ [y]οἱ τῶν μελιττῶν ἡγεμόνες, ἔχειν μέν, οὐκ ἐξιέναι δὲ οὐδὲ βάλλειν. Τῶν δὲ σφηκῶν οἱ μὲν ἄκεντροί εἰσιν ὥσπερ κηφῆνες,
12 οἱ δ' ἔχουσι κέντρον. Εἰσὶ δ' [z]οἱ ἄκεντροι ἐλάττους καὶ ἀμενηνότεροι, καὶ οὐκ ἀμύνονται, οἱ δ' ἔχοντες τὰ κέντρα μείζους καὶ [a]ἄλκιμοι· καὶ καλοῦσι τούτους ἔνιοι μὲν ἄρρενας, τοὺς δ' ἀκέντρους θηλείας. Πρὸς δὲ τὸν χειμῶνα ἀποβάλλειν δοκοῦσι πολλοὶ τῶν ἐχόντων τὰ κέντρα· [b]αὐτόπτῃ δ' οὔπω
13 ἐντετυχήκαμεν. Γίνονται δ' οἱ σφῆκες μᾶλλον ἐν τοῖς αὐχμοῖς καὶ ἐν ταῖς χώραις ταῖς τραχείαις, γίνονται δ' ὑπὸ γῆν, καὶ τὰ κηρία πλάττουσιν ἐκ [c]φορυτοῦ καὶ γῆς, ἀπὸ μιᾶς ἀρχῆς ἕκαστον ὥσπερ ἀπὸ ῥίζης. Τροφῇ δὲ χρῶνται μὲν καὶ ἀπ' [d]ἀνθῶν τινῶν καὶ καρπῶν, τὴν δὲ πλείστην ἀπὸ ζῳο-
14 φαγίας. [e]Ὠμμένοι δ' εἰσὶν ὀχευόμενοι [f]ἤδη καὶ τῶν ἄλλων

[f] αὐτῶν Aª. [g] τούτῳ Aª. [h] ἐκπέτασθαι Aª.Cª.Eª. [i] μὲν ὄντας P.Eª. [k] περισυνοὶ Aª. [l] ἀπὸ P.Aª.Cª.Eª, μετὰ Dª. [m] δύναται Aª. [n] οὐδέ] οὔτε Dª. [o] οὐδὲ Aª. [p] τοιοῦτ' P.Eª. [q] πλατὺς Aª. [r] παχυτέρα Aª. [s] καὶ] ἀεὶ Aª.Cª, ἂν P. [t] ἀεί om. P.Aª.Cª. [v] τὰ] κατὰ Aª. [w] σφηκείοις Cª, qui ita sæpe. [x] εἰσιν Aª. [y] οἱ—ὥσπερ om. Aª.Cª. [z] οἱ post δ' om. Cª. [a] ἀλκιμώτεροι Aª. [b] αὐτόπται Dª, αὐτόπτη P. [c] φωρυτοῦ P.Dª. [d] ἀγαθῶν Cª. [e] ὠμμένοι] ὧν ὠμμένοι P.Eª. [f] ἤδη om. P.Aª.Cª.Eª.

Digitized by Google

τινές· [g] εἰ δ' ἄκεντροι ἄμφω ἢ κέντρα ἔχοντες, ἢ ὁ μὲν ὁ δ' οὔ, [h] οὔπω ὤπται. Καὶ τῶν ἀγρίων ὀχευόμενοι ὠμμένοι, [i] καὶ ὁ ἕτερος ἔχων κέντρον· περὶ θατέρου δ' οὐκ ὤφθη. [k] Ὁ δὲ γόνος οὐ δοκεῖ ἐκ τοῦ [k] τόκου γίνεσθαι, ἀλλ' εὐθὺς [l] μείζων εἶναι ἢ ὡς σφηκὸς τόκος. Ἐὰν δὲ λάβῃ τις τῶν ποδῶν σφῆκα καὶ τοῖς πτεροῖς ἐᾷ βομβεῖν, [m] προσπέτονται οἱ ἄκεντροι, οἱ δὲ τὰ κέντρα ἔχοντες οὐ προσπέτονται· ᾧ τινὲς τεκμηρίῳ χρῶνται ὡς τῶν μὲν ἀρρένων ὄντων τῶν δὲ θηλειῶν. Ἁλίσκονται δ' ἐν τοῖς σπηλαίοις τοῦ χειμῶνος καὶ ἔχοντες ἔνιοι κέντρα καὶ οὐκ ἔχοντες. Ἐργάζονται δ' οἱ μὲν μικρὰ καὶ ὀλίγα [n] σφηκία, [o] οἱ δὲ πολλὰ καὶ μεγάλα. Αἱ δὲ μῆτραι καλούμεναι ἁλίσκονται [p] τραπείσης τῆς ὥρας, αἱ πολλαὶ περὶ τὰς πτελέας· συλλέγουσι γὰρ τὰ γλίσχρα [q] καὶ [r] κομμιώδη. Γεγένηται δέ που μητρῶν πλῆθος γενομένων τῷ ἔμπροσθεν ἔτει πολλῶν σφηκῶν καὶ ἐπομβρίας. Θηρεύονται δὲ περὶ τοὺς κρημνοὺς καὶ [s] τὰ ῥήγματα τῆς γῆς [t] τὰ εἰς ὀρθόν, καὶ πάντες φαίνονται ἔχοντες κέντρα.

Τὰ μὲν οὖν περὶ τοὺς σφῆκας τοῦτον ἔχει τὸν τρόπον, 42
αἱ δ' [v] ἀνθρῆναι ζῶσι μὲν οὐκ ἀνθολογούμεναι ὥσπερ αἱ μέλιτται, ἀλλὰ τὰ πολλὰ σαρκοφαγοῦσαι (διὸ καὶ περὶ τὴν κόπρον διατρίβουσιν· θηρεύουσι γὰρ τὰς μεγάλας μυίας, καὶ ὅταν καταλάβωσιν, ἀφελοῦσαι τὴν κεφαλὴν ἀποπέτονται φέρουσαι τὸ σῶμα τὸ λοιπόν), ἅπτονται δὲ καὶ τῆς γλυκείας ὀπώρας. Τροφῇ μὲν οὖν χρῶνται τῇ εἰρημένῃ, ἔχουσι 2
δ' [w] ἡγεμόνας ὥσπερ αἱ μέλιτται καὶ [x] οἱ σφῆκες· καὶ οἱ ἡγεμόνες οὗτοι μείζονές εἰσι τῷ μεγέθει κατὰ λόγον πρὸς τὰς [v] ἀνθρήνας ἢ [y] ὁ τῶν σφηκῶν πρὸς [z] τοὺς σφῆκας καὶ ὁ τῶν μελιττῶν πρὸς τὰς μελίττας. Διατρίβει δ' ἔσω καὶ

[g] εἰ] οἱ P.A[a].C[a].D[1].E[a]. [h] οὔπω] πω E[a], που P, om. D[a]. [i] καὶ ante ὁ om. D[a]. [k] τόκου] γόνου D[a]. [l] μείζω A[a]. [m] προσπέτονται—οὐ om. P. [n] σφηκεῖα C[a]. [o] οἱ δὲ πολλὰ καὶ μεγάλα om. P.A[a].C[a].D[a].E[a]. [p] περιούσης P.E[a], προϊούσης D[a]. [q] καὶ] καὶ τὰ D[a]. [r] κομώδη D[a], μομμιώδη E[a], μομβιώδη P. [s] τὰ om. E[a]. [t] τὰς A[a].C[a]. [v] hic et sect. 3. et 6. ἀνθρῖναι, sect. 2. ἀνθρίνας, sect. 6. ἀνθρινῶν, c. 43. 2. ἀνθρίνη P.E[a]. [w] ἡγεμόνα P.E[a]. [x] οἱ σ.] αἱ σ. P. [y] ὁ om. C[a]. [z] τοὺς] τὰς D[a].

Digitized by Google

3 οὗτος, ὥσπερ [a] ὁ τῶν σφηκῶν ἡγεμών. Ποιοῦσι δὲ τὸ σμῆνος ὑπὸ γῆν αἱ [v] ἀνθρῆναι, ἐκφέρουσαι τὴν γῆν ὥσπερ οἱ μύρμηκες· [b] ἀφεσμὸς γάρ, ὥσπερ τῶν μελιττῶν, οὐ γίνεται οὔτε τούτων οὔτε τῶν σφηκῶν, ἀλλ' ἀεὶ ἐπιγινόμεναι νεώτεραι αὐτοῦ μένουσι καὶ τὸ σμῆνος μεῖζον ποιοῦσιν ἐκφέρουσαι
4 τὸν χοῦν. [c] Γίνεται [d] δὲ μεγάλα τὰ σμήνη· ἤδη γὰρ [e] εὐθηνοῦντος σμήνους κόφινοι τρεῖς καὶ τέτταρες ἐξῄρηνται κηρίων. [f] Οὐδὲ τροφὴν δ', ὥσπερ αἱ μέλιτται, ἀποτίθενται, ἀλλὰ φωλεύουσι τὸν χειμῶνα, αἱ δὲ πλεῖσται ἀποθνήσκου-
5 σιν· εἰ δὲ καὶ πᾶσαι, οὔπω δῆλον. Οἱ δ' ἡγεμόνες πλείους ἑνὸς οὐ γίνονται ἐν τοῖς σμήνεσιν, ὥσπερ ἐν τοῖς τῶν μελιττῶν, οἳ διασπῶσι τὰ σμήνη τῶν μελιττῶν. [v] Ὅταν δὲ πλανηθῶσί τινες τῶν ἀνθρηνῶν ἀπὸ τοῦ σμήνους, συστραφεῖσαι πρός τινα ὕλην ποιοῦσι κηρία, [g] οἷάπερ [h] καὶ [i] ὁρᾶται [k] ἐπιπολῆς ὄντα πολλάκις, καὶ ἐν τούτῳ [l] ἐργάζονται ἡγεμόνα ἕνα· οὗτος δ' ἐπὰν ἐξέλθῃ καὶ αὐξήσῃ, ἀπάγει λαβὼν καὶ
6 κατοικίζει μεθ' αὑτοῦ εἰς σμῆνος. Περὶ δ' ὀχείας τῶν [v] ἀνθρηνῶν οὐδὲν ὦπταί πω, οὐδὲ πόθεν γίνεται ὁ γόνος. [1] Ἐν μὲν οὖν ταῖς μελίτταις ἄκεντροί εἰσι καὶ οἱ κηφῆνες καὶ οἱ βασιλεῖς, [m] καὶ τῶν σφηκῶν ἔνιοι ἄκεντροί εἰσι, καθάπερ εἴρηται πρότερον· αἱ δ' [v] ἀνθρῆναι πᾶσαι φαίνονται κέντρον ἔχουσαι. [1] Ἐπισκεπτέον δὲ μᾶλλον καὶ περὶ τοῦ ἡγεμόνος, εἰ κέντρον ἔχει ἢ μή.

43 Οἱ δὲ βομβύλιοι τίκτουσιν ὑπὸ πέτρας ἐπ' αὐτῆς τῆς γῆς, θυρίσι δυσὶν ἢ μικρῷ πλείοσιν· εὑρίσκεται δὲ καὶ μέ-
2 λιτος ἀρχὴ φαύλου τινὸς ἐν τούτοις. [1] Ἡ δὲ τενθρηδὼν [n] προσεμφερὴς μέν ἐστι τῇ [vo] ἀνθρήνῃ, ποικίλον δέ, καὶ τὸ πλάτος ὅμοιον τῇ μελίττῃ· λίχνον δ' [p] ὄν καὶ πρὸς τὰ μαγειρεῖα καὶ τοὺς ἰχθύας καὶ τὴν τοιαύτην ἀπόλαυσιν κατὰ

[a] δ] καὶ ὁ Da. [b] ἀφεομὸς P, ἀφεθμὸς Ea. [c] γίνονται P. [d] δὲ] γὰρ Aa.Ca. [e] εὐσθενοῦντος Aa.Ca. [f] δ' om. Aa.Da. [g] ἅπερ Da. [h] καὶ om. P. [i] ὀργᾶται Aa.Ca. [k] ἐπιπολήσαντα π. P.Ca.Ea, ἐπιστολάσαντα π. Aa. [l] ἐνεργάζονται P. [m] καὶ ante τῶν om. Aa.Ca. [n] προσεμφερὴς Ca. [o] ἀνθρωπίνῃ Aa. [p] ὂν om. P.Aa.Ca.Ea.

Digitized by Google

μόνας [q] προσπέταται· ἐκτίκτει δὲ κατὰ γῆς ὥσπερ οἱ [r] σφῆκες, πολύχουν δ' ἐστί, καὶ τὸ τενθρήνιόν αὐτῶν πολὺ μεῖζον ἢ τῶν σφηκῶν καὶ προμηκέστερον.

Τὰ μὲν οὖν περὶ [s] τὴν τῶν μελιττῶν [t] καὶ τῶν σφηκῶν καὶ [v] τῶν ἄλλων τῶν τοιούτων ἐργασίαν καὶ τὸν βίον τοῦτον ἔχει τὸν τρόπον. Περὶ δὲ τὰ [w] ἤθη τῶν ζῴων, ὥσπερ 44
εἴρηται [x] καὶ πρότερον, ἔστι θεωρῆσαι διαφορὰς πρὸς ἀν-
δρίαν [y] μὲν μάλιστα καὶ δειλίαν, ἔπειτα καὶ [z] πρὸς πραότητα
καὶ ἀγριότητα καὶ αὐτῶν τῶν ἀγρίων. Καὶ γὰρ ὁ λέων ἐν 2
τῇ βρώσει μὲν χαλεπώτατός ἐστι, μὴ [a] πεινῶν δὲ καὶ βε-
βρωκὼς πραότατος. Ἔστι δὲ τὸ [b] ἦθος οὐχ ὑπόπτης
οὐδενὸς [c] οὐδ' ὑφορώμενος οὐδέν, πρός τε τὰ σύντροφα καὶ
συνήθη σφόδρα φιλοπαίγμων καὶ στερκτικός. Ἐν δὲ ταῖς 3
θήραις ὁρώμενος μὲν οὐδέποτε φεύγει οὐδὲ [d] πτήσσει, ἀλλ'
ἐὰν καὶ διὰ πλῆθος ἀναγκασθῇ τῶν θηρευόντων [e] ὑπαγαγεῖν
βάδην ὑποχωρεῖ καὶ κατὰ σκέλος, κατὰ βραχὺ [f] ἐπιστρεφό-
μενος· ἐὰν μέντοι ἐπιλάβηται δασέος, φεύγει ταχέως, ἕως
ἂν καταστῇ εἰς φανερόν· τότε [g] δὲ πάλιν ὑπάγει βάδην.
Ἐν δὲ [h] τοῖς ψιλοῖς ἐάν ποτ' ἀναγκασθῇ εἰς φανερὸν διὰ 4
τὸ πλῆθος φεύγειν, τρέχει [i] κατατείνας καὶ οὐ πηδᾷ. Τὸ
δὲ [k] δρόμημα συνεχῶς ὥσπερ κυνός ἐστι [l] κατατεταμένον·
διώκων μέντοι [m] ἐπιρρίπτει [n] ἑαυτόν, ὅταν ᾖ πλησίον. Ἀληθῆ 5
δὲ καὶ τὰ λεγόμενα, τό τε φοβεῖσθαι μάλιστα τὸ πῦρ,
ὥσπερ καὶ Ὅμηρος ἐποίησεν

[o] καιόμεναί τε [p] δεταί, τάς τε [q] τρεῖ ἐσσύμενός περ,

καὶ τὸ τὸν [r] βαλόντα [s] τηρήσαντα [t] ἴεσθαι ἐπὶ τοῦτον· ἐὰν

[q] προσπετᾶται A[a].C[a]. [r] δρῆκες P. [s] τὴν om. P. [t] καὶ] καὶ τὴν A[a].E[a]. [v] τὴν ἄλλην P.A[a].D[a].E[a]. [w] ἔθη C[a]. [x] καὶ om. D[a]. [y] μάλιστα μὲν P. [z] πρὸς om. P.A[a].E[a]. [a] πίνων C[a]. [b] εἶδος C[a]. [c] οὐδ' om. A[a].C[a]. [d] πτήσει C[a]. [e] ὑπάγειν D[a]. [f] ὑποστρεφόμενος A[a]. [g] δὴ P.A[a].C[a]. [h] ταῖς φύλοις A[a], τοῖς φίλοις P.D[a], τοῖς φύλλοις C[a].E[a]. [i] κατακτείνας E[a]. [k] δράμημα A[a].C[a]. [l] κατατεταγμένον E[a]. [m] ἐπιρ-
ρήτει A[a]. [n] αὐτὸν E[a], αὐτὸν P.C[a]. [o] καιομένας D[a], omisso in lacuna reliquo versu. [p] δαῖτες A[a], δᾶδαι C[a]. [q] τρεῖς P.E[a], δαῖτας τρεῖς A[a]. [r] βάλλοντα P.A[a].C[a].D[a]. [s] τηρήσοντ' C[a]. [t] αἰσθέσθαι A[a].C[a].

Digitized by Google

δέ τις [v] βάλλῃ [w] μὲν μή, ἐνοχλῇ δὲ αὐτόν, ἐὰν ἐπαΐξας συλλάβῃ, ἄδικεῖ μὲν οὐδὲν οὐδὲ βλάπτει τοῖς ὄνυξι, σείσας δὲ
6 καὶ [x] φοβήσας ἀφίησι πάλιν. Πρὸς δὲ τὰς πόλεις [y] ἔρχονται μάλιστα καὶ τοὺς ἀνθρώπους [z] ἀδικοῦσιν, ὅταν γένωνται [a] πρεσβῦται, διά τε τὸ γῆρας ἀδύνατοι θηρεύειν ὄντες καὶ διὰ τὸ πεπονηκέναι τοὺς ὀδόντας. Ἔτη δὲ ζῶσι πολλά, καὶ ὁ ληφθεὶς λέων χωλὸς πολλοὺς τῶν ὀδόντων εἶχε κατεαγότας, ᾧ τεκμηρίῳ ἐχρῶντό τινες ὅτι πόλλ' ἔτη ζῶσιν·
7 τοῦτο γὰρ οὐκ ἂν [b] συμπεσεῖν [c] μὴ πολυχρονίῳ ὄντι. Γένη δ' [d] ἐστὶ λεόντων δύο· τούτων δ' ἐστὶ τὸ μὲν στρογγυλώτερον καὶ οὐλοτριχώτερον δειλότερον, τὸ δὲ μακρότερον καὶ [e] εὐθύτριχον ἀνδρειότερον. [f] Φεύγουσι δ' ἐνίοτε καταteίναντες τὴν κέρκον ὥσπερ κύνες. Ἤδη δ' ὤφθαι λέων καὶ ὑὶ ἐπιτίθεσθαι μέλλων, καὶ ὡς εἶδεν ἀντιφρίξαντα, φεύγων.
8 Ἔστι δὲ πρὸς [g] τὰς πληγὰς εἰς μὲν τὰ κοῖλα ἀσθενής, κατὰ δὲ τὸ ἄλλο σῶμα δέχεται πολλὰς καὶ κεφαλὴν ἔχει ἰσχυράν. Ὅσα δ' ἂν δάκῃ ἢ τοῖς ὄνυξιν ἑλκώσῃ, ἐκ τῶν ἑλκῶν ἰχῶρες ῥέουσιν ὠχροὶ σφόδρα καὶ ἐκ τῶν ἐπιδέσμων καὶ σπόγγων ὑπ' οὐδενὸς δυνάμενοι [h] ἐκκλύζεσθαι· ἡ δὲ θεραπεία ἡ αὐτὴ καὶ τῶν κυνοδήκτων ἑλκῶν.
9 Φιλάνθρωποι δ'· εἰσὶ καὶ οἱ θῶες, καὶ οὔτ' ἀδικοῦσι τοὺς ἀνθρώπους οὔτε [i] φοβοῦνται σφόδρα, πολεμοῦσι δὲ τοῖς κυσὶ καὶ τοῖς λέουσιν· διὸ ἐν τῷ αὐτῷ τόπῳ οὐ γίνονται.
10 Ἄριστοι δ' οἱ μικροὶ τῶν [k] θώων. Γένη δ' αὐτῶν οἱ μέν φασιν εἶναι δύο, οἱ δὲ τρία· οὐ δοκεῖ δὲ πλείω εἶναι, ἀλλ' ὥσπερ τῶν ἰχθύων καὶ τῶν ὀρνέων καὶ τῶν τετραπόδων ἔνια, καὶ οἱ θῶες μεταβάλλουσι κατὰ τὰς ὥρας, καὶ τό τε χρῶμα ἕτερον τοῦ χειμῶνος καὶ τοῦ θέρους ἴσχουσι, καὶ τοῦ μὲν θέρους λεῖοι γίνονται τοῦ δὲ χειμῶνος δασεῖς.

[v] βάλῃ Ea. [w] μέν, μὴ ὀχλῇ Aa. [x] ἐκφοβήσας Aa. [y] εἰσέρχονται Aa. [z] διώκουσιν Da. [a] πρεσβύτεροι Ca. [b] συμπέσῃ Da. [c] μὴ] μὴ οὐ P.Ea. [d] ἐστι τῶν λ. Da. [e] εὔτριχον P.Aa.Ca.Da, εὔτριχον καὶ Ea. [f] φεύγ.] καὶ φεύγ. Da. [g] τὰς] μὲν τὰς Ea. [h] ἐκλύζεσθαι P.Ea. [i] σφόδρα φοβοῦνται Da. [k] θωῶν P.Ca.

Digitized by Google

Ὁ δὲ [l] βόνασος γίνεται μὲν ἐν τῇ [m] Παιονίᾳ ἐν τῷ ὄρει 45
τῷ [n] Μεσσαπίῳ, ὃ [o] ὁρίζει τὴν [m] Παιονικὴν καὶ τὴν [p] Μαι-
δικὴν χώραν, καλοῦσι δ' αὐτὸν οἱ [q] Παίονες μόναπον. Τὸ
δὲ μέγεθός ἐστιν ἡλίκον ταῦρος, καὶ ἔστιν ὀγκωδέστερον ἢ
βοῦς· οὐ γὰρ πρόμηκές ἐστιν. Τὸ δὲ δέρμα αὐτοῦ κατέχει
εἰς ἑπτάκλινον [r] ἀποταθέν. Καὶ τὸ ἄλλο [s] δὲ εἶδος ὅμοιον 2
βοΐ, πλὴν χαίτην ἔχει μέχρι τῆς ἀκρωμίας ὥσπερ ἵππος·
μαλακωτέρα δ' ἡ θρὶξ τῆς τοῦ ἵππου, καὶ [t] προσεσταλμένη
μᾶλλον. [v] Χρῶμα δ' ἔχει τοῦ τριχώματος [w] ξανθόν· βα-
θεῖα δὲ καὶ μέχρι τῶν ὀφθαλμῶν καθήκουσα ἡ χαίτη ἐστὶ
[x] καὶ πυκνή. Τὸ δὲ χρῶμα ἔχει [y] τι μέσον [z] τεφροῦ καὶ 3
πυρροῦ, οὐχ οἷον αἱ [a] παρῶαι ἵπποι καλούμεναι, ἀλλ' [b] αὐ-
χμηροτέραν τὴν τρίχα, κάτωθεν ἐριώδη· μέλανες δ' [c] ἢ πυρροὶ
σφόδρα οὐ γίνονται. Φωνὴν δ' ὁμοίαν ἔχουσι βοΐ, κέρατα 4
δὲ [d] γαμψά, κεκαμμένα πρὸς ἄλληλα καὶ ἄχρηστα πρὸς τὸ
[e] ἀμύνεσθαι, τῷ μεγέθει σπιθαμιαῖα ἢ μικρῷ μείζω, πάχος
δ' [f] ὥστε χωρῆσαι μὴ πολλῷ ἔλαττον [g] ἡμίχουν ἑκάτερον· ἡ
δὲ μελανία καλὴ καὶ [h] λιπαρὰ τοῦ κέρατος. Τὸ δὲ προκό- 5
μιον καθήκει ἐπὶ τοὺς ὀφθαλμούς, ὥστ' εἰς τὸ πλάγιον
[i] παρορᾶν μᾶλλον ἢ εἰς τὸ πρόσθεν. Ὀδόντας δὲ τοὺς
ἄνωθεν οὐκ ἔχει, ὥσπερ οὐδὲ βοῦς οὐδ' ἄλλο τῶν κερατο-
φόρων οὐδέν, σκέλη δὲ δασέα· καὶ ἔστι [k] διχαλόν· κέρκον
δ' [l] ἐλάττω ἢ κατὰ [m] τὸ μέγεθος, ὁμοίαν τῇ τοῦ βοός. Καὶ
ἀναρρίπτει τὴν κόνιν καὶ ὀρύττει ὥσπερ [n] ταῦρος. Δέρμα
δ' ἔχει πρὸς τὰς πληγὰς ἰσχυρόν. [o] Ἔστι δ' ἠδύκρεων, διὸ 6
καὶ θηρεύουσιν αὐτό. [o] Ὅταν δὲ πληγῇ, φεύγει, καὶ ὑπο-

[l] *βόνασος* A[a], *βόνασσος* P.C[a]. [m] *παιωνίᾳ* et mox *παιωνικὴν* P.A[a].E[a]. [n] *μεσαπίῳ* A[a].E[a]. [o] *ὁρίζει πρὸς τὴν* A[a]. [p] *μηδικὴν* A[a].C[a].D[a].E[a]. [q] *παίωνες* A[a]. [r] *διαταθέν* D[a]. [s] *δὲ* om. A[a]. [t] *προεσταλμένη* P. [v] *χρῶμα* om. E[a]. [w] *ξανθήν* E[a]. [x] *καὶ*] *δὲ* E[a]. [y] *μέσον τι* P.D[a].E[a]. [z] *τέφρου* A[a].C[a]. [a] *πάριαι* A[a], *παρίαι* C[a]. [b] *αὐχμηρότεραι* A[a]. [c] *ἢ*] *οἱ* P.E[a]. [d] *γαμψά*] *γαμψὰ καὶ* E[a]. [e] *ἀμύνασθαι* D[a]. [f] *ὥστε*] *ὥσπερ* P.A[a].C[a].D[a].E[a]. [g] *ἡμίχου* D[a]. [h] *λιπαρὰ*] *αἱ παρὰ* P.C[a].E[a], *αἱ περὶ* A[a]. [i] *παρορᾶν* intp: codices *παρορμᾶν*. [k] *διχηλόν* D[a]. [l] *ἐλάττονα κατὰ* C[a]. [m] *τὸ* om. P.A[a]. [n] *ταῦρος*] *τ' αὐτὸς* P. et corr. E[a]. [o] *ὅταν δὲ*] *καὶ ὅταν* P.

Digitized by Google

μένει ὅταν [p] ἐξατονῇ. [q] Ἀμύνεται δὲ [q] λακτίζων καὶ προσαφοδεύων καὶ εἰς τέτταρας ὀργυιὰς ἀφ' ἑαυτοῦ [r] ῥίπτων· ῥᾳδίως δὲ χρῆται τούτῳ καὶ πολλάκις, [s] καὶ ἐπικαίει ὥστε
7 [t] ἀποψήχεσθαι τὰς τρίχας τῶν κυνῶν. Τεταραγμένου μὲν οὖν καὶ φοβουμένου τοῦτο ποιεῖ ἡ κόπρος, ἀταράκτου δ' ὄντος οὐκ ἐπικαίει. [u] Ἡ μὲν οὖν ἰδέα τοῦ θηρίου καὶ ἡ φύσις τοιαύτη [v] τίς ἐστιν· ὅταν δ' ὥρα ᾖ τοῦ τίκτειν, ἀθρόοι τίκτουσιν ἐν τοῖς ὄρεσιν. Περὶ δὲ τὸν τόπον ἀφοδεύουσι πρότερον πρὶν τεκεῖν, καὶ ποιοῦσιν [w] οἷον περίβολον· προΐεται γὰρ τὸ θηρίον πολύ [x] τι πλῆθος [y] τούτου τοῦ περιττώματος.

46 Πάντων δὲ τιθασσότατον καὶ ἡμερώτατον τῶν ἀγρίων ἐστὶν ὁ ἐλέφας· πολλὰ γὰρ καὶ παιδεύεται καὶ [z] ξυνίησιν, ἐπεὶ καὶ προσκυνεῖν διδάσκονται τὸν βασιλέα. [a] Ἔστι δὲ καὶ [a] εὐαίσθητον καὶ τῇ συνέσει τῇ ἄλλῃ [b] ὑπερβάλλον. [c] Ὃ δ' ἂν ὀχεύσῃ καὶ ἔγκυον ποιήσῃ, τούτου πάλιν οὐχ ἅπτεται.
2 Ζῇ δὲ φασι τὸν ἐλέφαντα οἱ μὲν [d] ἔτη διακόσια, οἱ δ' ἑκατὸν εἴκοσι, καὶ τὴν θήλειαν ἴσα σχεδὸν τῷ ἄρρενι, ἀκμάζειν δὲ περὶ ἔτη ἑξήκοντα, πρὸς δὲ τοὺς χειμῶνας καὶ τὰ ψύχη δύσριγον εἶναι. [e] Ἔστι δὲ τὸ ζῷον παραποτάμιον, οὐ ποτά-
3 μιον. Ποιεῖται δὲ καὶ διὰ τοῦ ὕδατος τὴν πορείαν, ἕως [d] τούτου δὲ προέρχεται ἕως ἂν ὁ μυκτὴρ ὑπερέχῃ αὐτοῦ· ἀναφυσᾷ γὰρ διὰ τούτου καὶ τὴν ἀναπνοὴν ποιεῖται. [f] Νεῖν δ' οὐ πάνυ [f] δύναται διὰ τὸ τοῦ σώματος βάρος.

47 Οἱ δὲ κάμηλοι οὐκ ἀναβαίνουσιν ἐπὶ τὰς μητέρας, ἀλλὰ κἂν βιάζηταί τις, οὐ θέλουσιν. [g] Ἤδη γάρ ποτε [g] ἐπεὶ οὐκ ἦν ὀχεῖον, ὁ [h] ἐπιμελητὴς [i] περικαλύψας τὴν μητέρα [k] ἐφῆκε τὸν πῶλον· ὡς δ' ὀχεύσαντος ἀπέπεσε, τότε μὲν ἀπετέλεσε τὴν συνουσίαν, μικρὸν δ' ὕστερον δακὼν τὸν καμηλίτην

[p] ἐξαδυνατῇ P.C[a].D[a]. [q] λακτίζον καὶ προσαφοδεῦον A[a]. [r] ῥίπτον A[a]. [s] καὶ post πολλάκις om. P.A[a].C[a].E[a]. [t] ἀποψύχεσθαι A[a].D[a]. [v] τίς om. A[a]. [w] οἷον om. A[a]. [x] τι] τὸ P.E[a]. [y] τούτου om. C[a]. [z] ξύνεισιν P.E[a]. [a] εὐσυναίσθητον P.A[a].C[a].E[a]. [b] ὑπερβάλλων A[a]. [c] ἔτη om. A[a]. [d] δὲ τούτου C[a]. [e] νεῖν] νῦν A[a]. [f] δύνανται P. [g] ἐπειδὴ A[a]. [h] ἐπιμελέτης P, ἐπὶ μελέτης E[a]. [i] περικύψας A[a], παρακαλύψας E[a]. [k] ἀφῆκε A[a].E[a], ἔφη καὶ P.

Digitized by Google

ἀπέκτεινεν. Λέγεται δὲ καὶ [1]τῷ Σκυθῶν βασιλεῖ γενέσθαι 2
[m]ἵππον γενναίαν, ἐξ ἧς ἅπαντας ἀγαθοὺς [n]γίνεσθαι τοὺς
ἵππους· [o]τούτων ἐκ τοῦ ἀρίστου βουλόμενον γεννῆσαι ἐκ τῆς
μητρὸς [p]προσαγαγεῖν, ἵν' ὀχεύσῃ· [q]τὸν δ' οὐ θέλειν· περι-
καλυφθείσης δὲ [r]λαθόντα ἀναβῆναι· ὡς [s]δ' [t]ὀχεύσαντος
ἀπεκαλύφθη τὸ πρόσωπον [v]τῆς ἵππου, ἰδόντα τὸν ἵππον
φεύγειν καὶ ῥῖψαι ἑαυτὸν κατὰ [w]τῶν [x]κρημνῶν.

Τῶν δὲ [y]θαλασσίων πλεῖστα λέγεται σημεῖα περὶ τοῦς 48
δελφῖνας πραότητος καὶ ἡμερότητος, καὶ δὴ [z]καὶ πρὸς παῖδας
[a]ἔρωτες καὶ ἐπιθυμίαι καὶ περὶ [b]Τάραντα καὶ Καρίαν καὶ
ἄλλους τόπους. [c]Περὶ Καρίαν [d]γὰρ ληφθέντος δελφῖνος 2
καὶ [e]τραύματα λαβόντος ἀθρόον ἐλθεῖν λέγεται πλῆθος δελ-
φίνων εἰς τὸν λιμένα, μέχριπερ ὁ ἁλιεὺς ἀφῆκεν· τότε δὲ
πάλιν ἅμα πάντες ἀπῆλθον. Καὶ τοῖς μικροῖς δελφῖσιν
ἀκολουθεῖ τις [f]ἀεὶ τῶν μεγάλων φυλακῆς χάριν. [g]Ἤδη δ' 3
ὤπται δελφίνων μεγάλων ἀγέλη ἅμα καὶ μικρῶν· τούτων
δ' ἀπολειπόμενοί τινες δύο οὐ [g]πολὺ [h]ἐφάνησαν δελφινίσκον
[i]μικρὸν τεθνηκότα, ὅτ' εἰς βυθὸν φέροιτο, [i]ὑπονέοντες καὶ
μετεωρίζοντες τῷ νώτῳ οἷον [k]κατελεοῦντες, ὥστε μὴ κατα-
βρωθῆναι ὑπό τινος τῶν ἄλλων θηρίων. Λέγεται δὲ καὶ περὶ 4
ταχυτῆτος ἄπιστα τοῦ ζῴου· ἁπάντων γὰρ δοκεῖ εἶναι [l]ζῴων
τάχιστον, καὶ τῶν ἐνύδρων καὶ τῶν χερσαίων, καὶ [m]ὑπεράλ-
λονται δὲ πλοίων μεγάλων ἱστούς. Μάλιστα δὲ τοῦτ' αὖ- 5
τοῖς συμβαίνει, ὅταν διώκωσί τινα ἰχθὺν τροφῆς χάριν· τότε
γάρ, ἐὰν ἀποφεύγῃ, συνακολουθοῦσιν εἰς βυθὸν διὰ τὸ [n]πει-

[1] τῶν P, τῷ τῶν Da. [m] ἵππον γενεάν pr. Aa, ἵππων γενεὰν corr. [n] γενέσθαι P.Aa.Ca.Ea. [o] τοῦτον P.Aa.Ca.Da.Ea. [p] προσάγειν P. Da.Ea, ἄγειν Aa.Ca. [q] τὴν P. [r] λαθόντος P.Ca.Ea, λαθόντως Aa. [s] δ' om. Ca. [t] ὀχεύσαντι Ea. [v] τῆς] τοῦ Aa, τῆς τοῦ P.Ea. [w] τῶν] τὸν P, om. Aa. [x] κρημνόν P. [y] θαλαττίων Ea. [z] καὶ post δὴ om. P.Aa.Ca.Ea. [a] ἐρωτικαὶ ἐπιθυμίαι Aa, ἐρωτικὴ ἐπιθυμίαι Ca. [b] τάραντα καὶ καρίαν τὴν καὶ καρίαν Ca. [c] περὶ] καὶ περὶ P.Aa.Da.Ea. [d] γὰρ] δὲ P.Aa.Ca.Da.Ea. [e] τραύματος Aa. [f] τῶν μεγάλων ἀεὶ Aa. [g] πολλοὶ P.Ea. [h] ἐφάνη Aa. [i] τεθνηκότα μικρὸν et πονέοντες Aa.Ca. [k] κατελεοῦντα Aa. [l] ζῴων] τῶν ζῴων Da. [m] ὑπερβάλλονται P. [n] πίνειν P.

Digitized by Google

νῆν, ὅταν δ' αὐτοῖς [o] μακρὰ [p] γίνηται ἡ [q] ἀναστροφή, κατέχουσι τὸ πνεῦμα ὥσπερ ἀναλογισάμενοι, καὶ συστρέψαντες ἑαυτοὺς φέρονται ὥσπερ τόξευμα, τῇ ταχυτῆτι τὸ μῆκος διελθεῖν βουλόμενοι πρὸς τὴν ἀναπνοήν, καὶ [r] ὑπεράλλονται
6 τοὺς ἱστούς, ἐὰν παρατυγχάνῃ που πλοῖον. [s] Ταὐτὸν δὲ ποιοῦσι καὶ οἱ κατακολυμβηταί, ὅταν εἰς βυθὸν ἑαυτοὺς ἀφῶσιν· κατὰ τὴν ἑαυτῶν γὰρ δύναμιν καὶ οὗτοι ἀναφέρονται συστρέψαντες. Διατρίβουσι δὲ μετ' ἀλλήλων κατὰ συζυγίας οἱ ἄρρενες ταῖς θηλείαις. Διαπορεῖται δὲ περὶ αὐτῶν διὰ τί ἐξοκέλλουσιν εἰς τὴν γῆν· ποιεῖν γάρ φασι τοῦτ' [t] αὐτοὺς ἐνίοτε, ὅταν τύχωσι, δι' οὐδεμίαν αἰτίαν.

49 [v] Ὥσπερ [v] δὲ [w] τὰς πράξεις κατὰ τὰ πάθη συμβαίνει ποιεῖσθαι πᾶσι τοῖς ζῴοις, οὕτω πάλιν καὶ τὰ ἤθη μεταβάλλουσι κατὰ τὰς πράξεις, πολλάκις δὲ καὶ τῶν μορίων ἔνια, οἷον
2 ἐπὶ τῶν ὀρνίθων συμβαίνει. Αἵ τε γὰρ ἀλεκτορίδες ὅταν νικήσωσι τοὺς ἄρρενας, κοκκύζουσί [x] τε [y] μιμούμεναι τοὺς ἄρρενας [z] καὶ ὀχεύειν ἐπιχειροῦσι, καὶ τό τε [a] κάλλαιον ἐξαίρεται αὐταῖς καὶ τὸ [b] οὐροπύγιον, ὥστε μὴ ῥᾳδίως ἂν ἐπιγνῶναι ὅτι [c] θήλειαί εἰσιν· ἐνίαις δὲ καὶ πλήκτρά [d] τινα μι-
3 κρὰ ἐπανέστη. [e] Ἤδη δὲ καὶ τῶν ἀρρένων τινὲς ὤφθησαν [e] ἀπολομένης τῆς θηλείας [f] αὐτοὶ περὶ τοὺς νεοττοὺς [g] τὴν τῆς θηλείας [h] ποιούμενοι σκευωρίαν, περιάγοντές [i] τε καὶ ἐκτρέφοντες οὕτως ὥστε μήτε κοκκύζειν ἔτι μήτ' ὀχεύειν ἐπιχειρεῖν. Γίνονται δὲ καὶ θηλυδρίαι ἐκ γενετῆς τῶν [k] ὀρνίθων τινὲς οὕτως [l] ὥστε καὶ ὑπομένειν τοὺς [m] ἐπιχειροῦντας ὀχεύειν.

50 Μεταβάλλει δὲ τὰ ζῷα οὐ μόνον τὰς μορφὰς ἔνια καὶ τὸ

[o] μικρὰ Ca. [p] γένηται P. [q] ἀνατροφὴ Ca. [r] ὑπερβάλλονται Da. [s] ταυτὸ P.Aa.Da.Ea. [t] αὐτοῖς Ca.Ea. [v] δὲ intpp: γὰρ Ca, γὰρ καὶ P.Aa.Da.Ea. [w] τὰ πάθη κατὰ τὰς πράξεις Da. [x] τε om. Aa. [y] μιμουμένους Aa. [z] καὶ post ἄρρενας ante μιμούμεναι P.Aa.Ca.Ea. [a] κάλλιον Aa.Ca.Ea. [b] ὀρροπύγιον P.Ca.Da.Ea. [c] θήλειαι ἔνιαι εἰσίν. ἐνίοτε δὲ P.Aa.Ca.Ea. [d] τινα om. Aa.Ca. [e] ἀπολλομένης Aa. [f] αὐτοὶ] αὐτοὶ αὐτοῖς (vel αὐτοῖς) P.Aa.Ca.Ea. [g] τὴν τῆς θηλείας om. Aa.Ca. [h] πονούμενοι P.Ea, πονούμεναι Aa. [i] τε om. Ea. [k] ὀρνέων Da. [l] ὥστε μήτε (μηκέτι Aa.) κοκκύζειν ἔτι μήτε (μὴ Aa.) ὀχεύειν ἐπιχειρεῖν καὶ ὑπομένειν P.Aa.Ca.Ea. [m] ὀχεύειν ἐπιχειροῦντας Aa.

Digitized by Google

ἦθος κατὰ τὰς ἡλικίας [n] καὶ τὰς ὥρας, ἀλλὰ καὶ ἐκτεμνόμενα. [1] Ἐκτέμνεται δὲ τῶν ζῴων ὅσα ἔχει ὄρχεις. [v] Ἔχουσι δ' οἱ μὲν ὄρνιθες τοὺς ὄρχεις ἐντὸς καὶ τὰ ὠοτόκα τῶν τετραπόδων πρὸς τῇ ὀσφύϊ, τὰ δὲ ζωοτόκα καὶ πεζὰ τὰ μὲν πλεῖστα ἐκτός, τὰ δ' ἐντός, πάντα [o] δὲ πρὸς τῷ τέλει τῆς γαστρός. [1] Ἐκτέμνονται δ' οἱ μὲν [p] ὄρνιθες [q] κατὰ τὸ οὐροπύγιον, καθ' [2] ὃ [r] συμπίπτουσιν ὀχεύοντες· ἐνταῦθα γὰρ [s] ἐὰν [t] ἐπικαύσῃ τις δυσὶν ἢ τρισὶ [v] σιδηρίοις, ἐὰν μὲν [w] ἤδη τέλειον ὄντα, τό τε [x] κάλλαιον [y] ἔξωχρον [z] γίνεται καὶ οὐκέτι κοκκύζει οὐδ' ἐπιχειρεῖ ὀχεύειν, ἐὰν δ' ἔτι νεοττὸν ὄντα, οὐδὲ γίνεται τούτων οὐδὲν αὐξανομένου. Τὸν αὐτὸν δὲ τρόπον καὶ ἐπὶ [a] ἀνθρώ- [3] πων· ἐὰν μὲν γὰρ παῖδας ὄντας πηρώσῃ τις, οὔτε αἱ ὑστερογενεῖς ἐπιγίνονται τρίχες οὔτε ἡ φωνὴ μεταβάλλει, ἀλλ' ὀξεῖα διατελεῖ· ἂν δ' ἤδη ἡβῶντας, αἱ μὲν ὑστερογενεῖς τρίχες ἀπολείπουσι πλὴν τῶν ἐπὶ τῆς ἥβης (αὗται δ' ἐλάττους μέν, μένουσι δέ), αἱ δ' ἐκ γενετῆς τρίχες οὐκ ἀπολείπουσιν· οὐδεὶς γὰρ γίνεται εὐνοῦχος φαλακρός. Μεταβάλλει δὲ καὶ ἡ φω- [4] νὴ [b] ἐπὶ τῶν τετραπόδων [c] τῶν ἐκτεμνομένων [d] ἁπάντων εἰς τὸ θῆλυ. Τὰ μὲν [e] οὖν ἄλλα τετράποδα ἐὰν [f] μὴ νέα ἐκτέμνηται, διαφθείρεται· ἐπὶ δὲ τῶν κάπρων [g] μόνων οὐδὲν διαφέρει. Πάντα δὲ ἐὰν [h] μὲν [i] νέα ἐκτμηθῇ, μείζω γίνεται τῶν [5] ἀτμήτων καὶ γλαφυρώτερα, ἐὰν δὲ καθεστηκότα ἤδη, οὐκέτι αὐξάνεται ἐπὶ πλεῖον. Οἱ δ' ἔλαφοι ἐὰν [k] μὲν [l] μή πω τὰ κέρατα ἔχοντες διὰ τὴν ἡλικίαν ἐκτμηθῶσιν, οὐκέτι φύουσι κέρατα· ἐὰν δ' ἔχοντας [m] ἐκτέμῃ τις, τό [n] τε μέγεθος ταὐτὸν μένει τῶν κεράτων, καὶ οὐκ ἀποβάλλουσιν. Οἱ μὲν οὖν μό- [6]

[n] καὶ τὰς] καὶ κατὰ τὰς Ca. [o] δὲ om. P. [p] ὄρνιθες] ἄρρενες pr. Aa. [q] παρὰ Da. [r] συμπίπτοντες ὀχεύουσιν· ἐντεῦθεν P. [s] ἂν P.Ca.Da.Ea. [t] ἐπικλύσῃ P.Ea. [v] σιδήροις Aa.Ca. [w] ἴδῃ Ca. [x] κάλλιον P.Aa.Ca.Ea. [y] ἔξωχον P, ἔξω χρὴ Ea. [z] γίγνεσθαι Ea. [a] ἀνθρώπου P.Ca.Ea. [b] ἐπὶ] καὶ ἐπὶ Pa.Aa.Ca.Da. [c] τῶν δ' ἐκτεμνομένων P.Ea. [d] ἁπάντων ἢ πηρουμένων εἰς Da. [e] οὖν om. Ca.Ea. [f] μὴ] μὲν P.Aa.Ca.Ea. [g] μόνον οὐδὲν διαφθείρει P.Da.Ea. [h] μὲν] μὴ Ca. [i] νέα om. Aa.Ca. [k] μὲν om. P.Ca. [l] μή πω τὰ] πτηνωτὰ Aa. [m] ἐκτέμῃ P. [n] τε om. Aa.Ca.

Digitized by Google

σχοι ἐκτέμνονται [o]ἐνιαύσιοι, [p]εἰ δὲ μή, αἰσχίους [q]γίνονται καὶ ἐλάττους· οἱ δὲ δαμάλαι ἐκτέμνονται τὸν τρόπον τοῦτον· κατακλίνοντες καὶ ἀποτέμνοντες [r]τῆς ὀσχέας κάτωθεν τοὺς ὄρχεις ἀποθλίβουσιν, εἶτα ἀναστέλλουσι τὰς ῥίζας ἄνω ὡς μάλιστα, καὶ τὴν τομὴν θριξὶ [s]βύουσιν, ὅπως ὁ ἰχὼρ ῥέῃ ἔξω· καὶ ἐὰν φλεγμαίνῃ, [t]κατακαύσαντες τὴν [v]ὀσχέαν [w]ἐπιπάτ-
7 τουσιν. Οἱ δ' ἐνόρχαι τῶν βοῶν ἐὰν ἐκτμηθῶσι, [x]τὸ φανερὸν [y]συγγεννῶσιν. [1]Ἐκτέμνεται δὲ καὶ ἡ καπρία τῶν θηλειῶν ὑῶν, ὥστε μηκέτι δεῖσθαι ὀχείας ἀλλὰ πιαίνεσθαι ταχέως. [1]Ἐκτέμνεται δὲ [z]νηστεύσασα δύο ἡμέρας, ὅταν κρεμάσωσι τῶν
8 ὀπισθίων σκελῶν. Τέμνουσι [a]δὲ [b]τὸ ἦτρον, [c]ᾗ τοῖς ἄρρεσιν οἱ ὄρχεις μάλιστα φύονται· ἐνταῦθα γὰρ ἐπὶ ταῖς μήτραις ἐπιπέφυκεν ἡ καπρία, ἧς μικρὸν ἀποτέμνοντες συρράπτουσιν. [1]Ἐκτέμνονται [d]δὲ καὶ αἱ κάμηλοι αἱ θήλειαι, ὅταν εἰς πόλεμον
9 χρῆσθαι αὐταῖς βούλωνται, ἵνα μὴ ἐν γαστρὶ λάβωσιν. Κέκτηνται δ' ἔνιοι τῶν [e]ἄνω καμήλους καὶ τρισχιλίας· θέουσι δὲ θᾶσσον τῶν [f]Νισαίων ἵππων πολύ, [g]ἐὰν θέωσι, διὰ τὸ μέγεθος τοῦ [h]ὀρέγματος. [v]Ὅλως δὲ μακρότερα [i]γίνεται τὰ ἐκτεμνόμενα ζῷα τῶν ἀτμήτων.
10 [1]Ὠφελοῦνται δὲ τὰ ζῷα καὶ χαίρουσι, καὶ μηρυκάζουσιν ὥσπερ ἐσθίοντα ὅσα μηρυκάζει. Μηρυκάζει δὲ τὰ μὴ [k]ἀμφώδοντα, οἷον βόες καὶ πρόβατα καὶ αἶγες. [1]Ἐπὶ δὲ τῶν ἀγρίων οὐδέν πω συνῶπται, ὅσα μὴ [l]συντρέφεται ἐνίοτε, οἷον
11 ἔλαφος· αὕτη δὲ μηρυκάζει. Πάντα δὲ κατακείμενα [m]μηρυκάζουσι [n]μᾶλλον. Μάλιστα δὲ τοῦ χειμῶνος μηρυκάζουσιν, τά τε κατ' οἰκίαν τρεφόμενα σχεδὸν ἑπτὰ μῆνας τοῦτο

[o] ἐνιαύσια Ea. [p] εἰ] οἱ P. [q] καὶ ἐλάττους γίνονται P.Ca.Da.Ea. [r] τὰς ὀχείας pr. Aa. [s] βίννουσιν P.Aa.Ca.Ea. [t] κατακαύσαντα Aa. [v] ὀχέαν Ca. [w] ἐπιπλάττουσιν Ca.Da. [x] τὸ] τὸν P.Ea. [y] συγγενῶσιν Aa, οὐ γεννῶσιν Da. [z] νηστευσάσης Da, νηστεύουσα P.Ea. [a] δὲ om. P.Da.Ea. [b] τὸ ἶτρον P.Ea, τὸν τρόπον Aa.Ca. [c] ᾗ om. Aa.Ca. [d] δὲom.Ea. [e] ἄνω] ἀνθρώπων P.Da.Ea. [f] νησσαίων Aa, νησαίων Ca.Da.Ea, νησιβαίων P. [g] ἐὰν] ἐὰν εἰς πολὺ Da. [h] ὀρύγματος Aa.Da. [i] γίνεται] γὰρ γίνεται Aa. [k] ἀμφόδοντα Da. [l] συστρέφεται Aa.Ca. [m] μηρυκάζει Da. [n] μᾶλλον—μηρυκάζουσιν om. P.Aa.Ca.Ea.

Digitized by Google

ποιεῖ· τὰ δ' ἀγελαῖα καὶ ἧττον καὶ ἐλάττονα χρόνον μηρυκάζει διὰ τὸ νέμεσθαι ἔξω. Μηρυκάζει δὲ καὶ τῶν [n]ἀμφω- 12
δόντων ἔνια, οἷον οἵ τε μύες οἱ Ποντικοὶ καὶ οἱ ἰχθύες, καὶ ὃν καλοῦσιν ἔνιοι ἀπὸ τοῦ ἔργου [o]μήρυκα. [v]Ἐστι δὲ τὰ μὲν μακροσκελῆ τῶν ζῴων ὑγροκοίλια, τὰ δ' εὐρυστήθη ἐμετικὰ μᾶλλον, καὶ ἐπὶ τῶν τετραπόδων καὶ ἐπ' ὀρνίθων καὶ ἐπ' ἀνθρώπων ὡς ἐπὶ τὸ πολύ.

Τῶν δ' ὀρνέων πολλὰ μεταβάλλουσι κατὰ τὰς ὥρας καὶ 49
τὸ χρῶμα καὶ τὴν φωνήν, οἷον ὁ κόττυφος ἀντὶ μέλανος B
[p]ξανθός, καὶ τὴν φωνὴν [q]ἴσχει [r]ἀλλοίαν· ἐν μὲν γὰρ [s]τῷ θέρει [t]ᾄδει, τοῦ δὲ χειμῶνος παταγεῖ [v]καὶ φθέγγεται θορυβῶδες. Μεταβάλλει δὲ καὶ ἡ κίχλη τὸ χρῶμα· τοῦ μὲν γὰρ 2
χειμῶνος [w]ψαρὰ τοῦ δὲ θέρους [x]ποικίλα [y]τὰ περὶ τὸν αὐχένα [z]ἴσχει· τὴν μέντοι φωνὴν οὐδὲν μεταβάλλει. [a]Ἡ δ' ἀηδὼν ᾄδει μὲν συνεχῶς ἡμέρας καὶ νύκτας δεκαπέντε, ὅταν τὸ ὄρος ἤδη δασύνηται· μετὰ δὲ ταῦτα ᾄδει μέν, συνεχῶς δ' οὐκέτι. Τοῦ δὲ θέρους [a]προϊόντος ἄλλην ἀφίησι φωνὴν καὶ 3
οὐκέτι [b]παντοδαπὴν οὐδὲ τραχεῖαν καὶ ἐπιστρεφῆ ἀλλ' ἁπλῆν, καὶ τὸ χρῶμα μεταβάλλει, καὶ ἔν [c]γε [1]Ἰταλίᾳ [d]τὸ ὄνομα ἕτερον καλεῖται περὶ τὴν ὥραν ταύτην. Φαίνεται δ' οὐ πολὺν χρόνον· φωλεῖ γάρ. Μεταβάλλουσι [e]δὲ καὶ οἱ [f]ἐρίθα- 4
κοι καὶ οἱ καλούμενοι [g]φοινίκουροι ἐξ ἀλλήλων· ἔστι δ' ὁ μὲν [f]ἐρίθακος χειμερινόν, οἱ δὲ [g]φοινίκουροι θερινοί, διαφέρουσι δ' ἀλλήλων οὐθὲν ὡς εἰπεῖν ἀλλ' ἢ [h]τῇ χρόᾳ μόνον. [i]Ὡσαύτως δὲ καὶ αἱ [i]συκαλίδες καὶ οἱ μελαγκόρυφοι· καὶ γὰρ οὗτοι μεταβάλλουσιν εἰς ἀλλήλους. Γίνεται δ' ἡ μὲν [i]συ- 5
καλὶς περὶ τὴν ὀπώραν, ὁ δὲ μελαγκόρυφος εὐθέως μετὰ

[n] ἀμφοδόντων Da. [o] μήρυκαν P, μηρυκᾶν Aa.Ca. [p] ἔξανθος Aa.Ca. [q] ἴσχει] ἴσχει δ' Ca, δ' ἴσχει Aa. [r] ἀλλοίαν om. P.Ea. [s] τοῦ θέρους P, τῷ χειμῶνι Aa. [t] ᾄδει τοῦ χειμῶνος καὶ παταγεῖ Ca, πατταγεῖ ἐν δὲ τῷ θέρει ᾄδει Aa, om. P.Ea. [v] καὶ om. Ea. [w] ψάρα Aa.Ca. [x] ποικιλία Aa. [y] τὰ] τά τε P.Ea, τόν τε Aa. [z] ἰσχία Aa.Ca. [a] περιόντος Aa.Ca. [b] παντοδαπῆ P. [c] γε om. Aa.Ca. [d] τὸ] δὲ τὸ Aa. [e] δὲ] γὰρ Aa. [f] ἐριθακοὶ et mox ἐριθακὸς Aa. [g] φοινικοῦροι utrobique P. Da.Ea. [h] τὸ χρῶμα P. [i] συκαλλίδες et mox συκαλλὶς P.Ca.Da.Ea.

Digitized by Google

τὸ φθινόπωρον. Διαφέρουσι δὲ [k]καὶ οὗτοι οὐθὲν ἀλλήλων πλὴν τῇ χρόᾳ καὶ τῇ φωνῇ. [v]Ὅτι δ' [l]ὁ αὐτός ἐστιν ὄρνις, ἤδη ὤπται περὶ τὴν μεταβολὴν [m]ἑκάτερον τὸ γένος τοῦτο, οὔπω δὲ τελέως [n]μεταβεβληκότα οὐδ' ἐν θατέρῳ εἶδει ὄντα. 6 Οὐδὲν δ' ἄτοπον εἰ ἐπὶ τούτων αἱ φωναὶ μεταβάλλουσιν ἢ τὰ χρώματα, ἐπεὶ καὶ ἡ φάττα τοῦ μὲν χειμῶνος οὐ φθέγγεται (πλὴν ἤδη ποτὲ εὐδίας ἐκ χειμῶνος σφοδροῦ [o]γενομένης ἐφθέγξατο καὶ [p]ἐθαυμαστώθη ὑπὸ τῶν ἐμπείρων), ἀλλ' ὅταν 7 ἔαρ γένηται, τότε ἄρχεται φωνεῖν. Τὸ δ' ὅλον τὰ ὄρνεα καὶ μάλιστα [q]καὶ πλείστας ἀφίησι φωνάς, [r]ὅταν ὦσι περὶ τὴν οἰκείαν. Μεταβάλλει δὲ καὶ ὁ κόκκυξ [s]τὸ χρῶμα καὶ τῇ φωνῇ οὐ σαφηνίζει, ὅταν μέλλῃ ἀφανίζεσθαι· ἀφανίζεται δ' ὑπὸ κύνα, φανερὸς δὲ γίνεται ἀπὸ τοῦ ἔαρος ἀρξά- 8 μενος μέχρι κυνὸς ἐπιτολῆς. [t]Ἀφανίζεται δὲ καὶ ἣν καλοῦσί τινες οἰνάνθην ἀνίσχοντος τοῦ [t]σειρίου, δυομένου δὲ [v]φαίνεται· [w]φεύγει δὲ ὁτὲ μὲν τὰ ψύχη ὁτὲ δὲ τὴν ἀλέαν. Μεταβάλλει δὲ καὶ [x]ὁ ἔποψ τὸ χρῶμα καὶ τὴν ἰδέαν, ὥσπερ πεποίηκεν Αἰσχύλος [y]ἐν τοῖσδε.

9 [z]Τοῦτον δ' ἐπόπτην [a]ἔποπα τῶν αὑτοῦ κακῶν
πεποικίλωκε, κἀποδηλώσας ἔχει
[b]θρασὺν πετραῖον ὄρνιν ἐν [c]παντευχίᾳ,
[d]ὃς ἦρι μὲν [e]φαίνοντι [f]διαπάλλει πτερόν
[g]κίρκου [h]λεπάργου. Δύο [i]γὰρ οὖν μορφὰς [k]φανεῖ,
παιδός τε [l]χαύτοῦ νηδύος μιᾶς [m]ἄπο.
Νέας [n]δ' ὀπώρας [o]ἡνίκ' ἂν ξανθῇ στάχυς,

[k] καὶ om. E^a. [l] ὁ om. $A^a.C^a$. [m] ἑκάτερον γένος τούτων $A^a.C^a$. [n] μεταβεβληκότος P.E^a. [o] γενομένου P.A^a. [p] ἐθαυμάσθη P.A^a. $D^a.E^a$. [q] καὶ post μάλιστα om. A^a. [r] ὅταν ὦσι περὶ τὴν οἰκείαν om. E^a. [s] τὸ] καὶ τὸ P.$A^a.D^a.E^a$. [t] συρίου P. [v] φθέγγεται E^a, φεύγεται P, φεύγει $A^a.C^a$. [w] φεύγει γὰρ ὁτὲ D^a. [x] ὁ om. E^a. [y] ἐν δὲ τοῖς A^a, om. P.E^a. [z] τοῦτον δ' om. A^a. [a] ἔπονα $A^a.C^a$, ἔπ a P. [b] θρασὺν om. C^a. [c] παντευχίᾳ ὃς] παντὶ εὐχίαιος C^a, πατρὶ εὐχιαῖος A^a. [d] ὃς—λεπάργου om. P.E^a. [e] φαίνονται $A^a.C^a$. [f] διαβάλλει $A^a.C^a.D^a$. [g] κέρβου A^a. [h] λεπαργοῦ A^a, δ' ἐπάγρου D^a. [i] γὰρ om. E^a. [k] φαίνει $A^a.C^a.D^a$. [l] καυτοῦ P.$A^a.C^a.D^a.E^a$. [m] ἄπο] δ' ἀπὸ C^a. [n] δ'] ἐστιν E^a, om. C^a. [o] ἵνα καταξανθῇ P.$A^a.C^a.E^a$.

Digitized by Google

p στικτή νιν αὖθις q ἀμφινωμήσει r πτέρυξ.
δεὶ δὲ s μίσει t τῶνδ' v ἄπ' ἄλλον εἰς τόπον
w δρυμοὺς ἐρήμους καὶ πάγους ἀποικίσει.

Εἰσὶ δὲ τῶν ὀρνίθων οἱ μὲν κονιστικοί, οἱ δὲ x λοῦσται, οἱ δ' οὔτε κονιστικοὶ οὔτε y λοῦσται. v Ὅσοι μὲν μὴ πτητικοὶ ἀλλ' ἐπίγειοι, κονιστικοί, οἷον z ἀλεκτορίς, πέρδιξ, a ἀτταγήν, b κορύδαλος, c φασιανός· τῶν δ' d εὐθυωνύχων ἔνιοι, καὶ ὅσοι περὶ ποταμὸν ἢ ἕλη ἢ e θάλασσαν διατρίβουσι, λοῦνται· οἱ δ' ἄμφω, καὶ f κονίονται καὶ λοῦνται, οἷον περιστερὰ καὶ στρουθός· τῶν δὲ γαμψωνύχων οἱ πολλοὶ οὐδέτερον. Ταῦτα μὲν οὖν τοῦτον ἔχει τὸν τρόπον, ἴδιον δ' ἐνίοις συμβαίνει τῶν ὀρνιθίων τὸ ἀποψοφεῖν, οἷον καὶ ταῖς τρυγόσιν· ποιοῦνται δὲ καὶ περὶ τὴν ἕδραν κίνησιν οἱ τοιοῦτοι ἰσχυρὰν ἅμα τῇ φωνῇ.

Κ.

Προϊούσης δὲ τῆς ἡλικίας ἀνδρὶ καὶ γυναικί, g τοῦ h μὴ γεννᾶν ἀλλήλοις i συνόντας τὸ αἴτιον ὁτὲ μὲν ἐν ἀμφοῖν ἐστίν, ὁτὲ δ' ἐν θατέρῳ μόνον. Πρῶτον μὲν οὖν ἐπὶ τοῦ θήλεος δεῖ θεωρεῖν τὰ περὶ τὰς ὑστέρας ὅπως ἔχει, ἵν' εἰ μὲν ἐν ταύταις τὸ αἴτιον, αὗται τυγχάνωσι θεραπείας, εἰ δὲ μὴ ἐν ταύταις, περὶ ἕτερόν τι τῶν αἰτίων ποιῶνται τὴν ἐπιμέλειαν. v Ἔστι δ', ὥσπερ καὶ περὶ ἄλλο μέρος, φανερὸν εἰ

p στικτῆνι μανθεὶς A^a, στικτῆνινααις C^a, τίκτει νῦν αὖθις E^a, τίκτειν ἴν' αὖθις P. q ἀμφινομήση $A^a.C^a$, ἀμφινωὐμηση $P.E^a$, ἀμφινομήσει D^a. r πτερύξαι εἰ δὲ μ. A^a, πτερύξαι εἶδε μ. C^a. s μισεῖ $P.A^a.D^a.E^a$. t τὸν δὲ $P.E^a$. v ἀπάλλου E^a, ἀσπάλλον P, ἀπαλῶν A^a. w δρυμὸς E^a. x λοῦνται $P.D^a.E^a$. y λοῦνται D^a, λούονται $P.E^a$. z ἀλέκτορες D^a. a ἀτταγὴς E^a, ἀτταγὶς $P.A^a.C^a.D^a$. b κορύδαλλος P, κορυδαλλός $C^a.D^a$. c φασσιανός $A^a.C^a$. d εὐθυονύχων C^a. e θάλατταν C^a. f κονιῶνται $A^a.C^a$.

Codices $D^a.F^a.G^a$. et capite primo Q, quorum G^a. libro septimo, qui ipsi nonus est, extremo σημείωσαι ὅτι ἐν τῷ λατινικῷ εὕρομεν καὶ δέκατον βιβλίον τῶν περὶ τὰ ζῶα ἱστοριῶν, οὗ ἡ ἀρχὴ "προϊούσης δὲ τῆς ἡλικίας ἡ τοῦ μὴ—θατέρῳ ἐστίν." οὐκ οἶδα εἰ τοῦτο τὸ βιβλίον εὑρίσκεται καὶ ἐν τῷ ἑλληνικῷ· μέχρι γὰρ τοῦ νῦν οὐκ ἐνέτυχον αὐτῷ. ubi manus recentior ἀλλὰ νῦν ἐνετύχομεν αὐτῷ καὶ ἐν τῷ ἑλληνικῷ, κἀνταῦθα ἐνεγράψαμεν. Eadem paullo ante, ubi est τέλος τοῦ παρόντος βιβλίου, οὐ τοῦ καθόλου adscribit τῶν ἱστοριῶν βιβλίου, ἀλλὰ τοῦ ἐννάτου δηλονότι· εὕρηται γὰρ καὶ δέκατον. g τοῦ om. G^a. h μὴ om. D^a. i συνιόντας Q.

Digitized by Google

ὑγιαίνει, ὅταν τὸ ἔργον τὸ αὐτοῦ ἱκανῶς ἀποτελῇ καὶ ἄλυπόν τε ᾖ καὶ μετὰ τὰς ἐργασίας ἄκοπον, οἷον ὀφθαλμὸς ὅταν λήμην τε μηδεμίαν ποιῇ καὶ ὁρᾷ καὶ μετὰ τὴν ὅρασιν μὴ τα-
3 ράττηται μηδ' ἀδυνατῇ ὁρᾶν πάλιν. Οὕτω καὶ ὑστέρα ἡ πόνον τε μὴ παρέχουσα, καὶ ὃ ἐκείνης ἐστί, τοῦθ' ἱκανῶς ἀπεργαζομένη, καὶ μετὰ τὰ ἔργα μὴ ἀδύνατος ἀλλ' ἄκοπος.
4 Λέγεται δὲ καὶ μὴ καλῶς ἔχουσαν τὴν ὑστέραν ὅμως πρὸς τὸ ἔργον [k] τὸ [l] αὐτῆς [m] ἔχειν καλῶς καὶ ἀλύπως, ἂν μὴ ταύτης χεῖρον τὸ ἔργον ἐστὶν αὐτῆς ἔχειν, ὥσπερ ὄμμα [n] οὐδὲν κωλύει αὐτὸ ὁρᾶν ἀκριβῶς, μὴ ἔχοντος τοῦ ὀφθαλμοῦ [o] καλῶς πάντα
5 τὰ μόρια, ἢ εἰ [p] φῦμά τι ὄν. [q] Ὁμοίως δὲ καὶ ὑστέρα, εἰ εὖ [r] ἔχει τοῦ ἐπικαίρου τόπου, οὐθὲν ἂν πρὸς τοῦτο βλάπτοι. Δεῖ [s] δὴ τὴν ἔχουσαν καλῶς ὑστέραν πρῶτον μὲν τῷ τόπῳ μὴ ἐν ἄλλῳ καὶ ἄλλῳ εἶναι, ἀλλ' ὁμοίως τῇ θέσει· πλὴν γίγνεσθαι τὸ πορρώτερον ἄνευ πάθους καὶ λύπης, καὶ μηδὲν
6 ἀναισθητοτέρας εἶναι θιγγανομένας. Τοῦτο δὲ κρίνειν οὐ χαλεπόν. [v] Ὅτι δὲ δεῖ τοιαύτας εἶναι, ἐκ τῶνδε φανερόν. Εἴτε γὰρ μὴ πλησίον [t] προσίασιν, οὐκ ἔσονται ἅμα σπαστικαί· πόρρω γὰρ αὐταῖς ἔσται ὁ τόπος ὅθεν δεῖ ἀναλαβεῖν. Εἰ δὲ μὴ πλησίον μένουσι καὶ μὴ [v] οἷαι ἐπανιέναι πορρωτέρω,
7 κωφότεραι ἔσονται. Διαθιγγάνεσθαι δ' ἀεί, ὥστε μὴ ταχὺ ἀνοίγεσθαι, δεῖ τοῦτο σφόδρα ποιεῖν καὶ εὐηκόους εἶναι. Ταῦτά τε οὖν χρὴ ὑπάρχειν, ὅσαις τε μὴ ὑπάρχει, αὗται θεραπείας δέονται τινός· καὶ τὰ καταμήνια [w] γίνεσθαι καλῶς, τοῦτο δ' ἐστὶ δι' ἴσων χρόνων καὶ μὴ πεπλανημένως, ὑγιαί-
8 νοντος τοῦ σώματος. Σημαίνει γὰρ οὕτω γινόμενα καλῶς ἔχειν ἀνοίγεσθαι καὶ δέχεσθαι τὴν ἐκ τοῦ σώματος ὑγρότητα, ὅταν τὸ σῶμα διδῷ. [v] Ὅταν δὲ πλεονάκις ἢ ἐλαττονάκις ἢ πεπλανημένως ἀφιῶσι, τοῦ ἄλλου σώματος μὴ συναιτίου ὄντος ἀλλ' ὑγιαίνοντος, ἀνάγκη τοῦτο συμβαίνειν δι'

[k] τὸ post ἔργον om. F[a]. [l] ἑαυτῆς D[a]. [m] ἔχει F[a]. [n] οὐδὲν om. D[a].F[a].G[a]. [o] καλῶς om. F[a]. [p] μά τι ὄν in lacuna om. F[a], τι om. Q. [q] καὶ] καὶ ἡ F[a]. [r] ἔχοι D[a]. [s] δὲ F[a]. [t] προσιᾶσιν F[a]. [v] οἷναι G[a], εἶναι Q.F[a]. [w] γίνεται Q.

Digitized by Google

αὐτάς. Καὶ διὰ κωφότητα οὐκ ἀνοίγονται δ' ἐν τοῖς καιροῖς, 9
ὥστ' ὀλίγα δέχονται, ἢ μᾶλλον ἐπισπῶνται τὸ ὑγρὸν διά
τινα φλεγμασίαν αὐτῶν, ὥστε θεραπείας σημαίνουσι δεόμε-
ναι, ὥσπερ καὶ ὀφθαλμοὶ καὶ κύστις καὶ κοιλία καὶ τἆλλα·
πάντες γὰρ οἱ τόποι φλεγμαίνοντες ἕλκουσιν ὑγρότητα τοι-
αύτην, ἣ πέφυκεν ἐκκρίνεσθαι εἰς ἕκαστον τόπον, ἀλλ' οὐ
τοιαύτη ἢ τοσαύτη. Ὁμοίως δὲ καὶ ἡ ὑστέρα πλείω ἀποδι- 10
δοῦσα σημαίνει φλεγματικόν τι πάθος, ἐὰν ὅμοια μὲν πλείω
δ' ἀποδιδῷ. Ἐὰν δ' [x] ἀνόμοια καὶ σεσημμένα μᾶλλον, οἷα
ταῖς ὑγιαινούσαις προέρχεται, τοῦτο μὲν ἤδη πάθος καὶ ἐπί-
δηλον γίνεται· ἀνάγκη γὰρ καὶ πόνους τινὰς ἐπισημαίνειν
[y] ἐχούσης ⟦ὡς⟧ οὐ δεῖ. Ταῖς δ' ὑγιαινούσαις τὰ λευκὰ καὶ σε- 11
σημμένα προέρχεται, ταῖς μὲν καὶ ἀρχομένων, ταῖς δὲ πλεί-
σταις ληγόντων τῶν καταμηνίων. Ὅσαις μὲν οὖν σεσημμένα
μᾶλλον γίνεται ἢ ταῖς ὑγιαινούσαις, ἢ ἄτακτα, πλείω ἢ ἐλάτ-
τω, μᾶλλον δέονται θεραπείας ὡς ἐμποδιζόντων πρὸς τὴν
[z] τέκνωσιν. Ὅσαις δὲ τοῖς χρόνοις μόνον ἀνωμάλοις καὶ μὴ 12
δι' ἴσου, ἧττον μὲν διακωλυτικὸν τὸ πάθος, διασημαίνει μέν-
τοι τῆς ὑστέρας τὴν ἔξιν [a] κινουμένην καὶ οὐκ ἀεὶ ὁμοίως μέ-
νουσαν. Ἔστι δὲ τοῦτο τὸ πάθος οἷον μὲν βλάψαι τὰς εὐ-
φυεῖς πρὸς τὴν σύλληψιν, οὐ μέντοι νόσος, ἀλλὰ τοιοῦτόν τι
πάθος οἷον καθίστασθαι καὶ ἄνευ θεραπείας, ἂν μή [b] τι προσ-
εξαμαρτάνῃ αὐτή. Ἐαν δὲ μεταβάλλωσι τῇ τάξει ἢ τῷ 13
πλήθει, τοῦ ἄλλου σώματος μὴ [c] ὁμοίως ἔχοντος ἀλλ' ὁτὲ
μὲν ὑγροτέρου ὁτὲ δὲ ξηροτέρου, οὐθὲν αἴτιαι αἱ ὑστέραι,
ἀλλὰ δεῖ καὶ ἀκολουθεῖν αὐτὰς τῇ τοῦ σώματος ἕξει, δεχομέ-
νας καὶ ἀφιείσας κατὰ λόγον. Ἐὰν μὲν οὖν ὑγιαίνοντος τοῦ 14
σώματος μεταβάλλοντος δὲ τοῦτο ποιῶσιν, οὐθὲν αὐταὶ δέον-
ται θεραπείας· ἐὰν δὲ νοσοῦντος, ἢ ἐλάττω ἀποδίδωσι διὰ τὸ
ἄλλοθί που ἀναλίσκεσθαι τὸ περίττωμα, ἢ κάμνει τὸ σῶμα.
Ἐὰν δὲ πλείω ἀφιῶσι διὰ τὸ δεῦρο ἐξερεύγεσθαι τὸ σῶμα, 15

[x] ὅμοια Q.D[a].F[a].G[a]. [y] ἐχούσας Q.F[a]. [z] τέκνωσιν] νέωσιν Q.D[a]. F[a].G[a]. [a] κοινουμένην G[a]. [b] τι] τε F[a]. [c] ὁμοίου F[a].

Digitized by Google

οὐδὲ τοῦτο σημαίνει αὐτάς γε τὰς ὑστέρας δεῖσθαι θεραπείας, ἀλλὰ τὸ σῶμα. Ὡς ὅσαις συμμεταβάλλει ταῖς ἕξεσι τοῦ σώματος τὰ γυναικεῖα, δηλοῖ ὅτι οὐθὲν αἴτιον ἐν ταῖς ὑστέ-16 ραις ἐστίν, ὅτι ὑγιαίνουσαι διατελοῦσιν. Αὐταὶ δ' αὐτῶν ὁτὲ μὲν ἀρρωστότεραι, ὁτὲ δὲ ἰσχύουσι μᾶλλον, καὶ ὁτὲ μὲν ὑγρότεραι, ὁτὲ δὲ ξηρότεραι. Καὶ φοιτᾷ αὐταῖς, ὅταν μὲν πλεῖον τὸ σῶμα αὐτοῦ, πλείω, ὅταν δ' ἔλαττον, ἐλάττω, καὶ ἐὰν μὲν ὑγρόν, ὑδαρέστερα, ἐὰν δὲ ξηρόν, ἐναιμότερα. [d] Καὶ ἄρχονται μὲν ἐκ λευκῶν γαλακτοειδῶν, ἀνόσμων μενουσῶν· τὰ δὲ φοινικᾶ μέν, ἀπολήγοντα δὲ λευκότερα, ἐσχάτης [e] κα-17 ταμίξεως. [f] Ὀσμὴν δ' ἔχει τὰ λευκὰ ταῦτα οὐ σηπεδόνος, ἀλλὰ δριμυτέραν καὶ βαρυτέραν, οὔτε πύου· καὶ ἄνευ μὲν τήξεως, μετὰ μέντοι θερμασίας, ὅταν οὗτος ᾖ ὁ τρόπος τῶν σημείων. [g] Ὅσαις μὲν οὖν οὕτω συμβαίνει, ταύταις ἔχουσιν ὡς δεῖ τὰ περὶ τὰς ὑστέρας πρὸς τὴν τέκνωσιν.

2 Καὶ πρῶτον ταῦτα σκεπτέον, εἰ καλῶς ἔχει, μετὰ δὲ ταῦτα πῶς ἔχει τὸ [h] στόμα τῶν ὑστερῶν. Δεῖ γὰρ εἰς ὀρθὸν ἔχειν· εἰ δὲ μή, οὐχ ἕλξουσιν εἰς αὐτὰς τὸ σπέρμα. 2 Εἰς τὸ πρόσθεν γὰρ αὐτῶν καὶ ἡ γυνὴ προΐεται, ὡς δῆλον, ὅταν ἐξονειρώττωσιν αὗται τελέως· τότε γὰρ οὗτος ὁ τόπος θεραπείας δεῖται αὐταῖς ὑγρανθείς, ὥσπερ εἰ ἀνδρὶ συνεγί-νετο, ὡς προϊεμένων ἐνταῦθα καὶ τὸ παρὰ τοῦ ἀνδρός, εἰς 3 τὸν αὐτὸν τόπον καὶ οὐχὶ εἰς τὰς ὑστέρας εἴσω. Ἀλλ' ὅταν ἐνταῦθα προϊῶνται, ἐντεῦθεν σπῶσι τῷ πνεύματι, οἷον αἱ ῥῖνες, καὶ αἱ ὑστέραι τὸ σπέρμα. Διὸ καὶ παντὶ σχήματι συνοῦσαι κυΐσκονται, ὅτι εἰς τὸ πρόσθεν παντελῶς ἐχούσης γίγνεται καὶ αὐταῖς καὶ τοῖς ἀνδράσιν ἡ πρόεσις τοῦ σπέρ-ματος· εἰ δ' εἰς αὐτήν, οὐκ ἂν πάντως [i] συγγινόμεναι συνε-4 λάμβανον. Ἐὰν δὲ μὴ εἰς ὀρθὸν βλέπωσιν αἱ ὑστέραι ἀλλ' ἢ πρὸς τὰ ἰσχία ἢ πρὸς τὴν ὀσφὺν ἢ πρὸς τὸ ὑπογάστριον,

[d] καὶ—μενουσῶν om. Q.F[a].G[a]. [e] καταλήξεως Q.D[a].F[a].G[a]. [f] οὐ μὴν Q.F[a]. [g] οὖν om. pr. Q. [h] σῶμα Q.D[a].G[a]. [i] συγγενόμεναι D[a].

Digitized by Google

ἀδύνατον συλλαβεῖν διὰ τὴν προειρημένην αἰτίαν, ὅτι ἀνελέσθαι οὐκ ἂν δύναιντο τὸ σπέρμα. Ἐὰν μὲν οὖν ἰσχυρῶς 5
τῇ φύσει οὕτως ἔχωσιν ἢ ὑπὸ νόσου, ἀνίατον τὸ πάθος· ἐὰν
δ' ᵏ ἢ ῥῆγμα ἢ φύσει ἢ ὑπὸ τῆς νόσου διὰ φλεγμασίαν συ-
σπασάσης, ἐπὶ θάτερα αὐτῇ τὸ πάθος. Ταῖς δὲ μελλούσαις
ἐγκύοις ἔσεσθαι δεῖ, καθάπερ εἴρηται, τὸ στόμα εἰς ὀρθὸν
εἶναι, καὶ πρὸς τούτοις ἀνοίγεσθαι καλῶς. Λέγω δὲ τὸ 6
καλῶς τοιοῦτον, ὅπως ὅταν ἄρχηται τὰ γυναικεῖα, θιγγανό-
μενον ἔσται τὸ στόμα μαλακώτερον ἢ πρότερον, καὶ μὴ δι-
εστομωμένον φανερῶς. Ἀλλ' εἰ οὕτως ἔχοντος, τὰ πρῶτα
σημεῖα τὰ λευκὰ φοιτάτω. Ὅταν δὲ ˡ σαρκικώτερα ᾖ τὴν 7
χρόαν τὰ σημεῖα, φανερῶς ἔσται ἀνεστομωμένη ἄνευ ἀλγή-
ματος, κἂν θιγγάνῃ ᵐ κἂν μὴ θιγγάνῃ, καὶ μήτε κωφότητα
μήτε στόμα ἀλλοιότερον αὐτὸ αὑτοῦ. Ληξάντων δὲ τῶν
γυναικείων διεστομωμένον ἔστω σφόδρα καὶ ξηρόν, ἀλλὰ μὴ
σκληρόν, ἡμέραν ὅλην καὶ ἡμίσειαν ἢ καὶ δύο ἡμέρας. Ταῦτα 8
γὰρ σημαίνει οὕτω γιγνόμενα ὅτι καλῶς ἔχουσιν αἱ ὑστέραι
καὶ ποιοῦσι τὸ αὐτῶν ἔργον, τῷ μὲν μὴ εὐθὺς ἀνεστομῶσθαι
ἀλλὰ μαλακὸν τὸ στόμα γίνεσθαι, ὅτι ἅμα τῷ ἄλλῳ σώ-
ματι λυομένῳ λύονται, καὶ οὐκ ἐμποδίζουσι, καὶ ἀφιᾶσι
πρῶτον τὰ ⁿ ἀπ' αὐτοῦ τοῦ στόματος, ὅταν δὲ πλείω τὸ
σῶμα ᵒ προΐηται, ἀναστομοῦνται· ὅπερ ἐστὶ στόματος ὑγιει-
νῶς ἔχοντος. Παυσαμένων δὲ τῶν σημείων τοῦ μὴ εὐθὺς 9
συμπίπτειν, σημαίνουσιν ὅτι, ἂν ἀπορήσῃ, κεναὶ καὶ ξηραὶ
γίνονται καὶ διψηραί, καὶ οὐκ ἔχουσι λείψανα περὶ τὴν
δίοδον. ᵖ Προσπαστικαὶ οὖν οὖσαι σημαίνουσι καλῶς ἔχειν 10
πρὸς τὸ συλλαβεῖν πλησιάσαντος, ὅταν οὕτως ἔχωσιν ἄνευ
ἄλγους καὶ μετὰ ἀναισθησίας. Τό τε μὴ ἀλλοιότερον ἔχειν
τὸ σῶμα ἀγαθόν· καὶ γὰρ τοῦτο σημαίνει ὅτι οὐδέν ἐστιν ὃ
κωλύει μὴ συμμύειν αὐτὰς ὅταν δέῃ.

Περὶ μὲν οὖν τὸ στόμα τῶν ὑστερῶν ἐκ τούτων ἡ σκέψις 3

ᵏ ἢ ante ὑπὸ om. Q.Fᵃ.Gᵃ. ˡ σαρκινότερα Dᵃ. ᵐ κἂν μὴ θιγγάνῃ om. Dᵃ. ⁿ ἀφ' αὑτοῦ Dᵃ. ᵒ προΐενται ἀναστομοῦντα Q.Dᵃ.Fᵃ.Gᵃ: correxit Sylburgius. ᵖ προσπαστικαὶ Q.Fᵃ.

Digitized by Google

ἐστίν, εἰ ἔχει ὡς δεῖ ἢ μή. Περὶ αὐτὴν δὲ τὴν ὑστέραν δεῖ συμβαίνειν τοιαῦτα μετὰ τὴν κάθαρσιν, πρῶτον μὲν ἐν τοῖς ὕπνοις ὡς συγγινομένην τῷ ἀνδρὶ καὶ προϊεμένην, ὡς ἂν εἰ παρεπλησίαζε, [q] ῥᾳδίως· ἂν τοῦτο φαίνηται πλεονάκις πά-
2 σχουσα, ἄμεινον. Καὶ ἀνισταμένην ὁτὲ μὲν δεῖσθαι θεραπείας οἵας ὅταν πλησιάσῃ ἀνδρί, ὁτὲ δὲ ξηρασίας· τὴν δὲ ξηρότητα ταύτην μὴ συνεχῆ, ἀλλ' ὕστερον μετὰ τὴν ἔγερσιν ἐξυγραίνεσθαι ὁτὲ μὲν θᾶττον ὁτὲ δ' ὀψιαίτερον καὶ ὅσον εἰς ἥμισυ τῆς ἡμέρας βραχείας προελθούσης. [r] Ἡ δ' ὑγρότης
3 ἔστω τοιαύτη οἵα ὅταν [r] πλησιάσῃ τῷ ἀνδρί. Πάντα γὰρ ταῦτα σημαίνει δεκτικὴν τὴν ὑστέραν εἶναι τοῦ διδομένου, καὶ προσσπαστικὰς τὰς κοτυληδόνας, καὶ καθεκτικὰς ὧν λαμ-
4 βάνουσι, καὶ ἀκούσας ἀφιείσας. [s] Ἔτι φύσας ἐγγίγνεσθαι ἄνευ πάθους, ὥσπερ ἡ κοιλία, καὶ ἀφιέναι, καὶ μεγάλας γινομένας καὶ ἐλάττους αὐτῶν, ἄνευ νόσου· καὶ γὰρ ταῦτ' ἀποδηλοῖ αὐτάς, ὅτι οὐδὲν στερεώτεραι τοῦ δέοντός εἰσιν, οὔτε κωφαὶ οὔτε φύσει οὔτε νόσῳ, ἀλλὰ δύνανται, ὡς ἂν δέξωνται, αὐξανομένῳ παρέχειν χώραν. [s] Ἔχουσι δὲ καὶ διάτασιν.
5 [s] Ὅταν δὲ τοῦτο μὴ γίγνηται, ἢ πυκνότεραί εἰσιν ἢ ἀναισθητότεραι ἢ φύσει ἢ νόσῳ. Διὸ καὶ οὐ δύνανται τρέφειν, ἀλλὰ καὶ διαφθείρουσι τὰ ἔμβρυα, ἐὰν μὲν σφόδρα τοιαῦται ὦσιν, ἔτι μικρὰ ὄντα, ἐὰν δ' ἧττον, μείζω· ἐὰν δὲ πάνυ ἠρέμα, φαυλότερα ἐκτρέφουσι [s] τὰ ἔκγονα καὶ οἷον ἐν ἀγ-
6 γείῳ φαύλῳ τραφέντα. [s] Ἔτι δὲ θιγγανομένης τὰ ἐπὶ δεξιὰ καὶ τὰ ἐπ' ἀριστερὰ ὁμαλὰ αὐτῆς εἶναι, καὶ τἆλλα τούτοις ὁμοίως. Καὶ ἐν τῇ πρὸς τὸν ἄνδρα συνουσίᾳ μεταξὺ ὑγραί-
7 νεσθαι, μὴ πολλάκις δὲ [t] μηδὲ σφόδρα. [s] Ἔστι δὲ τοῦτο τὸ πάθος οἷον ἵδρωμα τοῦ τόπου, ὥσπερ καὶ τῷ στόματι σιάλου πολλαχοῦ μὲν καὶ πρὸς τὴν φορὰν τῶν σιτίων, καὶ ὅταν λαλῶμεν καὶ ἐργαζώμεθα αὐτοὶ πλέον· καὶ τοῖς ὄμμασι δακρύομεν πρὸς τὰ λαμπρότερα ὁρῶντες, καὶ ὑπὸ ψύχους καὶ θερμότητος ἰσχυροτέρας, ἧς κρατεῖ τὰ μόρια ταῦτα,

[q] ῥᾳδίως om. G[a]. [r] πλησιάζῃ F[a]. [s] τὰ] δὲ τὰ Q.D[a].F[a].G[a].
[t] μηδὲ] μὴ F[a].

Digitized by Google

ὅταν τύχῃ ὑγροτέρως ἔχοντα. Οὕτω καὶ αἱ ὑστέραι ὑγραί- 8
νονται ἐργαζόμεναι, ὅταν τύχωσιν ὑγροτέρας διαθέσεως.
Πάσχουσι δὲ τοῦτο τὸ πάθος καὶ αἱ μάλιστα καλῶς πεφυ-
κυῖαι. Διὸ θεραπείας ἀεὶ δέονται αἱ γυναῖκες ἢ πλείονος ἢ
ἐλάττονος, ὥσπερ καὶ τὸ στόμα πτύσεως. Ἀλλ' ἐνίαις 9
τοσαύτη ὑγρασία γίνεται, ὥστε μὴ δύνασθαι καθαρὸν τὸ τοῦ
ἀνδρὸς ἀνασπάσαι διὰ τὴν σύμμιξιν τῆς γιγνομένης ἀπὸ τῆς
γυναικὸς ὑγρότητος. Πρὸς δὲ τούτοις τοῖς πάθεσι καὶ 10
τοσόνδε δεῖ κατανοεῖν, εἰ συμβαίνει, ὅταν δόξῃ ἐν τῷ ὕπνῳ
πλησιάσαι τῷ ἀνδρί, πῶς ἔχουσα ἐξανίσταται, οἷον εἰ ἀσθε-
νεστέρα, καὶ [v] εἰ ἀεί, μὴ ὁτὲ μὲν ὁτὲ δ' οὔ, ἢ ἐνίοτε καὶ
ἰσχυροτέρα· εἰ δὲ μὴ ξηροτέρα τὸ πρῶτον, εἶτα ἐφυγραίνε-
ται. Δεῖ γὰρ ταῦτα συμβαίνειν τῇ γονίμῳ γυναικί. Τὸ 11
μὲν γὰρ ἐκλύεσθαι σημαίνει [w] προετικὸν εἶναι τὸ σῶμα
σπέρματος ἀεί, τήν τε ποιοῦσαν ποιεῖ· καὶ σωματωδῶν δ'
οὐσῶν ἀθενεστέρα. Τὸ δ' ἀνόσως τοῦτο πάσχειν σημεῖον 12
ὅτι κατὰ φύσιν καὶ ὃν δεῖ τρόπον ἡ ἄφοδος τούτου γίνεται·
εἰ γὰρ μή, νοσώδης ἦν [x] ἡ ἀρρωστία. Τὸ δέ ποτε καὶ
ἰσχύειν μᾶλλον, καὶ ξηρὰν εἶναι τὴν ὑστέραν, εἶτ' ἐφυγραί-
νεσθαι, σημεῖον ὅτι πᾶν τὸ σῶμα λαμβάνει καὶ ἀφανίζει,
καὶ οὐ μόνον ἡ ὑστέρα καὶ τὸ σῶμα ἰσχύει. Πνεύματί τε 13
γὰρ ἔλκει ἡ ὑστέρα τὸ προσελθὸν ἔξωθεν αὐτῇ, ὥσπερ πρό-
τερον εἴρηται. Οὐ γὰρ εἰς αὐτὴν προΐεται, ἀλλ' οὗ καὶ [y] ὁ
ἀνήρ. [z v] Ὅσα δὲ πνεύματι, πάντα ἰσχύϊ ἐργάζεται. [v] Ὥστε
δῆλον ὅτι καὶ τὸ σῶμα προσσπαστικὸν τῆς τοιαύτης.

Εἰσὶ δέ τινες αἳ πάσχουσί τι τοιοῦτον ὃ καλοῦσιν ἐξανε- 14
μοῦσθαι· δεῖ δὴ καὶ τοῦτο μὴ πάσχειν. [v] Ἔστι δὲ τὸ τοιοῦ-
τον [a] πάθος· ὅταν συγγένωνται τῷ ἀνδρί, οὔτε προϊέμεναι
[b] δῆλαι τὸ σπέρμα οὔτε κυΐσκονται, διὸ καὶ καλεῖται ἐξανε-
μοῦσθαι. Αἴτιον δὲ τοῦ πάθους ἡ ὑστέρα, ὅταν ᾖ λίαν 15
ξηρά· ἑλκύσασα γὰρ πρὸς αὑτὴν τὸ ὑγρὸν ἀφίησιν ἔξω· τὸ

[v] εἰ ante ἀεί om. Fa.Ga. [w] προεκτικὸν Fa. [x] ἡ post ἦν om. Da. [y] ὁ ἀνήρ om. Da. [z] ὅσαι Da. [a] πάθος om. Ga. [b] δῆλαι om. Fa.Ga.

Digitized by Google

δὲ κατασκελετεύεται, καὶ μικρόν τι γινόμενον ἐξ αὐτοῦ ἀπέ-
16 πεσέ τε καὶ ἔλαθε διὰ [c] μικρότητα ἐξιόν. Καὶ ὅταν μὲν
τοῦτο σφόδρα πάθῃ ἡ ὑστέρα καὶ γένηται ὑπέρξηρος, ταχύ
τε ἀπέβαλε καὶ ταχὺ δῆλον γίνεται ὅτι οὐ κύει· ἐὰν δὲ μὴ
σφόδρα ταχέως ταῦτα ποιῇ, ἐν τῷ μεταξὺ χρόνῳ δοκεῖ κύειν,
17 ὃ [d] ἂν ἔχῃ αὐτὴ πρὸς αὐτήν, ἕως ἂν [e] ἀποβάλῃ. Καὶ ὅμοια
συμβαίνει ταχὺ ταύταις πάθη οἷα ταῖς ὀρθῶς κυούσαις, καὶ
ἐὰν γίγνηται πολὺς χρόνος, αἴρεται ἡ ὑστέρα, ὥστε φανερῶς
δοκεῖ κύειν, ἕως ἂν ἀποπέσῃ· τότε δ' ὁμοία ἐγένετο οἵα πρὸ
18 τοῦ ἦν. [f] Ἀναφέρουσι δὲ τοῦτο τὸ πάθος εἰς τὸ δαιμόνιον·
ὅ ἐστι θεραπευτόν, ἐὰν μὴ φύσει τοιαύτη ᾖ σφόδρα πά-
σχουσα τὸ πάσχον. Σημεῖον δὲ τοῦ μὴ τοιαύτας εἶναι, ἐὰν
φαίνωνται μὴ προϊέμεναι, ὅταν λάβωσι παρὰ τοῦ ἀνδρὸς
4 καὶ μὴ συλλάβωσιν. [f] Κωλύονται δὲ καὶ ἐὰν σπάσμα ἔχω-
σιν αἱ ὑστέραι. Γίνονται δὲ σπάσματα ἐν ταῖς ὑστέραις ἢ
φλεγμασίᾳ διατεινομένης τῆς ὑστέρας, ἢ ἐν τῷ τόκῳ πληρώ-
ματος πολλοῦ ἐξαπίνης ἐπιπεσόντος καὶ μὴ ἀνοιγομένου τοῦ
2 στόματος· τότε ὑπὸ τῆς διατάσεως γίνεται σπάσμα. Ση-
μεῖον δὲ τοῦ μὴ ἔχειν σπάσμα, ἐὰν μὴ φαίνηται εἰς φλε-
γμασίαν ἀφικνουμένη ἐν τοῖς [g] αὐτῆς ἔργοις ἡ ὑστέρα· ἔχου-
σα γὰρ σπάσμα φλεγμαίνοι ἄν ποτε. [h] Ἔτι δὲ ἐὰν φῦμα
ἐπὶ τοῦ στόματος ᾖ, πολλὰ ἐλκωθέντος, ἐμποδίζει πρὸς τὰς
3 συλλήψεις. Σημεῖον δὲ καὶ τοῦ ταῦτα μὴ ἔχειν, ἐὰν φαί-
νηται ἀνοιγομένη καλῶς ἡ ὑστέρα καὶ συμμύουσα, ὅταν
γένηται αὐταῖς τὰ γυναικεῖα καὶ αἱ πρὸς τὸν ἄνδρα χρήσεις.
[h] Ἔτι ἔστιν αἷς [h] πως τὸ στόμα συμφύεται, ταῖς μὲν ἐκ
γενετῆς ταῖς δὲ διὰ νόσον. Γίνεται δὲ τοῦτο καὶ ἰατὸν καὶ
4 ἀνίατον. Οὐ χαλεπὸν δὲ τοῦτο γνῶναι, ἐὰν ᾖ· οὐ γὰρ οἷόν
τε οὔτε λαμβάνειν οὐθὲν ὧν δεῖ οὔτε προΐεσθαι. [i] Ἐὰν οὖν
φαίνηται καὶ δεχομένη παρὰ τοῦ ἀνδρὸς καὶ ἀφιεῖσα, δῆλον
5 ὅτι κἂν ἔλεγχος εἴη τῷ πάθει. [j] Ὅσαις δὲ τούτων μηδὲν
ἐμπόδιον ᾖ, ἀλλ' ἔχουσιν ὃν τρόπον δὴ εἴρηται ἔχειν, ἂν μὴ

[c] σμικρότητα Fa. [d] ἂν—ἕως om. Fa.Ga. [e] ἀποβάλλῃ Fa. [f] κω-
λύωνται Ga. [g] αὐτοῖς Da.Fa.Ga. [h] πω Fa.

Digitized by Google

ὁ ἀνὴρ αἴτιος ᾖ τῆς ἀτεκνίας, ἢ ἀμφότεροι μὲν δύνωνται τεκνοῦσθαι, πρὸς ἀλλήλους δὲ μὴ ὦσι σύμμετροι τῷ ἅμα προΐεσθαι ἀλλὰ [i]πολὺ διαφωνῶσιν, [οὐκ] ἔσονται τέκνα τούτοις. [k]Τοῦ μὲν οὖν [l]εἶναι τὰ τοῦ ἀνδρὸς αἴτια ἔστι μὲν καὶ ἄλλα σημεῖα λαβεῖν· ἃ δὲ ῥᾴω μάλιστ' [m]ἂν φαίνοιτο, πρὸς ἄλλας πλησιάζων καὶ γεννῶν. [n]Τὸ δὲ πρὸς [o]ἀλλήλους μὴ συνδρόμως ἔχειν, πάντων τῶν εἰρημένων ὑπαρξάντων [p]οὐ γεννῶσιν. Δηλοῖ γὰρ ὅτι τοῦτο αἴτιον μόνον. Εἴπερ γὰρ καὶ ἡ γυνὴ συμβάλλεται εἰς τὸ σπέρμα καὶ τὴν γένεσιν, δῆλον ὅτι δεῖ ἰσοδρομῆσαι παρ' ἀμφοῖν. [1]Ἐὰν [q]οὖν ὁ μὲν ταχὺ ἐκποιήσῃ ἡ δὲ μόλις (τὰ γὰρ πολλὰ αἱ γυναῖκες βραδύτεραι), τοῦτο κωλύει· διὸ καὶ συζευγνύμενοι γεννῶσι μετ' ἀλλήλων· οὐ γεννῶντες [r]δέ, ὅταν ἐντύχωσιν ἰσοδρομοῦσι πρὸς τὴν συνουσίαν. Εἰ γὰρ ἡ μὲν ὀργῶσα καὶ [s]παρεσκευασμένη εἴη καὶ ἐννοίας ἔχουσα ἐπιτηδείας, ὁ δὲ προλελυπημένος καὶ κατεψυγμένος, ἀνάγκη τότε [t]ἰσοδρομῆσαι [v]αὐτοὺς ἀλλήλοις. [w]Ἔτι δ' ἐνίοτε γυναιξὶ καὶ ἐξονειρωξάσαις καὶ ἀνδράσιν ἀφροδισιάσασι συμβαίνει εὐρωστοτέροις εἶναι, μὴ ἰσχύϊ ἀλλ' ὑγιείᾳ. Γίνεται δὲ τοῦτο, ὅταν πολὺ τὸ σπέρμα ᾖ ἠθροισμένον ἐπὶ τὸν τόπον ὅθεν προΐενται. [1]Ἐὰν οὖν τότε ἀπέλθῃ, οὐδὲν ἀσθενέστεραι γίνονται· οὐ γὰρ ἀεὶ ἐκλύονται ἀπελθόντων, ὅταν ἱκανὰ ᾖ τὰ λειπόμενα· οὐδ' ἂν εἰ ἐκεῖνα ἄχρηστα ᾖ ἅμα καὶ [x]ῥᾴω, οἷον πλησμονῆς ἀπαλλαγέντα· διὸ οὐκ ἰσχύϊ εὐρωστότεραι ἀλλὰ κουφότητι γίνονται. [1]Ἀλλ' ὅταν ἀπὸ τοσούτων ἐπίῃ ὧν τὸ σῶμα δεῖται, τότε ἀσθενεστέρας [y]ποιεῖ. Παύεται δὲ ταχύ, ἂν ἄλλως τις ὑγιάνῃ τὸ σῶμα καὶ ἐν ἡλικίᾳ ᾖ, ἢ ταχὺ σπερμοποιεῖ· τῶν γὰρ αὐξανομένων τοῦτ' ἐστὶ ταχὺ καὶ τῶν αὐξητῶν. Καὶ λανθάνουσι τότε μάλιστα κυϊσκόμεναι. Οὐ γὰρ [z]οἴονται συνειληφέναι, ἐὰν μὴ αἴσθων-

[i] πολλοὶ Fa. [k] τοῦ μὲν οὖν] τῷ μὲν Da. [l] εἶναι] εἰδέναι codices. [m] ἂν addidit Schneiderus. [n] τοῦ Da. [o] ἀλλήλους intp, ἄλλους Da, ἄλλας Fa.Ga. [p] οὐ] μὴ Da. [q] οὖν ὁ] οἱ Ga. [r] δέ om. Fa.Ga. [s] πεπερασμένη Fa. [t] ἰσοδραμῆσαι Fa. [v] ἀλλήλοις αὐτούς Da. [w] ὅτι Da.Fa.Ga. [x] ῥᾶον Da. [y] ποιεῖ] ἐποίει Da. [z] οἷόν τε Fa.

Digitized by Google

ται. Προϊέμεναι δὲ τυγχάνουσιν ὑπολαμβάνουσαι ὡς δεῖ ἀπ' ἀμφοῖν συμπεσεῖν ἅμα, καὶ ἀπὸ τῆς γυναικὸς καὶ ἀπὸ τοῦ
7 ἀνδρός. Μάλιστα δὲ λανθάνει, ὅσαι οἴονται [a]ἀδύνατον εἶναι συλλαβεῖν, ἐὰν μὴ [b]ξηρανθῶσι καὶ ἐπιδήλως ἀφανισθῇ τὸ δοθέν. Συμβαίνει δ' ἐνίοτε πλέον [c]προΐεσθαι καὶ αὐτὴν καὶ τὸν ἄνδρα οὗ ἂν [d]δύνηται ἀφανίσαι καὶ τοῦ ἱκανοῦ. Ὅταν οὖν σπάσῃ μὲν ἱκανόν, [e]λειφθῇ δὲ πολύ, τότε [f]λανθάνουσι
8 κνϊσκόμεναι. Ὅτι δὲ τοιοῦτον ἐνδέχεται γίνεσθαι καὶ οὐκ ἐξ ἅπαντος γίνεται τὸ πάθος, δηλοῖ ὅσα τῶν ζῴων ἀπὸ μιᾶς ὀχείας πολλὰ τίκτει, καὶ ἡ τῶν διδύμων γένεσις, [g]ὅταν ἀπὸ μιᾶς γένηται· δῆλον γὰρ ὅτι ἐξ [h]οὐχ ἅπαντος ἐγένετο, ἀλλὰ [i]μέρος τι αὐτοῦ ἔλαβε τόπος, τὸ δὲ [k]περιελείπετο
9 πολλαπλάσιον. Ἔτι εἰ πολλὰ ἀπὸ μιᾶς ὀχείας γίνεται, ὅπερ φαίνεται ἐπὶ τῶν ὑῶν καὶ τῶν διδύμων ἐνίοτε [l]γιγνόμενον, δῆλον ὅτι οὐκ ἀπὸ παντὸς ἔρχεται τὸ σπέρμα τοῦ σώματος, ἀλλ' ἐφ' ἑκάστου εἴδους ἐμερίζετο. Ἀπὸ παντὸς μὲν γὰρ ἐνδέχεται ἀποχωρισθῆναι, καὶ τὸ πᾶν εἰς πολλά.
10 Ὥστε ἅμα καὶ [m]κατὰ μέρος ἀδύνατον. Ἔτι ἡ γυνὴ προΐεται εἰς τὸ πρόσθεν τοῦ στόματος τῶν ὑστερῶν, οὗ καὶ ὁ ἀνήρ, ὅταν πλησιάσῃ. Ἐντεῦθεν γὰρ σπᾷ τῷ πνεύματι, ὥσπερ τοῖς στόμασιν ἢ τοῖς μυκτῆρσιν. Πάντα γὰρ ὅσα μὴ ὀργάνοις προσάγεται, ἢ [n]εἴσφυσιν ἔχει ἄνωθεν κοῖλα ὄντα, ἢ πνεύματι [o]ἕλκονται ἐκ τούτου τοῦ τύπου. Διὸ ἐπιμελοῦνται ὅπως γένηται ξηρὸς [p]οὕτως, ὥσπερ πρὶν τοῦτο
11 [q]συμβαίνειν. Πέφυκε δ' οὕτως ἡ ὁδός, δι' ἧς ἔρχεται, ταῖς γυναιξίν. Ἔχουσι καυλόν, ὥσπερ καὶ οἱ ἄνδρες τὸ αἰδοῖον. Ἀλλ' ἐν τῷ [r]στόματι ἀποπνέουσι διὰ τοῦτο μικρῷ τε πόρῳ

[a] δυνατὸν Da.Fa.Ga. infra, libro extremo: ibi enim hæc μᾶλιστα δὲ—sect. 8. fin. πολλαπλάσιον iterum ponunt. [b] ἀναξηρανθῶσι Da.Fa.Ga. infra. [c] προέσθαι Da.Fa.Ga. infra. [d] δύναιντο Da.Fa.Ga. [e] ληφθῇ Da.Fa.Ga. et hic et infra. [f] λανθ. καὶ κνϊσκ. Da.Fa.Ga. infra. [g] ὅταν] κἂν Da.Fa.Ga. infra. [h] οὐχ om. Da. [i] μέρος τοῦ αὐτοῦ ἔλαβέ τις τόπος Da.Fa.Ga. utrobique. [k] περιελιπε Da.Fa.Ga. hoc loco, περιέλιπε τὸ infra. [l] γιγνόμενα Da.Ga. [m] μετὰ Fa. [n] εἴφυσιν Ga, εἰ φύσιν Fa. [o] ἕλκων ἡ ἐκ Da.Fa.Ga. [p] οὗτος Da. [q] συμβαίνει Da. [r] σώματι Da.Fa.Ga.

Digitized by Google

ἀνωτέρω, ᾗ οὐροῦσιν αἱ γυναῖκες. Διὸ καὶ ὅταν ὀργῶσιν ἀφροδισιασθῆναι, οὗτος ὁ τόπος οὐκ ἔχει ὁμοίως καὶ πρὶν [s]ὀργᾶν. [1]Ἀπὸ δὴ τούτου τοῦ καυλοῦ γίνεται ἔκπτωσις, καὶ 12
τὸ ἔμπροσθεν τῆς ὑστέρας πολλῷ μεῖζον ἢ καθ' ἣν εἰς ἐκεῖνον τὸν τόπον ἐκπίπτει. [v]Ὁμοιον δ' ἐστὶ τοῦτο κατὰ τοῦτο ταῖς ῥισίν· καὶ γὰρ αἱ ῥῖνες ἔχουσιν εἴσω εἰς τὸν φάρυγγα πόρον τινὰ καὶ εἰς τὸν ἔξω ἀέρα· οὕτω κἀκεῖνος καὶ ἔξω ἔχει πόρον μικρόν τε πάνυ καὶ στενόν, ὅσον πνεύματι ἔξοδον, τὸν δ' εἰς τὸ πρόσθεν τῆς ὑστέρας εὐρύχωρον, εὔρουν, ὥσπερ αἱ ῥῖνες τὸν εἰς τὸν ἀέρα μεῖζω τοῦ εἰς τὸ στόμα καὶ φάρυγγα. [1]Ὁμοίως δὲ καὶ αἱ γυναῖκες μείζω τὸν εἰς τὸ ἔμπροσθεν τῶν 13
ὑστερῶν πόρον ἔχουσι, καὶ εὐρυχωρότερον τὸ ἔξω. [v]Ὅ τι συμβάλλεται, εἰς τοῦτο ποιεῖ τῶν αὐτῶν παθημάτων, ὅτι καὶ ἡ γυνὴ γόνιμον προΐεται. Τὰ δ' αὐτὰ αἴτια ταῦτα συμβαίνει. Καὶ γὰρ οἷς ἢ νόσου ἢ θανάτου δοκεῖ ἑτέρου τὸ [t]αἴτιον, θεωροῦσι τὸ τελευταῖον ἐπὶ τὰς ἀρχάς, ὃ δεῖ ὁρᾶν. [v]Ταῖς μὲν γὰρ [w]ταῦτα αἴτια τὰ πρῶτα, τοῖς δ' οὐδέν, τῶν 14
